
3 1761 07829270 3

47

ΠΑΡΑΡΤΗΜΑ ΤΗΣ "ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΑΛΗΘΕΙΑΣ"

ΚΑΝΟΝΙΚΑΙ ΔΙΑΤΑΞΕΙΣ

ΕΠΙΣΤΟΛΑΙ, ΛΥΣΕΙΣ, ΘΕΣΠΙΣΜΑΤΑ
ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ ΠΑΤΡΙΑΡΧΩΝ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΑΠΟ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΜΕΧΡΙ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΠΟ ΑΔΡΙΑΝΟΥΠΟΛΕΩΣ

ἐπιστασίᾳ

ΜΑΝΟΥΗΛ ΙΩ. ΓΕΔΕΩΝ

ἀρχισυντάκτου τῆς Ἐκκλησιαστικῆς Ἀληθείας.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ



ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

1888

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ


LIBRARY
DEC 27 1972
UNIVERSITY OF TORONTO

ΠΡΟΛΟΓΟΣ

Ἐν τῇ μετὰ χεῖρας συλλογῇ ἀναλαβόντες τὴν εἰς ἓν ἔκδοσιν τῶν κανονικῶν διατάξεων, ἐπιστολῶν, θεσπισμάτων καὶ τῶν εἰς ἐρωτήσεις προβαλλομένας αὐτοῖς λύσεων τῶν πατριαρχῶν Κωνσταντινουπόλεως ἀπὸ Γρηγορίου τοῦ Θεολόγου μέχρι τοῦ παναγιωτάτου ἡμῶν πατρὸς κ. κ. Διονυσίου τοῦ ἀπὸ Ἀδριανουπόλεως, φρονοῦμεν ὅτι πᾶσι τοῖς ὀρθοδόξοις καὶ παντὶ φιλίστορι παρέχομεν βιβλίον χρήσιμον. Ἀρχόμενοι δ' ἀπὸ τοῦ ἴσου τῆς διαθήκης τοῦ ἱεροῦ Γρηγορίου τοῦ Θεολόγου, συλλέγομεν μὲν τὰς ὀλιγίστας ἐκδεδομένας καὶ ἐν διαφόροις βιβλίοις καὶ συντάγμασι διεσπαρμένας διατάξεις τῶν ἁγιωτάτων τῆς Νέας Ῥώμης πατριαρχῶν, μάλιστα δὲ τὰς ἀνεκδότους, προβαίνοντες κατὰ χρονολογικὴν σειρὰν, ἐπισημειοῦμεν δ' ἐν τῷ τέλει ἑκάστης διατάξεως πόθεν ἠρύσθημεν τὸ δημοσιευόμενον γράμμα.

Ὡς μέλλει 'να ἴδῃ ὁ ἀναγνώστης, οὐδὲν ἔγγραφον καὶ πρακτικὸν συνοδικὸν ἀφορῶν εἰς ἐνοριακὰ δίκαια δημοσιεύεται, μήτε τὰ ἀναγόμενα εἰς καθορισμὸν μοναστηριακῶν ὁροθεσίων, εἰς ὑποτυπώσεις καὶ κανονισμοὺς ἱερῶν μονῶν, μήτε τόμοι καὶ πρακτικὰ καὶ ὅροι ἀναφερόμενοι εἰς τὴν καταδίκην τῶν ἑκάστοτε ἀναφανεισῶν ἐν τῇ Ἐκκλησίᾳ ἑτεροδιδασκαλιῶν. Ἡ παροῦσα συλλογὴ, πλὴν τῆς πρακτικῆς αὐτῆς ὠφελείας, ἔσται χρήσιμος καὶ τῷ τὴν ἱστορίαν τοῦ καθ' ἡμᾶς ἐκκλησιαστικοῦ δικαίου ἐρευνῶντι, καὶ τῷ μετὰ σπουδῆς ἐγκύπτοντι εἰς τὴν μελέτην τοῦ χαρακτῆρος καὶ τῆς κοινωνικῆς καταστάσεως τῶν χρόνων, καθ' οὓς ἐξεδίδοτο πᾶσα οἱαδήποτε διάταξις· ἐξῃρέθησαν δ' ἀπὸ τοῦ Α' τόμου πᾶσαι αἱ

διατάξεις αἱ ἐν τῷ Ε' τόμῳ τοῦ Συντάγματος τῶν θείων καὶ ἱερῶν Κανόνων, αἱ ὑπὸ Γ. Α. Ῥάλλη καὶ Μ. Ποτλῆ ἐκδεδομέναι.

Ἡ συλλογὴ αὕτη ἐκδίδοται ὑπὸ τῆς τὴν **Ἐκκλησιαστικὴν Ἀλήθειαν** διευθυνούσης ἐπιτροπῆς, ἐπινευσάσης τῇ ἐκδόσει, ἧς ἐπεμελήθημεν καὶ τὸ μέγιστον μέρος τῆς ὕλης ταύτης ἀπὸ καιροῦ περισυνελέξαμεν.

Μ. Ι. Γεδεων.

A.

ΤΟ ΙΣΟΝ ΤΗΣ ΔΙΑΘΗΚΗΣ

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ.

Ὑπατεία Φλαβίου Εὐχερίου, καὶ Φλαβίου Εὐαγρίου, τῶν λαμπροτάτων, πρὸ μιᾶς Καλανδῶν.

Γρηγόριος ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει, ζῶν καὶ φρονῶν, καὶ ὑγιεῖ γνώσει, καὶ ἐρρωμένος τοῖς λογισμοῖς, διεθέμην τὴν διαθήκην ταύτην, ἣν κελεύω καὶ βούλομαι εἶναι βεβαίαν ἐπὶ παντὸς δικαστηρίου καὶ πάσης ἐξουσίας· ἤδη μὲν γὰρ τὴν ἐμαυτοῦ γνώμην κατέστησα φανεράν, καὶ πᾶσάν μου τὴν οὐσίαν καθιέρωσα τῇ καθολικῇ ἐκκλησίᾳ τῇ κατὰ Ναζιανζόν, εἰς τὴν τῶν πτωχῶν διακονίαν, τῶν ὑπὸ τὴν εἰρημένην ἐκκλησίαν· διόπερ καὶ τρεῖς προεστησάμην πτωχοτρόφους, ἕνεκα ταύτης μου τῆς προαιρέσεως: Γρηγόριον τὸν διάκονον καὶ μονάζοντα, τὸν γενόμενον ἐκ τῆς οἰκίας μου· Μάρκελλόν τε τὸν διάκονον καὶ μονάζοντα, τὸν καὶ αὐτὸν ἐκ τῆς οἰκίας μου γενόμενον· καὶ Εὐστάθιον μονάζοντα, τὸν καὶ αὐτὸν ἐκ τῆς οἰκίας μου γενόμενον. Καὶ νῦν δὲ τὴν αὐτὴν συνείδησιν τῇ ἁγίᾳ ἐκκλησίᾳ τῇ κατὰ Ναζιανζὸν φυλάττων, ἔχομαι τῆς αὐτῆς προαιρέσεως· ἐὰν οὖν συμβῇ με τέλει τοῦ βίου χρήσασθαι, ἔστω μου κληρονόμος ὁ προειρημένος Γρηγόριος διάκονος καὶ μονάζων, ὁ γενόμενος ἐκ τῆς οἰκίας μου, ὃν πάλαι ἠλευθέ-

ρωσα, ἐξ ὁλοκλήρου πάσης μου τῆς οὐσίας, κινητῆς τε καὶ ἀκινήτου, τῆς πανταχοῦ μοι ὑπαρχούσης· οἱ δὲ λοιποὶ πάντες ἔστωσάν μου ἀποκληρονόμοι. Οὕτω μέν τοι, ὥστε αὐτὴν πᾶσάν μου τὴν οὐσίαν, κινητήν τε καὶ ἀκίνητον, ἀποκαταστῆσαι τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ τῇ ἐν Ναζιανζῷ, μηδὲ τὸ παράπαν ἐπεξελόμενον, πλὴν ὧν ἂν ἐν ταύτῃ τῇ διαθήκῃ μού τισιν ἰδικῶς καταλείπω, λεγάτου ἢ φειδοκομμίσσου χάριν· ἀλλὰ πάντα, ὡς προεῖπον, ἀκριβῶς ἀποσῶσαι τῇ ἐκκλησίᾳ, ἔχοντα τὸν τοῦ Θεοῦ φόβον πρὸ ὀφθαλμῶν, καὶ εἰδότα, ὅτι εἰς διακονίαν τῶν πτωχῶν τῆς αὐτῆς ἐκκλησίας προσέταξα πᾶσαν τὴν οὐσίαν μου προσχωρῆσαι, καὶ ἐπὶ τούτῳ αὐτὸν ἐνεστησάμην κληρονόμον, ὥστε δι' αὐτοῦ τῇ ἐκκλησίᾳ πάντα ἀπαραλείπτως ἀποσωθῆναι.

Τοὺς οὖν οἰκέτας, οὓς ἠλευθέρωσα, εἴτε ἐξ ἐμῆς προαιρέσεως, εἴτε ἐξ ἐντολῶν τῶν μακαριωτάτων γονέων μου, τούτους βούλομαι καὶ νῦν ἐπ' ἐλευθερίας μένειν, καὶ τὰ πεκούλια αὐτοῖς πάντα μένειν βεβαίως ἀνενόχλητα· ἔτι βούλομαι κατασχεῖν τὸν κληρονόμον μου Γρηγόριον τὸν διάκονον, ἅμα τῷ μονάζοντι Εὐσταθίῳ, τοὺς γενομένους ἐκ τῆς οἰκίας μου, κτῆμα ἐν Ἀριανζοῖς, τὸ ἐκ τῶν Ῥηγίνου κατελθὸν εἰς ἡμᾶς· τὰ δὲ φοράδια, καὶ τὰ πρόβατα, ἃ ἤδη αὐτοῖς παρὼν ἐκέλευσα δοθῆναι, ὧν καὶ τὴν νομὴν αὐτοῖς καὶ τὴν δεσποτείαν παρέδωκα, ταῦτα μένειν αὐτοῖς ἀνενόχλητα βούλομαι δεσποτείας δικαίῳ· ἔτι δὲ ἐξαιρέτως Γρηγόριον τὸν διάκονον καὶ κληρονόμον μου, γνησίως ὑπηρετήσαντά μοι, βούλομαι κατασχεῖν ἰδίῳ δεσποτείας δικαίῳ χρυσία τὸν ἀριθμὸν πεντήκοντα. Τῇ αἰδισιμωτάτῃ παρθένῳ Ῥουσσιανῇ, τῇ συγγενίδι μου, ῥητὰ ἐκέλευσα καθ' ἕκαστον ἔτος δίδοσθαι, πρὸς τὸ ἐλευθερίως αὐτὴν διάγειν, ἅπερ βούλομαι καὶ κελεύω πάντα κατὰ τὸν τύπον, ὃν προσέταξα ἀνυπερθέτως αὐτῇ δίδοσθαι, καθ' ἕκαστον ἔτος, περὶ διοικήσεως αὐτῆς. Τότε μὲν οὐδὲν διεταξάμην, μὴ εἰδώς, ποῦ μᾶλλον αἱρετόν ἐστιν αὐτῇ διάγειν· νῦν δὲ καὶ τοῦτο βούλομαι, ὥστε ἐν οἵῳ ἂν ἐπιλέξηται χωρίῳ, κατασκευασθῆναι αὐτῇ οἰκίαν ἐλευθέραν, πρέπουσαν εὐσχήμονι διαγωγῇ παρθένου· ἥν περ οἰκίαν

ἕξει δηλαδὴ ἀνενοχλήτως εἰς χρῆσιν καὶ καρπίαν μέχρι τέλους ζωῆς, μετὰ δὲ ταῦτα ἀποκαταστήσει τῇ ἐκκλησίᾳ. Προστεθῆναι δὲ αὐτῇ βούλομαι καὶ δύο κόρας, ἃς ἂν αὐτὴ ἐπιλέξηται, οὕτω μέν τοι, ὥστε αὐτῇ παραμεῖναι τὰς κόρας μέχρι τοῦ τῆς ζωῆς αὐτῆς χρόνου· καὶ εἰ μὲν αὐταὶ αὐτῇ εὐχαριστήσειεν, ἐξεῖναι αὐτῇ ἐλευθερίᾳ αὐτὰς τιμῆσαι, εἰ δὲ μή, καὶ αὐτὰς διενεγκεῖν τῇ αὐτῇ ἐκκλησίᾳ. Θεόφιλον τὸν παῖδα τὸν παραμένοντά μοι ἤδη ἠλευθέρωσα· βούλομαι οὖν αὐτῷ καὶ νῦν δοθῆναι λεγάτου χάριν ΝΝε. Εὐπράξιον δὲ τὸν ἀδελφὸν αὐτοῦ βούλομαι ἐλεύθερον εἶναι, καὶ δοθῆναι αὐτῷ λεγάτου λόγῳ χρυσᾶ ΝΝε. Ἔτι βούλομαι Θεοδόσιον τὸν νοτάριόν μου ἐλεύθερον εἶναι, δοθῆναι δὲ αὐτῷ καὶ ληγάτου λόγῳ χρυσᾶ ΝΝε. Τὴν γλυκυτάτην μου θυγατέρα Ἀλυπιανὴν (τῶν γὰρ ἄλλων Εὐγενίας τε καὶ Νόννης, ὀλίγος λόγος· ὧν καὶ ὁ βίος ἐπίληψιμός ἐστι) βούλομαι συγγνώμην ἔχειν μοι, εἰ μηδὲν αὐτῇ καταλιπεῖν κύριος ἐγενόμην, πάντα προεπαγγειλάμενος τοῖς πτωχοῖς, μᾶλλον δὲ τοῖς μακαριωτάτοις γονεῦσιν ὑποσχομένοις ἀκολουθήσας*, ὧν ἀθετῆσαι τὴν γνώμην οὔθ' ὅσιον οὔτ' ἀσφαλὲς ἡγοῦμαι. Ὅσα μέν τοι ἐκ τῶν τοῦ μακαρίου μου ἀδελφοῦ Καισαρείου πραγμάτων ἐν ἐσθῆτι σηρικῇ, ἢ λινῇ, ἢ ἐρέᾳ, ἢ βουριχαλίοις περιλέλειπται, ταῦτα διαφέρειν τοῖς τέκνοις αὐτῆς βούλομαι, καὶ ἐν μηδενὶ μήτ' ἐκείνην, μήτε τὰς ἀδελφὰς αὐτῆς ἐνοχλεῖν, μήτε τὸν κληρονόμον μου, μήτε τὴν ἐκκλησίαν. Μελέτιος ὁ γαμβρός μου, τὸ κτῆμα τὸ ἐν Ἀπινζησῷ, τὸ ἐκ τῶν Εὐφημίου, ἴστω κακῶς κατέχων· καὶ ὑπὲρ τούτου καὶ πρότερον ἀπέστειλα πολλάκις τῷ Εὐφημίῳ, ἀνανδρίαν αὐτοῦ καταγινώσκων, εἰ μὴ τὸ ἑαυτοῦ ἀναρρύσαιτο· καὶ νῦν μαρτύρομαι πάντας καὶ ἄρχοντας καὶ ἀρχομένους, ὅτι ἀδικεῖται ὁ Εὐφήμιος. Χρὴ γὰρ τῷ Εὐφημίῳ ἀποκαταστῆναι τὸ κτῆμα. Τὴν ὠνὴν τοῦ χωρίου Κανιτάλων τῷ αἰδεσιμωτάτῳ υἱῷ, τῷ ἐπισκόπῳ Ἀμφιλοχίῳ ἀποκαταστῆναι βούλομαι· ἔστι γὰρ ἐν τοῖς

* ἴσ. γραπτ. ὑποσχόμενος ἀκολουθῆσαι.

χαρτίοις ἡμῶν, καὶ πάντες ἴσασιν, ὅτι τὸ συνάλλαγμα ἐλύθη, καὶ τὴν τιμὴν ἀπέλαβον, καὶ τὴν νομὴν καὶ δεσποτείαν τοῦ κτήματος πάλαι παρέδωκα.

Εὐαγρίῳ τῷ διακόνῳ, πολλά μοι συγκαμόντι καὶ συνεκφροντίσαντι, διὰ πλειόνων τε τὴν εὔνοιαν παραστήσαντι, χάριν ὁμολογῶ καὶ ἐπὶ Θεοῦ καὶ ἐπὶ ἀνθρώπων· καὶ τοῖς μείζοσι μὲν αὐτὸν ὁ Θεὸς ἀμείψαιτο, ἵνα δὲ μηδὲ τὰ μικρὰ τῆς φιλίας σύμβολα παρ' ἡμῶν ἐλλείπῃ, βούλομαι αὐτῷ δοθῆναι κάμασον α, στιχάριον α, παλλία β, χρυσᾶ ΝΝλ. Ὁμοίως καὶ τῷ γλυκυτάτῳ συνδιακόνῳ τῷ ἡμῶν ἀδελφῷ δοθῆναι βούλομαι κάμασον α, στιχάρια β, τῶν ἐν τῇ πατρίδι χρυσᾶ ΝΝκ, ἔκ τε ἐν τῇ πατρίδι λόγου. Ἐλαφίῳ τῷ νοταρίῳ εὐτρόπῳ ὄντι, καὶ καλῶς ἡμᾶς ἀναπαύσαντι, ὃν ὑπηρετήσατο χρόνον, βούλομαι δοθῆναι κάμασον α, στιχάρια β, παλλία γ, σιγιλλίωνα ἐν τῇ πατρίδι, χρυσᾶ ΝΝκ.

Ταύτην μου τὴν διαθήκην κυρίαν καὶ βεβαίαν εἶναι βούλομαι ἐπὶ παντὸς δικαστηρίου, καὶ πάσης ἐξουσίας. Εἰ δὲ καὶ ὡς διαθήκη μὴ ἰσχύσειεν, ὡς βούλησιν τελείαν, εἴ τ' οὖν κωδίκελλον, αὐτὴν ἰσχύειν βούλομαι. Ὁ δ' ἐπιχειρῶν αὐτὴν ἀνατρέπειν, δώσει λόγον ἐν ἡμέρᾳ κρίσεως, καὶ ἕξει τὸν λόγον πρὸς τοὔνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

ΓΡΗΓΟΡΙΟΣ ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει, ἀναγνοὺς τὴν διαθήκην, καὶ ἀρεσθεὶς πᾶσι τοῖς γεγραμμένοις, ὑπέγραψα χειρὶ ἐμῇ, καὶ ἰσχύειν αὐτὴν κελεύω καὶ βούλομαι.

ΑΜΦΙΛΟΧΙΟΣ ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας τῆς ἐν Ἰκονίῳ, παρὼν τῇ διαθήκῃ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Γρηγορίου, καὶ παρακληθεὶς παρ' αὐτοῦ, ὑπέγραψα χειρὶ ἐμῇ.

ΟΠΤΙΜΟΣ ἐπίσκοπος τῆς κατ' Ἀντιόχειαν καθολικῆς ἐκκλησίας, παρὼν διατιθεμένῳ τῷ αἰδεσιμωτάτῳ Γρηγορίῳ κατὰ τὰ προγεγραμμένα, καὶ παρακληθεὶς παρ' αὐτοῦ, ὑπέγραψα χειρὶ ἐμῇ.

ΘΕΟΔΟΣΙΟΣ ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας τῆς ἐν

Ὑδῇ, παρὼν τῇ διαθήκῃ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Γρηγορίου, καὶ παρακληθεὶς παρ' αὐτοῦ, ὑπέγραψα χειρὶ ἐμῇ.

ΘΕΟΔΟΥΛΟΣ ἐπίσκοπος τῆς ἁγίας καθολικῆς ἐκκλησίας τῆς κατὰ Ἀπάμειαν, παρὼν, καὶ τὰ ἑξῆς.

ΘΕΜΙΣΤΙΟΣ ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας τῆς κατὰ Ἀδριανούπολιν, παρὼν, καὶ τὰ ἑξῆς.

ΚΑΙΠΔΟΝΙΟΣ πρεσβύτερος τῆς ἐν Ἰκονίῳ ἐκκλησίας παρὼν, καὶ τὰ ἑξῆς.

Σημ. Τὸ ἴσον τῆς διαθήκης Γρηγορίου τοῦ Ναζιανζηνοῦ μετατυποῦται ἀπὸ τοῦ Jus Græcoromanum τοῦ Λεουγκλαβίου· ἐκδ. Freheri, σελ. 203—206 τοῦ Β' τόμου, ἔνθα προτίθεται «*τύπος τοῦ διατίθεσθαι παλαιὸς, ἐν ᾧ καὶ τὸ ἴσον*» κτλ. Ἴδε περὶ τῆς διαθήκης: Κ. Κοντογόνου Φιλολογικὴν καὶ Κριτικὴν Ἱστορίαν τῶν ἁγίων Πατέρων, τόμ. Β', σελ. 578, ὅπου σημειοῦται ὅτι *ἡ διαθήκη ἀντεγράφη ὑπὸ Ἰωάννου ἀναγνώστου καὶ νοταρίου τῆς ἁγιωτάτης ἐκκλησίας Ναζιανζοῦ*. Μεταξὺ δὲ τῶν ὑπογραφομένων ὁ μὲν Θεοδόσιος σημειοῦται *Ἴδης*, προστίθεται δὲ καὶ ἐπίσκοπος Ἱλάριος Ἰσαυρίας.

Β'.

ΕΡΩΤΗΣΕΙΣ ΜΟΝΑΧΩΝ ΑΓΙΟΡΕΙΤΩΝ

ΠΡΟΣ ΤΟΝ ΑΓΙΩΤΑΤΟΝ ΠΑΤΡΙΑΡΧΗΝ

ΝΙΚΟΛΑΟΝ.

Ἀπὸ τῆς καθ' ἡμᾶς λαύρας ἀδελφοὶ ἀπεστάλησαν εἰς τὴν ἁγιωσύνην σου ἐρωτῆσαί τινα ἐγγράφως ζητήματα ὄντα παρ' ἡμῖν ἀναγκαῖα· ὃς καὶ ὑποστρέψας ἔδειξεν ἡμῖν τὸ ὑπομνηστικὸν, ὃ ἐποίησε πρὸς τὴν ἁγιωσύνην σου, καὶ τὴν ἐξελθοῦσαν ὄπισθεν λύσιν ἔχουσαν οὕτως· Ὡς οὐ δεῖ καταλύειν τὴν νηστείαν ἐν τετραδοπαρασκευῇ χάριν μνήμης ἁγίου ἀποστόλου τινὸς εἰ μὴ μόνον ἐν ταῖς δεσποτικαῖς ἑορταῖς· καὶ ὅτι δεῖ εἰσιέναι τὸν μοναχὸν εἰς τὸ ἅγιον θυσιαστήριον εἰ κεκώλυται τῶν ἁγιασμάτων· ὁ γὰρ μονα-

χὸς ἀναγνώστου τάξιν ἐπέχει· καὶ ὅτι δεῖ νηστεύειν τὰς παραδεδομένας νηστείας καὶ ἐν αὐτῇ τῇ Πεντηκοστῇ καὶ τῷ δωδεκαημέρῳ, χωρὶς τῆς ἑβδομάδος τῆς διακαινησίμου· καὶ ὅτι οὐ δεῖ κλίνειν γόνυ ἐν σαββάτῳ, οὔτε φυλάττειν ἐξ ἀρχῆς τοῦ αὐγούστου καὶ μέχρι τῆς ιε΄ αὐτοῦ νηστείαν. Πρὸς ταῦτα διαπορήσαντες ἡμεῖς ἢ τὸν μοναχὸν διαψεύδεσθαι ἢ ἡμᾶς ἐσφάλθαι ὑπελάβομεν· διὸ καὶ ἐγράψαμεν νῦν ταῦτα πρὸς τὴν σὴν ἁγιότητα ὡς ἂν μάθωμεν περὶ αὐτῶν ἀκριβέστερον· τὸ γὰρ καταλύειν τὴν νηστείαν ἐν ταῖς τῶν μεγάλων καὶ ἁγίων ἀποστόλων ἑορταῖς εὑρίσκομεν ἐν τοῖς τυπικοῖς συναξαρίοις τοῦ τε ἁγίου Θεοδώρου τοῦ Στουδίτου καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀθανασίου καὶ ἄλλων πολλῶν, ὅπερ οὐ διαλανθάνει τὴν ὑμετέραν ἁγιωσύνην· ὡσαύτως τὴν Πεντηκοστὴν καὶ ἅπαν τὸ δωδεκαήμερον· περὶ* τούτων καὶ ὁ ἅγιος Ἀθανάσιος τάδε φησὶν ἔν τισι τῶν συγγραμμάτων αὐτοῦ, ὅτι οὐ δεῖ παραβαίνειν νηστείαν Κυρίου τὸν μοναχὸν ἢ τὸν ἱερέα· τουτέστι τετράδα καὶ παρασκευήν, εἰ μὴ ἐπὶ νόσῳ βεβάρηται, χωρὶς τῆς Πεντηκοστῆς καὶ τῶν Ἐπιφανείων· καὶ πάλιν τὰ αὐτὰ γράμματα περὶ νηστείας τῆς ἐν τετράδι καὶ παρασκευῇ· οἱ γὰρ θεοκήρυκες ἀπόστολοι πᾶσαν ἁπλῶς τετράδα καὶ παρασκευὴν δεῖν εἶπον νηστεύειν τὸν πιστόν, εἰ μὴ δι' ἀσθένειαν κωλύει τις ἀλλ' οὐχὶ τήνδε ἢ τήνδε· ἐν δὲ ταῖς τῶν ἁγίων μνήμαις οὐχὶ καταλύειν τὰς νηστείας ἀλλ' ἐκ τῶν ἔργων σχολάζειν ἐπέταξαν· τὸν δὲ μοναχὸν μὴ εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον καὶ μάλιστα τεθρονιασμένον σκοποῦμεν ἀπὸ τοῦ ΛΓ΄ κανόνος τῆς ἐν Τρούλλῳ συνόδου, μὴ παραχωρούσης ἐπὶ ἄμβωνος ψάλλειν ἢ ἀναγινώσκειν ἀσφράγιστόν τινα ἢ μοναχόν, καὶ εἰ ἐπὶ τούτου οὐ παραχωροῦσι, πολλῷ μᾶλλον εἰς τὸ θυσιαστήριον εἰσιέναι· ὡσαύτως καὶ ὁ τῆς ἐν Λαοδικείᾳ ΝΒ΄ κανὼν καὶ ὁ ΙΕ΄ περὶ τούτου λέγουσι καὶ ὁ τῆς ἐν Νικαίᾳ Α΄ συνόδου Β΄ καὶ ΙΔ΄ κανὼν σαφῶς περὶ ἀναγνωστῶν καὶ μοναχῶν λέγουσι. Τὸ μὲν δίχα χειροθεσίας ἐπὶ ἄμβωνος τὰς ἀναγνώσεις

* φαίνονται ἐντεῦθεν ἀρχόμεναι αἱ κανονικαὶ ἀποκρίσεις τοῦ πατριάρχου.

ποιεῖσθαι πανταχοῦ κεκώλυται· τὸ δὲ εἰς θυσιαστήριον εἰσιέναι μοναχοὺς ἁπλῶς χάριν ἐφάψεως κηροῦ ἢ λύχνου τοὺς μηδενὶ ἐγκλήματι γενομένους ἐνόχους οὐκ οἶμαι δεῖν κωλυθῆναι διὰ τὴν ἐκ τοῦ μοναχικοῦ σχήματος σεμνότητα.

Ἐρώτησις.

Περὶ τοῦ δεῖν κλίνειν γόνυ ἐν σαββάτῳ ἡ ἐν Νικαίᾳ σύνοδος καὶ ἡ ἐν Τρούλῳ διωρίσαντο, μεθ' ὧν καὶ ὁ μέγας Ἀθανάσιος ταδί φησι· μή τίς σε πλανήσῃ τὸ παράπαν ἐν κυριακῇ γονυπετεῖν, ἢ ἐν πεντηκοστῇ· καὶ περὶ σαββάτου οὐκ εἶπεν.

Λύσις.

Οὕτως ἔχει καὶ ἡ ἀλήθεια, πλὴν οἱ πολλοὶ διὰ τὸ μὴ γίνεσθαι νηστείαν ἐν σαββάτῳ, καὶ τὴν γονυκλισίαν παρῆκαν.

Ἐρώτησις.

Περὶ δὲ τῆς εἰς τὸν αὔγουστον μῆνα νηστείας εὑρίσκομεν εἰς τὴν τῆς ἑνώσεως σύνοδον, τὴν γενομένην ἐν Κωνσταντινουπόλει περὶ τῶν τριγάμων, καὶ περὶ ταύτης μνήμην τινά. Ταῦτα ἀπορήσαντες αἰτοῦμεν νῦν τὴν ἁγιωσύνην σου ἀπαλλάξαι ἡμᾶς τοῦ ἐνδοιασμοῦ.

Λύσις.

Ἦν ἡ νηστεία πρότερον ἐν τῷ καιρῷ τούτῳ, μετετέθη δὲ διὰ τὸ παρεμπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦτον γινομέναις ἐθνικαῖς νηστείαις, πλὴν καὶ ἔτι πολλοὶ τῶν ἀνθρώπων διὰ τὸ καθαρεύειν τῶν ἀρρωστημάτων νηστεύουσιν.

Ἐρώτησις.

Σὺν τούτοις ἀξιοῦμεν λυθῆναι καὶ τόδε· ἡ ἐν Νεοκαισαρείᾳ γενομένη ἁγία σύνοδος, εἰς κανόνας ἐννέα, καὶ ὁ μέγας Βασίλειος ἐν ταῖς πρὸς Ἀμφιλόχιον ἐπιστολαῖς αὐτοῦ εἰς κανόνας τρεῖς, οἱ μὲν περὶ τοῦ ἡμαρτηκότος ἱερέως, οἱ δὲ περὶ διακόνου μετὰ τὴν διακονίαν πορνεύσαντος· εἰ οὖν εὑρέθη τις προημαρτηκὼς πολλὰ ἢ ὀλίγα καὶ μετὰ τὴν χειροτονίαν τὸ αὐτὸ ποιήσας χρὴ τοῦτον

ἀρκεσθῆναι μόνῃ τῇ ἀφαιρέσει τῆς χάριτος, κοινωνεῖν δὲ τῶν ἁγιασμάτων καὶ τῶν εὐχῶν;

Λύσις.

Ὁ πρῶτος κανὼν τῆς ἐν Νικαίᾳ συνόδου λύει τὴν ἀπορίαν εἰς τὸν τῆς μετανοίας τόπον ἱστῶν τὸν ἁμαρτήσαντα· καὶ οἱ τοῦ μεγάλου δὲ Βασιλείου τρεῖς οὐκ ἐπὶ τῆς συνηθείας μόνης ἵστανται ἀλλὰ καὶ τὴν ἀκρίβειαν ἐπιζητεῖ.

Ἐρώτησις.

Εἰ δεῖ τὸν δαιμονιζόμενον μεταλαμβάνειν τῶν ἁγιασμάτων· ὁ μὲν γὰρ ἅγιος Τιμόθεος εἰς τὰς πρὸς αὐτὸν ἐρωτήσεις εἶπεν ἄλλως. Δηλωθήτω οὖν ἡμῖν τὸ κρεῖττον.

Λύσις.

Εἰ ἀπὸ μέλανος ἐνοχλεῖται χυμοῦ τις ὡς δοκεῖν δαιμονᾷν, οὐ κωλυθήσεται· εἰ δὲ τῇ ἀληθείᾳ δαιμονῶν ἐστὶν ἥκιστα τῶν ἁγιασμάτων ἀξιωθήσεται· ὅτι οὐδὲ κοινωνία τις φωτὶ πρὸς σκότος.

Ἐρώτησις.

Εἰ δεῖ τὰ προσφερόμενα ἐν τῇ ἐκκλησίᾳ, οἷον προσφορὰς καὶ νάματα ἀδιαφόρως ἐσθίειν τὸν ἱερέα καὶ ὅπου βούλεται καὶ ὡς βούλεται καὶ ὡς ἄρτον κοινὸν ἐσθίειν αὐτά, ἢ μετὰ προσοχῆς καὶ φειδοῦς καὶ ὀλίγον· εἰ δὲ περιτταί εἰσι τί χρὴ ταῦτα ποιεῖν· γίνονται γὰρ ἐνταῦθα μεγάλαι προσφοραὶ καὶ μερίζουσι ταύτας οἱ ἱερεῖς καὶ διδόασιν ᾧτινι βούλονται.

Λύσις.

Τὰ μὲν τῆς ὑψωθείσης κλάσματα οὐχὶ, ἀλλ' ἐν ἐκκλησίᾳ μόνον ἐσθίειν ἕως τ' ἂν ἅπαντα δαπανήσωσι· τὰ δὲ περιττὰ τῶν ἄλλων μὴ μετὰ γάλακτος καὶ τυροῦ καὶ ἰχθύων ἀλλ' ἀποτεταγμένως καὶ ἰδιαζόντως.

Ἐρώτησις.

Ἐὰν φθάσῃ δεσποτικῶν ἑορτῶν παραμονὴ ἐν τετραδοπαρασκευῇ χρὴ καταλύειν τὴν νηστείαν τῇ ἑσπέρᾳ διὰ τὴν παραμονήν;

Λύσις.

Οὐχί.

Ἐρώτησις.

Ἐάν τις ἀποκαρῇ ἐν Κωνσταντινουπόλει ἢ ἀλλαχοῦ κατὰ κόσμον καὶ δώσῃ τὰς συνθήκας ἐκεῖσε, βλάπτεται δὲ ἴσως ψυχικῶς καὶ βουληθῇ ὑποχωρῆσαι διὰ τὴν βλάβην, γνῷ δὲ αὐτὸν ὁ ἡγούμενος καὶ δεσμήσει τί δεῖ ποιῆσαι τὸν ἀδελφὸν περὶ τῆς βλάβης καὶ τοῦ δεσμοῦ;

Λύσις.

Χρὴ τοῦτον λέγειν τῷ προεστῶτι τὴν βλάβην καὶ οὕτως ἀναχωρεῖν.

Ἐρώτησις.

Ἀδελφός τις τῶν μεθ' ἡμῶν, πρότερον κατὰ κόσμον καθήμενος, πολλῶν ἀνεδέχετο λογισμούς, καίπερ μηδὲν τῶν κανονικῶν ἐπιστάμενος τάξεων, ἱερεῖς οὖν παραπεσόντας καὶ μοναχοὺς ὁμοίως παραδεξάμενος καὶ ἄλλα βαρέα ἐγκλήματα συνεχώρει πᾶσι μηδὲν ἄλλο ποιῶν· πάντων οὖν ἐκείνων τεθνηκότων, οὗτος εἰσελθὼν ἐνταῦθα καὶ τοὺς θείους κανόνας διερευνήσας τὴν ἑαυτοῦ βλάβην ἐπέγνω καὶ πλάνην. Δηλωθήτω οὖν παρὰ τῆς ἁγιωσύνης σου τῷ τοιούτῳ τί ὀφείλει ποιῆσαι περὶ τούτου.

Λύσις.

Ἵνα ποιῇ ὑπὲρ ἐκείνων καθ' ἑκάστην τρισάγια καὶ μετανοίας, ἐκτὸς ὧν ὀφείλει ὑπὲρ ἑαυτοῦ ποιεῖν.

Ἐρώτησις.

Ἀλλὰ καὶ τοὺς ἐπ' ἐγκλήμασι καθαιρεθέντας ἱερέας ἢ ἑκουσίως τὴν ἱερωσύνην καταλείψαντας χρὴ λέγειν τό: εὐλογητὸς ὁ Θεός, καὶ τό: ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, ἢ Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ἢ θυμιᾷν μετὰ θυμιατοῦ μὴ παρόντος ἱερέως, ἢ εἰσέρχεσθαι καὶ μεταλαμβάνειν ἔνδον τοῦ ἁγίου θυσιαστηρίου;

Λύσις.

Οὐχί· εἰς γὰρ τὸν τῶν λαϊκῶν κατενήνεκται τόπον.

Ἐρώτησις.

Τί ἐστιν ὃ εἴρηκεν ὁ ἅγιος Βασίλειος «ὁ ἐν χείλεσι μιανθείς»;

Λύσις.

Οὐδὲν ἕτερον, οἶμαι, ἢ τὸ ἐμπαθῶς ἀσπάσασθαι.

Ἐρώτησις.

Ὡσαύτως ὅπερ λέγει ὁ αὐτὸς ἅγιος Βασίλειος εἰς τοὺς μικροὺς κανόνας, ὅτι ἔστω ἀπὸ εὐλογίας κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος;

Λύσις.

Τὸ ἀποστερεῖσθαι τοῦτον τῆς διδομένης ἐν τῇ ἐκκλησίᾳ προσφορᾶς.

Ἐρώτησις.

Εἰ χρὴ τοὺς κεκωλυμένους ἀπὸ τῆς ἁγίας δωρεᾶς ἐσθίειν ὑψουμένην προσφορὰν ἤτοι προκεκομισμένην;

Λύσις.

Εὑρίσκομεν ἐν τῷ βίῳ τοῦ ἁγίου Θεοδώρου τοῦ Σικεώτου τοὺς τοιούτους κωλυομένους· ἀλλὰ καὶ οἱ θεῖοι κανόνες τοὺς τοιούτους κωλύουσιν.

Ἐρώτησις.

Καὶ περὶ τοῦ κανόνος τοῦ Νηστευτοῦ εἰ χρὴ μετ' αὐτοῦ κανονίζειν τοὺς ἀσθενεστέρους ἢ πάντας.

Λύσις.

Ἐπεκράτησε νῦν ἡ συνήθεια διὰ τῆς βίβλου ταύτης κανονίζεσθαι τοὺς πολλούς· πλὴν οἱ ἐν γνώσει τοῦ καλοῦ ὄντες καὶ σφαλλόμενοι διὰ τῆς κανονικῆς ἐπορθωθήσονται βίβλου.

Ἐρώτησις.

Ἀλλὰ καὶ περὶ τῶν τελευτώντων πατέρων καὶ ἀδελφῶν ἡμῶν εἰ χρὴ τὰ τούτων ἑτέρωθεν μετακομίζεσθαι λείψανα καὶ κενοῦσθαι τοὺς τάφους, ἔνθα δὴ καὶ ἐνθάπτονται, εἴτε καὶ μή· ἀπὸ γὰρ τῶν πολλῶν πληροῦνται τὰ κοιμητήρια· ὅθεν καὶ ᾠκονο·

μήθη ἐξ ἀρχῆς ἐνδότερος τόπος εἰς τὴν αὐτὴν ἐκκλησίαν, ἔνθα καὶ οἱ τάφοι εἰσί· καὶ ὅτε πληρωθῶσιν οἱ τάφοι τῶν λειψάνων γίνεται ἀνακομιδὴ καὶ τίθενται τὰ λείψανα ἐκεῖσε· ὃς καὶ περικεκλεισμένος ὢν ἔχει ἔνδοθεν κανδήλαν ἐπάνω τῶν λειψάνων διόλου ἅπτουσαν.

Λύσις.

Τὸ δι' οἰκονομίαν τινὰ γενόμενον καὶ εἰς ἀγαθὸν συντεῖνον σκοπὸν οὐδ' ἑνὶ τῶν συνετῶν ὑπό τινα αἰτίασιν καθίσταται· ὅθεν οὐδὲν τὸ περὶ τῶν τεθνεώτων παρ' ἡμῖν οἰκονομούμενον ὑπὸ μέμψιν τοῖς εὖ φρονοῦσι γενήσεται.

Ἐρώτησις.

Καὶ περὶ τῶν ποιούντων ἰδιοχείρους σταυροὺς καὶ παραιτήσεις ἡγουμενιῶν καὶ λοιπῶν τινῶν ἀθετούντων περὶ τὰ ἰδιόχειρα καὶ ἐγχειριζομένων πάλιν ἃ παρῃτήσαντο, εἰ χρὴ δέχεσθαι τούτους καὶ ποίας ἐντολῆς εἰσὶν ἄξιοι;

Λύσις.

Ὁ μὲν πολιτικὸς νόμος προστίμοις οἶδε κολάζειν τοὺς τῶν μὴ παρανόμων ἐγγράφων ἀθετητάς· ὁ δὲ ἐκκλησιαστικός, εἰ μὴ προστίμοις τοῖς τῶν ἐγγράφων ὑποπεσεῖν ἔφθασαν, ἑτέρῳ ἐπάγει τὴν ἐπιτίμησιν, οὐκ ἀπὸ κανονικῆς διαταγῆς ἀλλ' ἐκ τῆς ἀρχιερατικῆς αὐθεντίας, πλὴν εἰ μὴ τῶν ἐγγράφων ἡ δύναμις σκοπευθῇ καὶ ἡ ἐκ τῆς ἀθετήσεως τούτων προσγινομένη τισὶ βλάβη· ἀδύνατον ἡμᾶς ἑτέρως τι ἀποκριθῆναι.

Ἐρώτησις.

Εἰ δεῖ τὰ διὰ Κλήμεντος ἀποστολικὰ βιβλία ἀναγινώσκεσθαι καὶ φυλάττεσθαι.

Λύσις.

Οὐχί, διὰ τὸ ἐν διαφόροις χωρίοις νοθευθῆναι.

Ἐρώτησις.

Πῶς νοητέον «δίκαιος ἀποθανὼν ἔλιπε μετάμελον»;

Λύσις.

Ὁ δίκαιος ἀποθανὼν καὶ πάσας τὰς ἀρετὰς μεθ' ἑαυτοῦ λαβών, τὴν σωφροσύνην, τὴν ἁγνείαν, τὴν ἐλεημοσύνην, τὴν δικαιοσύνην, μετὰ τὰς λοιπὰς ἀρετάς, κατέλιπεν ἐν τῷ βίῳ τούτῳ τὴν μεταμέλησιν καὶ ἀνεληλύθει εἰς τοὺς οὐρανοὺς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πεπαρρησιασμένως μετ' εὐφροσύνης. Δίκαιος ἀποθανὼν κατέλιπε τοῖς ἀνθρώποις ἐν τῷ βίῳ τούτῳ μεταμέλειαν, ὀδυνομένοις ἐπὶ τῇ στερήσει τῆς διδαχῆς αὐτοῦ.

Σημ. Μετεγράφη ἐκ τοῦ ὑπ' ἀριθμ. 290 χειρογράφου τῆς ἐν Ἁγίῳ Ὄρει ἱερᾶς μονῆς τῶν Ἰβήρων, γραφέντος ἐν τέλει τοῦ ΙΕ' ἢ ἐν ἀρχαῖς τοῦ ΙϚ' αἰῶνος. Καὶ περὶ μὲν τοῦ πατριάρχου Νικολάου τοῦ Γραμματικοῦ βλ. Μ. Ἰ. Γεδεὼν *Πατριαρχικοὺς Πίνακας*· αἱ δ' ἐρωτήσεις αὗται καὶ ἀποκρίσεις εἰσὶ πληρέστεραι τῶν ἐκδεδομένων τοῦ αὐτοῦ πατριάρχου παρὰ Ῥάλλῃ καὶ Ποτλῇ Βευερηγίῳ, Νικοδήμῳ ἐν *Πηδαλίῳ* καὶ Χριστοφόρῳ Προδρομίτῃ ἐν τῷ *Κανονικῷ* αὐτοῦ.

Γ'.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΕΚΚΟΥ

ΛΥΣΙΣ ΣΥΝΟΔΙΚΗ

ΕΠΙ ΤΑΙΣ ΕΡΩΤΗΣΕΣΙΝ ΑΣ ΠΡΟΕΤΕΙΝΕΝ Ο ΕΠΙΣΚΟΠΟΣ ΤΟΥ ΣΑΡΑΗ

Μηνὶ αὐγούστου ιβ', ἡμέρᾳ δ', ἰνδικτιῶνος δ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου πατριάρχου Κωνσταντινουπόλεως νέας Ῥώμης κυροῦ Ἰωάννου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας καὶ ὑπερτίμου Λέοντος, τοῦ Χαλκηδόνος καὶ ὑπερτίμου Νικολάου, τοῦ Ἀθηνῶν καὶ ὑπερτίμου Μελετίου, τοῦ Ἀχυράους Λαυρεντίου, τοῦ Βιζύης Ἰωάννου, τοῦ Δέρκου Κωνσταντίνου καὶ τοῦ Λευκάδος Σωφρο-

νίου παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων. Ὁ θεοφιλέστατος ἐπίσκοπος τοῦ Σαράη, προκαθημένης συνοδικῶς τῆς ἡμῶν μετριότητος, προέτεινεν εἰς τὸ μέσον ἐρωτήσεις τινάς, καὶ τὰς προσηκούσας ἀποκρίσεις ἐφ' ἑκάστῃ τούτων ἐδέξατο. Αἱ δέ εἰσιν αὗται. Ἠρώτησε ποσάκις τοῦ χρόνου ἔνι συνήθεια λέγειν τὸν ἀρχιερέα τὸ Εὐαγγέλιον. Καὶ ἡ ἀπόκρισις ὅτι δ' φοράς· ἤτοι τῇ μεγάλῃ Ε' ἑσπέρας εἰς τὴν ἀγρυπνίαν τὸ τῆς Διαθήκης Εὐαγγέλιον· τῇ μεγάλῃ Κυριακῇ ἔν τε τῇ λειτουργίᾳ καὶ τῷ ἑσπερινῷ· καὶ τὴν πρώτην τοῦ σεπτεμβρίου μηνός, ἐπὶ τῇ γινομένῃ λιτῇ. **Ἠρώτησε** περὶ τῆς ἀκολουθίας τοῦ βαπτίσματος ὅτι, ποσάκις δεῖ λέγειν τὰς εὐχάς· καὶ εἰ χρὴ πολλοὺς ἱερεῖς ἐν ταὐτῷ συνέρχεσθαι εἰς τὸ ἐκτελέσαι τὸ βάπτισμα·

καὶ ἡ ἀπόκρισις· ὅτι χρὴ ἀπὸ μιᾶς φορᾶς τὰς εὐχὰς λέγειν τὸν ἱερέα καὶ βαπτίζειν ἕνα μόνον ἱερέα καὶ ἕνα μόνον τὰς εὐχὰς λέγειν· εἰ δὲ βούλεται ὁ ἔχων τὸ βαπτιζόμενον παιδίον διὰ τιμὴν οἰκείαν καὶ δόξαν περισσοτέρους παρακαλέσασθαι ἱερεῖς, ἔστωσαν μὲν πολλοὶ ἱερεῖς ἐν τῷ τοιούτῳ βαπτίσματι, πλὴν εἷς μόνος ἐκ τούτων ἂς λέγει καὶ τὰς εὐχὰς ἑκάστην ἀπὸ μιᾶς φορᾶς καὶ ἂς βαπτίζει τὸ βαπτιζόμενον παιδίον· οἱ δὲ ἄλλοι ἱερεῖς ἂς ἵστανται ἢ φοροῦντες ἀλλαγὰς ἱερατικάς, ἢ οὕτως· εἰ δὲ πολλάκις συμβῇ καὶ ἡ ἀνάγκη φέρει ὡς ἵνα συνέλθωσι πολλὰ παιδία εἰς μίαν ἡμέραν ἐπὶ τῷ βαπτισθῆναι, καὶ οὐκ ἔνι δυνατὸν ἵνα ἓν ἕκαστον παιδίον ἀνὰ μέρος βαπτίζηται, εἰ μὲν ὦσιν ἱερεῖς πολλοί, ἂς μερίζωσι τὰ παιδία, καὶ ἂς βαπτίζει εἷς ἕκαστος ἱερεὺς ἓν ἕκαστον παιδίον λέγων μίαν ἑκάστην τῶν εὐχῶν ἅπαξ· εἰ δὲ εἷς μόνος εὑρίσκεται ἱερεύς, ὀφείλει ἱστᾶν κατὰ ῥάδαν πάντα τὰ παιδία καὶ λέγειν τὰς εὐχὰς ἅπαξ ἑκάστην· καὶ ἔπειτα ἓν ἕκαστον παιδίον βαπτίζειν ἐν μιᾷ κολυμβήθρᾳ μετὰ τὴν συμπλήρωσιν τῶν εὐχῶν.

Ἠρώτησεν ἐὰν πρέπῃ γίνεσθαι λειτουργία τῇ μεγάλῃ παρασκευῇ·

καὶ ἡ ἀπόκρισις· ὅτι οὐ παρελάβομεν λειτουργίας τότε ποιεῖν.

Ἠρώτησεν εἰ δεῖ μὴ μόνον ἕνα ἄρτον ἀλλὰ καὶ δύο ἢ καὶ περισσοτέρους εἰς ἄλλον καὶ ἄλλον δίσκον κεῖσθαι·

καὶ ἡ ἀπόκρισις ὅτι καὶ δύο καὶ τρεῖς ἄρτοι ἔσονται εἰς διαφόρους κείμενοι δίσκους· πλὴν ἡνίκα πολλοὶ εἰσὶν οἱ λειτουργοῦντες, ὑψωθήσεται ἐκ τούτων εἷς μόνον, οἱ δὲ ἄλλοι ἀφεθήτωσαν, ἐν τῇ ὑψώσει τοῦ ἑνὸς συνυψούμενοι καὶ ἐκεῖνοι.

Ἠρώτησεν ὅτι ὅτε χειροτονεῖται ἱερεὺς, ἐκ ποίου ἄρτου πρέπει μεταδιδόναι αὐτοῦ· καὶ εἰ πρέπει γίνεσθαι τὴν μετάδοσιν ἐκ τοῦ μέλλοντος ὑψοῦσθαι καὶ προσφέρεσθαι ἄρτου·

καὶ ἡ ἀπόκρισις ὅτι οὐ χρὴ ἐκ τοῦ προσφερομένου ἄρτου μεταδιδόναι τῷ χειροτονουμένῳ ἱερεῖ, ὅτι οὐδὲ ὅλως κλᾶσθαι αὐτὸν πρὸ τῆς ὑψώσεως· ἀλλὰ πρέπει ὅταν μέλλῃ χειροτονεῖσθαι ἱερεὺς καὶ ἕτερον ἄρτον ἐν δίσκῳ εἶναι ὥσπερ παρακαταθήκην· καὶ ἐξ ἐκείνου τοῦ ἄρτου κόπτειν καὶ διδόναι τμῆμα τῷ χειροτονουμένῳ ἱερεῖ· τὸν δὲ προσφερόμενον συντηρεῖν ἕως τῆς τεταγμένης ὥρας, καθ' ἣν κλᾶται.

Ἠρώτησεν ὅτι ἐὰν πολλάκις συμβῇ καὶ θέλει ἀρχιερεὺς ἵνα λειτουργήσῃ, οὐχ' εὑρίσκονται δὲ διάκονοι ἀλλὰ ἱερεῖς, ἐὰν πρέπῃ ἵνα λειτουργήσῃ ὁ ἀρχιερεὺς μετὰ τῶν ἱερέων·

καὶ ἡ ἀπολογία ὅτι ὅταν ἔνι χρεία, καὶ οὐδὲν εὑρίσκονται διάκονοι, ἀλλὰ ἱερεῖς, καὶ θέλει ὁ ἀρχιερεὺς ἵνα λειτουργήσῃ, οὐδὲν κωλύει ἵνα ποιήσῃ τοῦτο καὶ λειτουργήσῃ μετὰ τῶν ἱερέων· εἰ δὲ εὑρίσκονται διάκονοι, λειτουργείτω μετὰ τῶν διακόνων.

Ἠρώτησεν ὅτι ἐὰν ὦσιν ἐν τῷ ἅμα δύο ἢ τρεῖς, ἢ περισσότεροι ἱερεῖς, οὐδὲν δὲ ἔχωσι διακόνους καὶ θέλουσιν ἵνα λειτουργήσωσιν ἐν τῷ ἅμα, πρέπει ἵνα λειτουργήσωσιν ἄνευ διακόνους;

καὶ ἡ ἀπόκρισις ὅτι εἰ πολλάκις χρείας ἐπειγούσης εὑρίσκονται δύο ἢ τρεῖς ἱερεῖς, ἢ καὶ περισσότερον, καὶ διακόνους οὐδὲν ἔχωσι, οὐδὲν κωλύει ἵνα λειτουργῶσιν ἐν τῷ ἅμα οἱ ἱερεῖς, χωρὶς διακόνους, πλὴν οὐκ ὀφείλουσιν ἐξάγειν τινὰ τῶν ἱερέων ἔξω τοῦ βήματος ἐπὶ τῷ λέγειν τὰς αἰτήσεις· ἀλλ' ὀφείλουσιν ἅπαντες ἵστασθαι ἐν τῷ βήματι· ἃς λέγει δὲ τὰς αἰτήσεις εἷς ἀπὸ τῶν ἱερέων, ὁ ἐν τῷ μέσῳ ἱστάμενος.

Ἠρώτησεν ὅτι ἐὰν πολλάκις τύχῃ εἶναι τινὰ ἐν περιστάσει καὶ κινδύνῳ θανάτου, οὐ τύχῃ δὲ μοναχὸς ἀλλὰ ἀρχιερεὺς ἢ πρέπον (;) ἢ διακόνων, ἐὰν πρέπῃ παρὰ τοῦ τοιούτου ἀποκείρεσθαι τὸν ἐν περιστάσει ὄντα·

καὶ ἡ ἀπολογία ὅτι εἰ ἔνι βία κατεπείγουσα καὶ ἔχει τις περίστασιν καὶ κινδυνεύει περὶ τὸ ζῆν, οὐχ εὑρίσκεται δὲ ἐκεῖ μοναχός τις ἵνα ἀποκείρῃ αὐτὸν, εὑρίσκεται δὲ ἀρχιερεὺς, ἢ ἱερεὺς, ἢ διάκονος, οὐδὲν κωλύει ἵνα ἀποκείρῃ οὗτος τὸν ὄντα ἐν περιστάσει· οὐ μόνον δὲ ἀρχιερεὺς ἢ ἱερεὺς ἢ διάκονος ὀφείλει τοῦτο· καὶ οὐδὲν ἐμπόδιον εὑρίσκει περὶ τῶν κανόνων εἰς τοῦτο.

Ἠρώτησεν ἐάν τις γυνὴ ποτὲ συνῴκει ἀνδρὶ δίχα μνηστείας καὶ ἱερολογίας· ἔπειτα ὕστερον ἦλθεν εἰς κατάστασιν καλοῦ βίου καὶ σώφρονος, ἐὰν ἐνδέχηται ποιεῖν αὐτὴν προσφορὰν, ἢ ἐὰν οὐ πρέπῃ τοῦτο γίνεσθαι διὰ τὸ ποτὲ πορνεύειν αὐτὴν ὡς ἄνευ μνηστείας καὶ ἱερολογίας συνοικοῦσαν ᾧ εἶχεν ἀνδρί·

καὶ ἡ ἀπόκρισις ὅτι ἐὰν ἡ τοιαύτη γυνὴ ἔχῃ καλὸν βίον καὶ σώφρονα, οὐδὲν ἐστὶ τὸ κωλύον ἵνα ποιῇ αὕτη προσφοράς.

Ἠρώτησεν ἐὰν ἐνδέχηται ἀποπιέζειν σταφυλὰς καὶ βάλλειν ὕδωρ καὶ προσφέρειν αὐτὸ εἰς τὴν θείαν ἱερουργίαν·

καὶ ἡ ἀπόκρισις ὅτι ὅπου μὲν οὐδὲν εὑρίσκεται κρασὶ καὶ ἔνι ἀνάγκη καὶ βία ἵνα γένηται λειτουργία, ἂς ποιῶσι τοῦτο, καὶ ἂς ἀποπιέζωσι σταφυλὰς, καὶ ἂς προσφέρωσιν εἰς τὴν θείαν ἱερουργίαν· ὅπου δὲ εὑρίσκεται οἶνος, οὐκ ὀφείλει τις τοῦτο ποιῆσαι· εἰ δὲ τολμήσει καὶ ποιήσει αὐτὸ, γινωσκέτω κἂν ὁποῖος ἄρα καὶ εἴη ὅτι ἔχει μέγα κρίμα παρὰ Θεοῦ.

Ἠρώτησεν ἐὰν δεῖ ἀδελφὸν τοῦ βαπτίσαντος θείαν ἢ πρωτεξαδέλφην τοῦ βαπτισθέντος προσώπου εἰς γυναῖκα λαβεῖν·

καὶ ἡ ἀπόκρισις ὅτι οὐ τοῦτο κωλύει γίνεσθαι.

Ἠρώτησεν ἐὰν δεῖ ἱερέα εἰσελθόντα εἰς πόλεμον καὶ ποιήσαντα φόνον αὖθις μετὰ τὸ διαπράξασθαι τοῦτο ἱερουργεῖν·

καὶ ἡ ἀπολογία ὅτι τοῦτο κεκωλυμένον παρὰ τῶν κανόνων ἐστί· καὶ ὅστις ἂν τῶν ἱερέων εἰσέλθῃ εἰς πόλεμον καὶ ποιήσῃ φόνον,

ὁ τοιοῦτος ἀπὸ τότε ὀφείλει καθαιρεῖσθαι καὶ ἀργεῖν ἀπὸ τῆς ἱερωσύνης.

Ἠρώτησεν ἐὰν δεῖ ἐπιφέρεσθαι θεῖον ἄρτον ἐν ταῖς ὁδοῖς·
καὶ ἡ ἀπόκρισις ἵνα γένηται τοῦτο.

Ἠρώτησεν ἐὰν δεῖ ἀνακαινίζεσθαι παλαιὰ ἱερὰ σκεύη·
καὶ ἡ ἀπολογία ὅτι ἐὰν εἴη χρεία τις ἀνακαινισθήσονται· πλὴν ὀφείλουσι τὰ ἐργαλεῖα ἐκεῖνα, μεθ' ὧν μέλλουσιν οἱ τεχνῖται ἀνακαινίσαι τὰ ἱερὰ σκεύη, ἵνα ἐμβληθῶσιν εἰς σακκίον καὶ δεθῶσι καὶ ἀπορριφθῶσιν ἐντὸς ἢ θαλάσσης ἢ μεγάλου ποταμοῦ, ὥστε μηκέτι ταῦτα πρὸς τὴν γῆν ἐκβληθῆναι καὶ παρά τινος εὑρεθῆναι, μήπως συμβῇ καὶ εὕρῃ τις ταῦτα καὶ χρήσηται αὐτοῖς εἰς ἑτέραν δουλείαν· καὶ ἔνι τοῦτο κρίμα μέγα. Ἐπὶ τούτοις ἀνέφερε καὶ ὅτι εἰσέρχονται εἰς τὴν ἐνορίαν αὐτοῦ ἐκ διαφόρων ἐπαρχιῶν ἄνθρωποι πλὴν ἐκ μιᾶς ἑκάστης ὀλίγοι· ἀπὸ τῆς Ἀλανίας· τῆς Ζηκχίας· καὶ τῶν ἑτέρων τῶν περὶ αὐτὰς χωρῶν· καὶ θέλουσιν οἱ ἀρχιερεῖς τῶν χωρῶν, ἐξ ὧν εἰσὶν οἱ εἰς τὴν ἐνορίαν αὐτοῦ εἰσερχόμενοι ἄνθρωποι εἰσέρχεσθαι ἐν τῇ ἐνορίᾳ· τοῦτο διὰ τοὺς τοιούτους ἀνθρώπους τοὺς ἐκ τῶν ἐνοριῶν αὐτῶν. Διέγνω γοῦν καὶ ἐπὶ τούτῳ ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, ὡς ἂν ἐπεὶ οὐ πολὺ πλῆθος, ἀλλ' ὀλίγοι τινὲς ἐκ μιᾶς ἑκάστης τῶν εἰρημένων χωρῶν ἀπέρχονται καὶ κατοικοῦσιν ἐν τῷ τόπῳ τῆς ἐνορίας του Σαράη, ἔχῃ οὗτος τὴν πνευματικὴν ἐξουσίαν ἐπὶ τούτοις καὶ ἀρχιερατικῶς κυβερνᾷ καὶ διεξάγῃ αὐτούς· οἱ δὲ ἀρχιερεῖς τῶν χωρῶν, ἀφ' ὧν ἐξῆλθον οἱ τοιοῦτοι, ἀπέχωσιν ἀπ' αὐτῶν ὡς ἐν τῇ ἐνορίᾳ οἰκιζομένων τοῦ διαληφθέντος θεοφιλεστάτου ἐπισκόπου τοῦ Σαράη. Ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος πιστωθέντα καὶ βεβαιωθέντα ἐπεδόθη· μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις τοῦ ,ςψπδ´ ἔτους.

Σημ. Ἡ συνοδικὴ λύσις αὕτη ἔστι μεταγεγραμμένη ἀπὸ τῆς *Νομικῆς Συναγωγῆς* τοῦ ἀειμνήστου Δοσιθέου Ἱεροσολύμων ἀποκειμένης ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐνταῦθα Ἁγιοταφικοῦ Μετοχίου. Τῆς λύσεως ταύτης ἐμνήσθη ὁ Κ. Σάθας ἐν προλεγομένοις τοῦ Γ' τόμου τῆς *Μεσαιωνικῆς* αὐτοῦ *Βιβλιοθήκης*, (σελ. μϐ') σημειώσας ἔτος τὸ 6984 (=1476) κατὰ λάθος. Περὶ Ἰωάννου τοῦ Βέκκου καὶ τῶν συγγραμμάτων καὶ τῶν ἐπ' αὐτοῦ γενομένων «τόμων» καὶ «διατάξεων» ἴδε Μ. Ἰ. Γεδεὼν *Πατριαρχικοὺς Πίνακας*, σελ. 394—396. καὶ *Εὐαγγελικοῦ Κήρυκος* τόμ. Ι', σελ. 564.

Δ'.

ΑΝΤΩΝΙΟΥ

(Ἰσιδώρου τοῦ μακαριωτάτου μητροπολίτου Θεσσαλονίκης τοῦ Γλαβᾶ*.)

Ἐπὶ τῶν ἡμετέρων ἡμερῶν, πατριαρχεύοντος κυρίου Ἀντωνίου· ἐν ἔτει ,ςωζζ', ἰνδικτιῶνος ιϐ', φεϐρουαρίου ιε'· ὁ Οὐγγροϐλαχίας κὺρ Ἄνθιμος, φορέσας τὸ μέγα σχῆμα ἐν ἀσθενείᾳ, ὑγιαίνων τὸν νοῦν, συνεχωρήθη ὥστε ἔχειν τὴν ἀρχιερωσύνην ὡς πρότερον· διεκρίθη γὰρ παρὰ τῆς συνόδου ὅτι ὁ κανὼν περὶ κοσμικῶν ἀρχιερέων δοκεῖ λέγειν παύεσθαι μεταχωρούντων εἰς τὸ μοναχικὸ σχῆμα· καὶ προσήκει τοῦτο τηρεῖσθαι ἀδιασείστως· εἰ γὰρ τοῖς ἐξη-

* Φαίνεται ὅτι ἡ σύνταξις τῆς παρούσης λύσεως τοῦ πατριάρχου Ἀντωνίου τοῦ ἀπὸ ἱερομονάχων (περὶ οὗ ἴδε *Πίνακας*, σελ. 448 κ. ἑξ.) ἀνετέθη εἰς τὸν Ἰσίδωρον Γλαϐᾶν μητροπολίτην Θεσσαλονίκης, ὅστις ἔγραψε καὶ τὴν παροῦσαν ὑπόμνησιν. Ἀνάγνωθι περὶ τοῦ Ἰσιδώρου παρὰ τῷ Casimiri Oudini : Commentarius de Scriptoribus Ecclesiæ Antiquis. Λειψία, 1722, τόμ. Γ', στήλην 1228 καὶ 1229. Τοῦ Ἰσιδώρου Γλαϐᾶ ἀποθησαυρίζει ἡ βιβλιοθήκη τοῦ Βατικανοῦ Ὁμιλίας εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον, καί τινας λόγους ἐκκλησιαστικοὺς ἕτεραι βιβλιοθῆκαι.

γηταῖς καὶ ἐπὶ τοῦ μεγάλου σχήματος τοῦτο δοκεῖ, ἀλλ' ἡ σύνοδος εἶπεν, ὡς ἕως ἂν μὴ παρὰ τοῦ κανόνος τοιαύτη συνάγηται ἔννοια, ἓν γὰρ ἦν πρότερον τὸ μοναχικὸν σχῆμα καὶ οὐ δύο, οὐκ ἀνάγκη τοῖς ἐξηγηταῖς ἀκολουθεῖν, ἀλλὰ τῷ κανόνι· ὅτι δὲ οὐκ ἀνάγκη δῆλον, ἐκ τοῦ κατὰ διαφόρους καιροὺς ἀπρακτῆσαι τὴν ἐξήγησιν ταύτην. Ὅθεν διεγνώσθη, ἵνα ἐπὶ μὲν τῶν κοσμικῶν ἀρχιερέων, ἐὰν μοναχοὶ γένωνται, παύωνται τοῦ ἱερουργεῖν κατὰ τὸν κανόνα· ἐπὶ δὲ τῶν μοναχῶν ἀρχιερέων, ὅταν τὸ μέγα ἐνδύσωνται σχῆμα, μένῃ τοῦτο ἐπὶ τῇ ψήφῳ τῆς συνόδου· ὡς ἄν, ἐὰν διακριθῇ ὁ μεγαλοσχημήσας ἀναγκαῖος διά τινα πλεονεκτήματα λυσιτελῆ, κληθῇ πάλιν πρὸς τὴν ἀρχιερατικὴν ἐργασίαν, πλὴν ἀβιάστως· ἐὰν δὲ μὴ κληθῇ, ἵνα μένῃ πεπαυμένος. Τὸ μὲν γὰρ καλεῖσθαι διεκρίθη, ὅπως μὴ φαίνωνται*, ἢ αὐθαδῶς κατ' ἐξουσίαν αὐτόνομον, νῦν μὲν ἀναχωρῶν τοῦ ἰδίου χοροῦ, νῦν δὲ τούτῳ προσχωρῶν, ἢ καὶ ψευδόμενος κατὰ τὰς ἰδίας συνταγάς· παρὰ γὰρ τῆς Ἐκκλησίας καλούμενος, δοκεῖ πως ταῦτα διαφεύγειν· τὸ δὲ ἀβιάστως καλεῖσθαι πρόσκειται, ἵνα ἐάν τις χωρήσῃ πρὸς τὸ μέγα σχῆμα διὰ μετάνοιαν καὶ ἀπόθεσιν τῶν σφαλμάτω,ν ἔχῃ τὸ ἀβίαστον πρὸς ἐκπλήρωσιν τῆς θεοφιλοῦς ἐννοίας· ἐκ δὲ τούτου σώζεσθαι καὶ ἄσειστος ὁ κανών, καὶ ἀνέῳκται καὶ θύρα τῷ βουλομένῳ διὰ τοῦ μεγάλου σχήματος ἀποθέσθαι τὴν ἀρχιερωσύνην. Εἰ δέ τις εἴποι διατί οὐ καλεῖται καὶ ὁ ἀπὸ κοσμικῶν εἰς μοναχοὺς τελέσας ἀρχιερεύς, εἶχε γὰρ ἂν καὶ αὐτὸς τὸ ἀνέγκλητον πρὸς τὰς συνταγάς, τοῦτο ἤδη φαμέν· πρῶτον μὲν ὅτι οὐ χρὴ πολυπραγμονεῖν τὸν κανόνα· ἀλλὰ στέργειν ἀπαραιτήτως κἂν τὸν λόγον ἀγνοῶμεν τῶν γεγραμμένων, ὡς οὖν ἐκεῖνο τοῦ κανόνος ἀποφαινομένου. Περὶ δὲ τοῦ μεγάλου σχήματος μηδαμῶς μνησθέντος, στέργειν ὀφείλομεν ἀπολυπραγμόνως ὅπερ εἴρηκε· περὶ δὲ οὗ μὴ εἴρηκεν, οὐκ ἀνάγκη βαρύνεσθαι· πλὴν διότι μετὰ τοὺς ἐξηγητὰς τοῦ κανόνος παρά τινων μὲν ἐτηρήθη μεγαλοσχη-

* γρπτ. φαίνηται.

μησάντων ἡ ἀργία, παρά τινων δὲ οὔ, καὶ ἐξ ἐκείνου ἐς δεῦρο συνήθειά τις πεπλημμένη* διέβη, διὰ τοῦτο νῦν διεγνώσθη περὶ τοῦ μεγάλου σχήματος ὅπερ ἔφημεν. Δεύτερον δὲ εἰ δεῖ τινα καὶ λόγον εἰπεῖν, ὅτι ὁ μὲν ἐκ μικροῦ σχήματος καλούμενος εἰς ἀρχιερωσύνην λύεται τῶν συνταγῶν οὐ διὰ μόνης τῆς κλήσεως, ἀλλὰ καὶ διὰ τῆς ἀρχιερατικῆς τελετῆς· ὁ γοῦν τοιοῦτος μεγαλόσχημος γενόμενος, τὰς αὐτὰς δίδωσι καὶ πάλιν συνταγάς· αἱ δέ, εἰσὶ λελυμέναι διὰ τῆς ἀρχιερατικῆς ἁγιστείας· καὶ δεῖται μόνης τῆς κλήσεως, ὡς ἂν μὴ δόξῃ αὐθάδης καὶ ἀναιδής, ἐξ οὗπερ ἑκὼν ἀνεχώρησε καταλόγου, ἑαυτὸν ἀναιδῶς τῷ τοιούτῳ συντάττων συστήματι· καὶ διὰ τοῦτο δίκαιον μὲν αὐτὸν μένειν μὴ καλούμενον εἰς ἥνπερ εἵλετο τάξιν, ἐξεῖναι δὲ τοῖς ὁμοταγέσιν, εἰ βούλοιντο, συντάξαι καὶ πάλιν τῷ ἰδίῳ χορῷ· ὅτι οὐδὲ ἁμάρτημά τι διΐστησιν αὐτὸν τῆς τούτων κοινωνίας, ἢ μόνη ἡ ἑκουσία ἀναχώρησις· ὁ γὰρ τῶν συνταγῶν δεσμὸς προλέλυται διὰ τοῦ ἀρχιερατικοῦ χαρίσματος· ὁ δὲ ἐκ κοσμικοῦ ἀρχιερεὺς μοναχὸς γενόμενος οὐκέτι ἔχει δευτέραν ἀρχιερωσύνην πρὸς λύσιν τῶν συνταγῶν· ἐκ δὲ μόνης τῆς κλήσεως, οὐκ ἔστι τὸ ἱκανὸν εἰς τὴν τούτων λύσιν· καὶ διὰ τοῦτο οὔτε καλεῖται· καὶ στέργειν ἀνάγκη τὴν κάτω πρὸς ἣν ἐχώρησε τάξιν.

Σημ. Ἡ ὑπόμνησις αὕτη τοῦ Θεσσαλονίκης Ἰσιδώρου τοῦ Γλαβᾶ ἔστι μεταγεγραμμένη ἀπὸ τῆς *Νομικῆς Συναγωγῆς* τοῦ Δοσιθέου Ἱεροσολύμων, μέμνηται δ' αὐτῆς ὁ ἀείμνηστος Μελέτιος Ἀθηνῶν ἐν *Ἐκκλησιαστικῇ Ἱστορίᾳ*, τόμ. Γ΄, σελ. 239, ὡς καὶ ὁ Κ. Σάθας ἐν προλεγομένοις τοῦ Γ΄ τόμου τῆς *Μεσαιωνικῆς* αὐτοῦ *Βιβλιοθήκης* (σελ. ϟβ΄) τάττων, κατὰ παραδρομήν, τὸν Οὐγκροβλαχίας Ἄνθιμον τῷ 1329. Εἰρήσθω δ' ὅτι ὁ ἱστοριογράφος Μελέτιος ὀνομάζει τὸν Οὐγκροβλαχίας τοῦτον Τιμόθεον. Ὁ φιλίστωρ ἀναγνώστης βλέπει ὅτι ἡ συνοδικὴ λύσις ἐξεδόθη τῷ 1389.

---

* ἴσ. πεπλημμελημένη ἢ πεπλανημένη.

Ε΄.

ΑΝΤΩΝΙΟΥ

Τοῦ αὐτοῦ. (Ἰσιδώρου δηλ. τοῦ μακαριωτάτου μητροπολίτου Θεσσαλονίκης τοῦ Γλαβᾶ.)

Ἐπὶ τῶν ἡμετέρων ἡμερῶν ἐν ἔτει ϛωζζ΄, ἰνδικτιῶνος ιϐ΄, μαρτίου κ΄, πατριαρχεύοντος Ἀντωνίου τοῦ ἁγιωτάτου· ὁ εὐλαϐέστατος ἀναγνώστης καὶ πριμμικήριος τῶν νοταρίων κὺρ Γεώργιος ὁ Εὐγενικὸς, μνηστείαν ἔχων ἀτελῆ δι' ἐγκολπίων μόνον, δίχα δηλονότι τῆς διὰ τοῦ ἱερέως ἐκφωνήσεως τῶν συνήθων εὐχῶν, ἐντελῆ δὲ κατὰ τὸν χρόνον, ὃν ἡ Νεαρὰ παρακελεύεται ἐπὶ τοῦ ἄρρενος καὶ τοῦ θήλεος, ἐπεὶ τῆς μνηστῆς ἐκείνης θανούσης, ἧς οὐ μόνον οὐχ ἥψατο, ἀλλ' οὐδὲ ὅλως ἐκείνην ἑώρακεν, ἑτέρᾳ νομίμως συνεζύγη· καὶ ἐζήτει ἱερωθῆναι. Πολλῆς συνδιασκέψεως περὶ τούτου γενομένης, διεκρίθη ἀποκριματίστως ἱερωθῆναι· καὶ γέγονε διάκονος· παρῆσαν δὲ οἱ τοῦτο γνωμοδοτήσαντες καὶ συμψηφισάμενοι πανιερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι· ὁ Θεσσαλονίκης, καὶ τὸν τόπον ἐπέχων τοῦ Καισαρείας· ὁ Ἡρακλείας· ὁ Νικομηδείας· ὁ Οὐγγροϐλαχίας· ὁ Μονεμϐασίας· ὁ Σμύρνης· ὁ Σερρῶν· ὁ Βάρνης· ὁ Ῥωσσίας· ὁ Γοτθίας· ὁ Σουγδαΐας· ὁ Σωζοπόλεως· ὁ Μηδείας καὶ ὁ Δέρκω· ἀλλ' ὅτι πρόσκειται τῇ Νεαρᾷ τὸ ἐπὶ τῶν ἀτελῶν καὶ ἀσυστάτων μνηστειῶν τὴν παλαιὰν ἔχειν νομοθεσίαν τὸ πάγιον, καὶ πάλιν μόνος ὁ παλαιγενὴς νόμος ἐπὶ τούτων συνεχωρήθη κρατεῖν, ὃς ὡρισμένα τὰ κεκωλυμένα ἐπὶ τὴν ἀποζυγεῖσαν μνηστὴν εἰσέρχεσθαι πρόσωπα διετάξατο· καὶ πάλιν τοῦ παλαιοῦ νόμου, ὃς ἐπὶ τῶν μνηστειῶν ἐξεφωνήθη, τὸ ἐνεργὸν εἰς τὰ κεκωλυμένα ἐπὶ τὴν ἀποζευχθεῖσαν μνηστὴν εἰσέρχεσθαι πρόσωπα ἔχειν ὀφείλοντος τέλεον, ταῦτα ἐσκανδάλιζέ τινας μὴ εἶναι δίκαιον ἡγουμένους συγχωρηθῆναι τῷ Εὐγενικῷ τὴν ἱερωσύνην· ἔλεγον γὰρ ὡς ἐπεὶ καὶ ἐν τῇ ἀτελεῖ μνηστείᾳ κώλυμά τι παρὰ τῶν

νόμων ἐμφαίνεται τῆς συγγενείας, οὐ δίκαιον, οὐδὲ εὐπρεπὲς τὸν ἐξ ἀτελοῦς μνηστείας ἑτέρᾳ συζευχθέντα πρὸς ἱερωσύνην ἀνάγεσθαι. Ἀλλ' οὐκ ἔδοξεν ἰσχυρὰ ταῦτα τῇ ἱερᾷ συνόδῳ καὶ δίκαια· διότι τὴν ἀτελῆ μνηστείαν, ὅσον κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβολογίαν μηδὲ εἶναι, μηδὲ ὀνομάζεσθαι ἡ Νεαρὰ διορίζεται. Ἐν οἷς δὲ οὐκ ἔστι μνηστεία, οὐδὲ γάμος ἐξ ἀνάγκης· ὁ δὲ γάμον ἕνα πεποιηκὼς δίγαμος οὐ λογίζεται, διγάμῳ δὲ μόνον οὐκ ἐφίησιν ὁ νόμος ἱερωθῆναι, ἢ τῷ ἄλλως ἡμαρτηκότι. Εἰ δὲ καὶ ἐπὶ τῆς ἀτελοῦς μνηστείας πρόσωπά τινα ὁ νόμος ἐκώλυσεν ἐπὶ τὴν ἀποζυγεῖσαν εἰσέρχεσθαι μνηστὴν, κωλυέσθωσαν μὲν ἐκεῖνα, ὅτι ὁ νόμος διετάξατο τοῦτο· ὁμοίως δὲ καὶ τὴν ἀτελῆ μνηστείαν ὅτι ὁ νόμος διετάξατο εἶναι ὡς μὴ ὄν· καὶ ἔστω καὶ αὕτη μὴ ὄν. Ὡς γὰρ στέργεσθαι χρὴ τὸ κώλυμα τῶν προσώπων, ἅτε τοῦ νόμου τοῦτο λέγοντος οὕτω στέργεσθαι χρὴ καὶ τὴν ἀτελῆ μνστείαν μὴ εἶναι μνηστείαν ὅλως· ὡς τοῦ νόμου καὶ τοῦτο ὁμοίως ἀποφαινομένου· ὃ μὲν γὰρ ὁ νόμος ῥητῶς ἐκώλυσε φεύγειν χρή· ὃ δὲ μὴ ἐκώλυσε παραδέχεσθαι· τούτου γὰρ οὕτω τηρουμένου, σώζεται τὸ εὐπρεπὲς καὶ ἡ προσήκουσα κατάστασις τῇ χριστιανῶν πολιτείᾳ, καθά φησι καὶ ἡ Νεαρά· τὸ γὰρ εὐπρεπὲς τοῦτό ἐστιν, ὅπερ συγχωροῦσιν οἱ νόμοι· τὸ γὰρ μὴ συγχωρούμενον ἐκεῖθεν ἀπρεπὲς καὶ παράνομον· ἄλλως τε καὶ ἐξ ἑνὸς τούτων, ὡς οἱ θεῖοι κανόνες καὶ νόμοι διαγορεύουσι, κωλυθῆναι δεῖ τῆς ἱερωσύνης τὸν ἱερωθησόμενον· ἢ ὡς ἁμάρτημά τι πεποιηκότα τὸν τῆς ἱερωσύνης ἐπέχον βαθμὸν, ἢ ὡς τελείοις δυσὶ προσωμιληκότα γάμοις, ἢ ὡς μνηστείᾳ καὶ γάμῳ περιπεσόντα· εἰ δέ τις μήτε ἁμάρτημά τι τοιοῦτο πέπραχε, μήτε δυσὶ προσωμίλησε γάμοις, μήτε μνηστείᾳ καὶ γάμῳ περιέπεσε κατὰ τὸν Εὐγενικόν· ἡ γὰρ ἀτελὴς αὕτη μνηστεία οὐκ ἔστιν ὅλως μνηστεία κατὰ τὴν Νεαρὰν, ἀλλὰ ταὐτόν ἐστι τῷ μὴ ὄντι μηδὲ γενομένῳ, ποῦ δίκαιον ἐκ τοῦ μὴ ὄντος κωλυθῆναι τινὰ τοῦ ἱερατικοῦ βαθμοῦ; ἃ δὲ ὁ παλαιὸς λέγει νόμος κωλυόμενα πρόσωπα ἐπὶ τὴν ἀποζυγεῖσαν μνηστὴν ταῦτά ἐστιν· οὐ δύναμαι, φησὶ, λαβεῖν

εἰς γυναῖκα τὴν τοῦ πατρός, ἢ τοῦ ἀδελφοῦ μου μνηστήν, κἂν γάμοι τε αὐτῶν οὐ γεγόνασι· τῷ δὲ περὶ μνηστείας θχνούσης δέ*· λέγει δέ, οἶμαι, τοῦτο ὁπόταν ζώντων τῶν μνηστευσαμένων ἡ ἐπίζευξις γένηται· οὐκ ἐπὶ τῆς θανάτῳ διαλυθείσης μνηστείας· καὶ διὰ τοῦτον, οἶμαι, τὸν λόγον ὅτι ἐπὶ μὲν τῆς τῶν ζώντων, εἰ μὴ κωλυθεῖεν, ἐπὶ τὴν ἀποζευχθεῖσαν μνηστὴν τὰ διωρισμένα τῷ νόμῳ πρόσωπα πολλὰ τὰ ἄτοπα ἕψεται· ἔριδες· μήνιδες· ἀηδίαι· και ἄλλα βαρύτερα μεταξὺ τῶν γνησίων· ἐπὶ δὲ τῆς θανάτῳ διαλυθείσης, οὐδὲν ἔσται τοῦ λοιποῦ. Καὶ διὰ τοῦτο οὐ κεκώλυται.

Σημ. Καὶ ἡ ὑπόμνησις αὕτη τοῦ Θεσσαλονίκης Ἰσιδώρου τοῦ Γλαβᾶ ἐστι μεταγεγραμμένη ἀπὸ τῆς *Νομικῆς Συναγωγῆς* τοῦ Δοσιθέου Ἱεροσολύμων. Ἐγράφη δὲ τῷ 1389.

ϛ΄

ΓΕΝΝΑΔΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

ΖΗΤΗΜΑΤΑ ΚΑΙ ΕΡΩΤΗΣΕΙΣ

ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΔΕΣΠΟΤΟΥ ΣΕΡΒΙΑΣ ΚΥΡ ΓΕΩΡΓΙΟΥ

ΠΡΟΣ ΤΟΝ ΠΑΝΑΓΙΩΤΑΤΟΝ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΗΝ ΚΥΡΙΟΝ ΓΕΝΝΑΔΙΟΝ ΤΟΝ ΣΧΟΛΑΡΙΟΝ

Ἀπόκρισις τοῦ πατριάρχου. — Ἠρώτησας περὶ τῆς ἐξηγήσεως τοῦ Θεοφυλάκτου ἀρχιεπισκόπου Βουλγαρίας· καὶ αὕτη ἐστέρχθη παρὰ τῆς Ἐκκλησίας· σχεδὸν γὰρ οὐδὲν λέγει ἴδιον αὐτοῦ, ἀλλὰ πάντα εἰσὶν ἄλλων ἁγίων καὶ μάλιστα τοῦ Χρυσοστόμου. Καὶ ἦν σοφὸς καὶ ὀρθόδοξος ἀρχιερεύς. Εἰ δὲ εὑρίσκεται ἐν ταῖς βίβλοις ταῖς σερβικαῖς τι, ὅπερ δοκεῖ ὅτι οὐκ ἔστιν ὑγιές, ἀπὸ τῆς ἀγνοίας ἐστὶ τοῦ μεταγλωττίσαντος ἢ μεταγρά-

---

* τὸ χωρίον δεῖται συμπληρώσεως.

ψαντος. Τὸ δὲ βιβλίον τοῦ Ξανθοπούλου ἐστέρχθη παρὰ τῆς Ἐκκλησίας· μήποτε δὲ μετεγλωττίσθη εἰς τὸ σερβικὸν οὐ καλῶς· ἐὰν δοκῇς εἴ τι οὐ καλῶς καὶ ὀρθῶς λέγειν· ἐν γὰρ τῇ φωνῇ ἡμῶν ὅλον ἐστὶ τὸ βιβλίον ὀρθόδοξον. Τὰ δὲ διπλοκατηχούμενα ἐν μόναις ταῖς προηγιασμέναις λέγονται. Τὸ δὲ ἁγίασμα τῶν ἁγίων Θεοφανείων λαμβάνεται πρὸ τοῦ ἀντιδώρου.

Ἐρώτησις περὶ τῆς παναγίας τῆς μεγάλης πέμπτης.— Ἀπόκρισις. Ἡ ἀναφορὰ τῆς παναγίας ἡ ἐν τῇ μεγάλῃ πέμπτῃ ὑψουμένη γίνεται κατὰ τὴν συνήθειαν τῶν ἄλλων ἡμερῶν πλὴν ἐν τῷ βήματι· οὐκ ἐν τραπέζῃ τῆς τροφῆς διὸ καὶ φυλάττεται καὶ μεταλαμβάνεται, ὅτε χρεία, πρὸ τοῦ ἀντιδώρου.

Ἐρώτησις περὶ τοῦ Ἰούδα. — Ἀπόκρισις. Ὁ Ἰούδας ἐπεζήτησε* μετὰ τὴν προδοσίαν ὀλίγον ἕως οὗ ἐτελέσθη ὃ λέγεται ἐν τῷ βιβλίῳ τῶν πράξεων.

Ἐρώτησις περὶ θυσιαστηρίου μολυνθέντος.—Ἀπόκρισις. Τὸ θυσιαστήριον, χωρὶς τῶν συμβάντων, δι' ὁποῖα συμπτώματα γίνεται· α΄ ὁ ἁγιασμός· εἶτα θυσία· ἐὰν καὶ μία ἡμέρα καὶ πλείους παρέλθωσι λειτουργεῖται ἀδιακρίτως καὶ ἀνεμποδίστως.

Ἐρώτησις περὶ ἱερέως καὶ κοσμικοῦ πίνοντος ὕδωρ ἐν νυκτί.—Ἀπόκρισις. Τὸ ἐὰν πίῃ ὕδωρ ὁ ἱερεὺς ἐν νυκτὶ [ἕνεκα] πολλῶν αἰτιῶν ἐστίν· εἰ μὲν οὖν δίψαν ἐκ πολυφαγίας καὶ μέθης ἔσχεν οὐ δύναται θυσιάζειν. Ὁ δὲ λαϊκὸς εἰ πρὸ ἓξ ὡρῶν πίῃ τὸ ὕδωρ, πλὴν ἐξ ἀσθενείας, δύναται λαμβάνειν τὸν εὐλογημένον ἄρτον, ἤτοι τὸ ἀντίδωρον· πλὴν ὁ ἀπεχόμενος ἁγιασμοῦ, δι' εὐλάβειαν, πλέον ὠφελεῖται τοῦ ἁγιαζομένου, ἐὰν καὶ τὸ τυχὸν ἐμπόδισμα ᾖ.

Ἐρώτησις περὶ ἱερέως ὅταν μὴ ἔλθῃ μετὰ τῶν ἄλλων ἱερέων τῶν τὴν προσκομιδὴν ποιησάντων εἰ δύναται λειτουργῆσαι.—Ἀπόκρισις. Ὁ ὑστερήσας ἱερεὺς μετὰ τὴν προσκομιδὴν οὐ δύναται λειτουργῆσαι· εἰ καί τινες, κακῶς ποιοῦν

* ἐπέζησε διορθωτέον.

τες καὶ ἀναιδῶς, καὶ μέχρι τῆς α' εἰσόδου προτίθενται καὶ αὐτοί.
Ἐρώτησις περὶ τοῦ σταυροῦ.—Ἀπόκρισις. Τὸ σταυρικὸν ξύλον οἱ λέγοντες ἀναληφθῆναι εἰς τὸν οὐρανὸν οὐκ οἴδασι τί λέγουσιν.

Ἐρώτησις εἰ δύναται ἐπίσκοπος ἢ πατριάρχης χωρὶς διακόνου λειτουργῆσαι.—Ἀπόκρισις. Πᾶς ἐπίσκοπος δύναται θυσιάσαι μόνος καὶ χωρὶς διακόνου, εἰ ἔχει θυσιαστήριον ἴδιον ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ ἰδίως μηδενὸς ἄλλου παρόντος, εἰ μὴ τοῦ ὑπηρετοῦντος αὐτῷ· φανερῶς δὲ ἐν τῇ μητροπόλει αὐτοῦ ἢ ἐν κελλίῳ, ἐν ἰδίῳ θυσιαστηρίῳ, πολλῶν ὁρώντων, οὐ δύναται χωρὶς διακόνου ἑνὸς τὸ ἔλαττον.

Ἐρώτησις περὶ τοῦ ἀποκείραντος αὐτὸν χωρὶς θελήματος τῆς συζύγου.—Ἀπόκρισις. Ὁ ἀποκείρων ἑαυτὸν, δεδεμένος γάμῳ, χωρὶς θελήματος τῆς συζύγου, ἁμαρτάνει· τὸ δὲ πρόσωπον τὸ ἀποκαρὲν ἐξετάζει ὁ ἐπίσκοπος· καὶ εἰ μὲν κατὰ πεῖσμα καὶ φιλονεικίαν ἀπεκάρη, πάλιν συνάπτει αὐτὸν μετὰ τῆς συζύγου· εἰ δὲ κατὰ θεῖον σκοπὸν [ὁ τοιοῦτος ἕξ]ει* τὰ μοναχικά.
Ἐρώτησις περὶ μιανθέντος σκεύους.—Ἀπόκρισις. Τὸ μιανθὲν σκεῦος, [εἰ τί]μιον ἐστὶν ἁγιάζεται· εἰ δὲ εὐτελὲς ἀχρειοῦται· ὅμως καὶ τὰ βρώσιμα ἀχρειοῦνται ἂν μιανθῶσιν.
Ἐρώτησις περὶ τοῦ ἐμέσαντος εἰ δύναται μεταλαβεῖν. Ἀπόκρισις. Ὁ ἐμέσας σήμερον δύναται αὔριον μεταλαβεῖν· εἰ δὲ κατεπείγει, καὶ τῇ αὐτῇ ἡμέρᾳ, ἐὰν πρὸς θάνατον ὑπάρχῃ ἡ ἀσθένεια καὶ οὐκ ἔφθασε πρὸ τούτου μεταλαβεῖν· εἰ δὲ τοιαύτην ἀσθένειαν ἔχει, ὥστε ἐμεῖν ἅπαν τὸ προσλαμβανόμενον, οὐδεμία ἀνάγκη· ἡ γὰρ χάρις τοῦ Θεοῦ, διὰ τὴν ἀδυναμίαν τοῦ ἀνθρώπου, ἀναπληροῖ τὸ ὑστέρημα τῆς μεταλήψεως, εἰ τὴν μετάνοιαν καὶ τὴν ἐξομολόγησιν ἐδέξατο τοῦ ἀνθρώπου· εἰ δὲ ἐκ μέθης ὁ ἐμετὸς καὶ οὐκ ἐξ ἀσθενείας καὶ οὐδὲ θάνατος κατεπείγει, ἢ καὶ ἐν νηστί-

* πολλαχοῦ συμπληροῦμεν τὴν ἔκδοσιν, τοῦ χειρογράφου σητοβρώτου ὄντος, ἀφ' οὗ μετεγράφησαν αἱ ἀποκρίσεις τοῦ μακαρίου πατριάρχου.

μοις ἡμέραις, ἀργῶν ἡμέρας τινὰς καὶ μετανοῶν εἶτα κοινωνείτω, κατὰ τὴν διάκρισιν τοῦ μείζονος.

Ἐρώτησις εἰ χρὴ τὰ θηριόβρωτα ἐσθίεσθαι.—Ἀπόκρισις. Τὰ θηριόβρωτα ἢ θηριοφόνευτα οὐκ εἰσὶ θνησιμαῖα, οὐδὲ τὰ ὑπὸ παίδων κτεινόμενα· γυναικὸς δὲ φονευούσης οὐ δεῖ ἐσθίεσθαι.

Ἐρώτησις περὶ τοῦ τρίτου οὐρανοῦ. — Ἀπόκρισις. Ὁ τρίτος οὐρανὸς, εἰς ὃν ἡρπάγη ὁ μακάριος Παῦλος, ἐστὶν ὁ τρίτος τρόπος τῆς θεωρίας τοῦ Θεοῦ. Πρώτη γὰρ θεωρία ἐστὶν ἡ ἀπὸ τῶν εἰκόνων τοῦ Θεοῦ ἤγουν τῶν ποιημάτων αὐτοῦ, καθὼς ὁ Παῦλος αὐτὸς λέγει· ὅτι «τὰ ἀόρατα τοῦ Θεοῦ ἀπὸ κτίσεως κόσμου διὰ τῶν ποιημάτων* νοούμενα καθορᾶται» παρ' ἡμῖν. Δευτέρα ἐστὶ νοερὰ, [φυσική·] ὅταν ὁ νοῦς χωρίζῃ ἑαυτὸν ἀπὸ τῆς θεωρίας τοῦ κόσμου καὶ τῶν τοῦ κόσμου καὶ τῶν προσπαθειῶν τοῦ σώματος, καὶ ὅλος ἐνασχολῆται τῇ μελέτῃ τῶν θείων καὶ ἀϊδίων, κατὰ τὰς ὑποτυπώσεις τῆς πίστεως καὶ τῶν νόμων τοῦ Θεοῦ καὶ τότε φωτίζεται ἐκ τοῦ θείου φωτὸς καὶ τινὲς προβλέπουσι τὰ μέλλοντα ὡς οἱ προφῆται. Τρίτη ἐστὶ νοερὰ ὑπὲρ φύσιν, ὅταν ὁ νοῦς κατὰ θέλημα Θεοῦ ὑψωθῇ πρὸς ἀποκάλυψιν πραγμάτων θειοτέρων καὶ οὐρανίων καὶ ἅπερ ἡ μέλλουσα ἀποκαλύψει ἡμέρα τοῖς ἀξίοις καὶ ἴδῃ αὐτὰ οὐκ ἐν πίστει ἀλλ' ἐν γνώσει καὶ καταλήψει. Ἀλλὰ τὸ ἀληθέστερον ἐστὶν ὅτι τρίτος οὐρανός ἐστιν ὃν καὶ παράδεισον λέγομεν· ὁ ἐξωτερικὸς οὐρανὸς καὶ τελευταῖος· τρεῖς γάρ εἰσιν οἱ οὐρανοί : ὁ ἔμπυρος ἤγουν ὁ ἔχων τοὺς ἀστέρας· ὁ δεύτερος, ὁ κρυστάλλινος ἤγουν τὸ στερέωμα· τρίτος ἡ ἔξω σφαῖρα, ὅπου ἀνέρχονται αἱ ψυχαὶ τῶν ἁγίων καὶ ἀφ' οὗ κατελεύσονται ἐν τῇ β' παρουσίᾳ εἰς τὸ ἀναλαβεῖν τὰ σώματα, ἀναστησόμενα τότε ἵνα τελειωθῶσι· νῦν γὰρ εἰ καὶ ἀπολαύουσι τῆς οὐρανῶν μακαριότητος, ἀλλ' ἀτελεῖς εἰσὶ διὰ τὸ ἐλλείπειν αὐτῶν τὰ σώματα, ὁ γὰρ ἄνθρωπος οὐχὶ ψυχὴ μόνη ἐστὶν ,ἀλλὰ ψυχὴ μετὰ σώματος· οὐδὲ μάτην ὁ Θεὸς τὴν λογικὴν** ψυχὴν συνέστησε μετὰ σώματος, ἵνα

* τοῖς ποιήμασι νοούμενα· τὸ ἀποστολικὸν λόγιον.

** ἐντεῦθεν ἀλλάσσει ὁ χαρακτὴρ τῆς γραφῆς τοῦ κώδηκος.

χωρισθεῖσα ἅπα[ξ μηκ]έτι ἑνωθῇ, ἀλλὰ δεῖ αὐτὴν ἑνωθῆναι τούτῳ ποτὲ γεν[ομένῳ] ἀφθάρτῳ. Ἐκεῖ τοίνυν εἰς τὸν τρίτον καὶ τελευταῖον οὐρανὸν, καὶ [νόει] τὸν παράδεισον, ἐν ᾧ εἰσὶν οἱ ἄγγελοι καὶ ἡ ψυχὴ τοῦ Παύλου, ἡ λέγουσα «ἐπιθυμῶ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι», καὶ τῶν ἄλλων ἁγίων τὰ πνεύματα, ἐκεῖ ἡρπάγη ἡ ψυχὴ τοῦ Παύλου. Ἀπορεῖς δὲ ἄρα μετὰ σώματος ἢ χωρὶς τοῦ σώματος οὐχ ὅτι ὑποπτεύῃ μήποτε καὶ τὸ σῶμα αὐτοῦ ἡρπάγη μετὰ τῆς ψυχῆς εἰς τὸν οὐρανόν· ἐγίνωσκε γὰρ ὅτι τοῦτο ἀδύνατον ἦν τότε· ἐπειδὴ σῶμα φθορᾶς εἶχεν ἔτι. Ὅταν δὲ ἄφθαρτον γένηται καὶ ἐλαφρὸν καὶ λαμπρὸν, οἷον ἦν τὸ τοῦ Χριστοῦ μετὰ τὴν ἀνάστασιν, τότε ἀναβήσεται καὶ αὐτὸ μετὰ τῆς ψυχῆς εἰς τὸν οὐράνιον παράδεισον, ὅς ἐστὶν ὁ τόπος τῶν μακαρίων. Ἀλλ' ἀπορεῖς· ἆρά γε ἡ ψυχὴ ἐχωρίσθη τοῦ σώματος πρὸς καιρὸν καὶ ἀφῆκεν αὐτὸ νεκρὸν, ἕως οὗ πάλιν ὑπέστρεψε κατὰ θαῦμα, ἢ ἔμεινεν ἐντὸς τοῦ σώματος; Ἡρπάγη δὲ εἰς τὸν οὐρανὸν καὶ ἦν ὁμοῦ ἐν τῷ σώματι φυσικῶς καὶ ἐν τῷ οὐρανῷ κατ' ἐνέργειαν, ἵνα ἀποκαλυφθῇ τὰ μυστήρια τῶν οὐρανῶν, εἰς ὠφέλειαν τῆς οἰκουμένης, ὅπερ ἐστὶ μεῖζον θαῦμα τοῦ προτέρου.

Σημ. Αἱ ἀποκρίσεις αὗται τοῦ πατριάρχου Γενναδίου τοῦ Σχολαρίου, μεταγραφεῖσαι ἀπὸ τοῦ ΦΜ´ κώδηκος τῆς βιβλιοθήκης τῆς ἐν Πάτμῳ ἱερᾶς βασιλικῆς καὶ πατριαρχικῆς μονῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἐξεδόθησαν τὸ πρῶτον ὑπὸ Μ. Ι. Γεδεὼν ἐν τῇ «Ἐκκλησιαστικῇ Ἀληθείᾳ», τόμ. Γ´, σελ. 171—172, πλὴν τῆς τελευταίας ἀποκρίσεως, ἀσαφοῦς οὔσης, περὶ συστάσεως ἐν Βελιγραδίῳ ἀρχιεπισκοπῆς αὐτοκεφάλου, πιθανῶς δὲ καὶ παρεγγράπτου. Καὶ τὸ μὲν τεῦχος ΦΜ´ ἐγράφη κατὰ τὴν Ις´ ἑκατονταετηρίδα· περὶ δὲ Γενναδίου τοῦ Σχολαρίου βλέπε προχείρως Κ. Σάθα Νεοελλ. Φιλολογίας σελ. 12—22. Σημειῶσαι δ' ὅτι κατὰ τὸν ΙΔ´ αἰῶνα καί τινες ἄλλαι ἐξεδόθησαν κανονικαὶ διατάξεις, ὑπὸ Miklosich καὶ Müller ἐκδεδομέναι· μετατυποῦνται δ'αὗται ἐν ἰδίῳ τόμῳ τῆς μετὰ χεῖρας συλλογῆς.

Ζ΄.

ΙΩΑΣΑΦ ΤΟΥ ΑΠΟ ΑΔΡΙΑΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΜΕΓΑΛΟΠΡΕΠΟΥΣ.

Περὶ δύο παιδίων ὁποῦ νὰ δεχθῇ τινὰς ἀπὸ τὸ ἅγιον βάπτισμα ἐὰν ἔρχωνται εἰς γάμον· καὶ ἄλλα τινὰ ἀναγκαῖα περὶ τοῦ θείου βαπτίσματος.

Δύο τινὲς ἄνθρωποι ὁποῦ δὲν ἔχουν καμμίαν συγγένειαν, καὶ τὰ παιδιά τους ἕνας ἀνάδοχος τὰ ἐδέχθη ἀπὸ τὸ ἅγιον βάπτισμα, τὰ παιδία ἐκεῖνα δὲν ἔρχονται εἰς γάμον ἕως νὰ ἔλθουν εἰς τὸν ὄγδοον βαθμόν· διότι ἀδέλφια εἶναι, ἕνας γὰρ πατέρας ἐγέννησεν αὐτὰ πνευματικῶς ἀπὸ τῆς θείας κολυμβήθρας διὰ τοῦ ἁγίου βαπτίσματος.

Ἡ πενθερά μου ἀνεδέχθη ἕνα παιδίον ἐκ τοῦ ἁγίου βαπτίσματος καὶ ἀνεδεξάμην καὶ ἐγὼ ὁ γαμβρός της ἄλλο παιδί· τὸ ἕνα ἀρσενικὸν καὶ τὸ ἄλλο θηλυκόν, ἐὰν δύνανται νὰ ἔλθουν εἰς γάμον· καὶ ἀπέφηναν ὅτι γίνεται· διότι καμμίαν συγγένειαν δὲν ἔχουν αὐτὰ τὰ παιδία, οὔτε τοῦ βαπτίσματος, οὔτε τῆς σαρκικῆς συγγενείας.

Ἐὰν ἡ γυναῖκά μου ἀνεδέχθη ἕνα παιδὶ θηλυκόν· καὶ ἐγὼ ἕνα ἀρσενικόν· ἂν δύνωνται νὰ ἔλθουν εἰς γάμον· καὶ ἀπέφηναν ὅτι δὲν γίνεται.

Ἐὰν ἔχω παιδί μου σαρκικὸν καὶ βαπτίσω καὶ ἕνα παιδί· ἐὰν δύνωνται τὸ σαρκικόν μου καὶ τὸ πνευμικόν μου νὰ ἐπάρουν δύο ἀδελφάς, καὶ ἀπέφηναν ὅτι ἀνεμποδίστως γίνεται ὁ τοιοῦτος γάμος.

Δύο παιδία ὁποῦ νὰ βαπτίσῃ ἕνας ἀνάδοχος, ἐὰν δὲν ἐμποδίζωνται νὰ ἐπάρουν δύο ἀδέλφια καὶ ἀπέφηναν ὅτι ἀνεμποδίστως γίνεται ὁ τοιοῦτος γάμος.

Ἕνας ὑπανδρεύθη καὶ ἐπῆρεν ἑνὸς θυγατέρα γυναῖκα· καὶ μετὰ καιρὸν ἀπέθανεν αὐτὴ ἡ γυναῖκά του καὶ βούλεται πάλιν νὰ ἐπάρῃ ἄλλην γυναῖκα τὴν ὁποίαν τὴν ἐβάπτισεν ὁ πενθερός του· καὶ ἀπέφηναν εἰς τοῦτο ὅτι εἶναι ἐμποδισμένον καὶ δὲν γίνεται.

Η΄.

ΙΩΑΣΑΦ

Περὶ τοῦ εὐλογηθέντος τρεῖς γυναῖκας καὶ ἡ μία ἐξ αὐτῶν νὰ εὑρεθῇ παράνομος· ἂν δύναται νὰ ἐπάρῃ ἄλλην.

Ἐὰν ἐπάρῃ τινὰς δύο νομίμους γυναῖκας καὶ νὰ ἐπάρῃ καὶ τρίτην παρανόμως, καὶ νὰ τὰς εὐλογηθῇ καὶ τὰς τρεῖς, καὶ ἔστωντας νὰ ἦναι ἡ τρίτη παράνομος τὸν ἐχώρισεν ἡ Ἐκκλησία· τάχα δύναται τοῦτος νὰ εὐλογηθῇ ἄλλην γυναῖκα, ἐπειδὴ ἐκείνη ἦτο παράνομος;

Ἀπόκρισις.

Ὁ δὲ ἁγιώτατος πατριάρχης συνοδικῶς ἀπεκρίθη· ὅτι ἀνεμποδίστως κατὰ τὴν ἀπόφασιν τοῦ θείου νόμου ὁποῦ λέγει· τὸ ἀνδρόγυνον ὁποῦ νὰ εἶναι παράνομον καὶ νὰ στεφανωθῇ, ὡσὰν νὰ μὴν ἤθελε στεφανωθῇ οὕτω λογίζεται· καὶ τὰ παράνομα δὲν στέργονται, οὐδὲ βεβαιώνουνται· διότι ἡ γυναῖκα ὁποῦ νὰ ἐπάρῃ ἄνδρα καὶ νὰ εὑρεθῇ παράνομος, ἢ ὁ ἄνδρας ὁποῦ νὰ ἐπάρῃ γυναῖκα καὶ νὰ εὑρεθῇ παράνομη, δύναται ὅποιος θέλει ἀπὸ τοὺς δύο νὰ χωρισθῇ, καὶ μετὰ τὴν χώρισιν νὰ ὑπανδρευθῇ.

Σημ. Αἱ δύο λύσεις αὗται ἐξεδόθησαν ὑπὸ τοῦ πανιερ. μητροπολίτου Ἀμασείας (τότε Βελεγράδων) κ. Ἀνθίμου Ἀλεξούδη ἐν τῇ «Ἐκκλησιαστ. Ἀληθείᾳ» τόμ. Δ΄, σλ. 527—528, ὅστις μανθάνει ἡμᾶς ὅτι «Ταῦτα πάντα τὰ περὶ τοῦ βαπτί-

σματος ἐρωτήθησαν εἰς τὰς ἡμέρας τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Ἰωάσαφ, χρόνον ἀπὸ Χριστοῦ γεννήσεως αφξ΄, καθεζομένου αὐτοῦ συνοδικῶς μετὰ τῶν πανιερωτάτων ἀρχιερέων»· καὶ (περὶ τῆς δευτέρας λύσεως): «ἐρώτησις πρὸς τὸν παναγιώτατον πατριάρχην κύριον Ἰωάσαφ καὶ πρὸς τὴν ἱερὰν αὐτοῦ σύνοδον· χρόνους ἀπὸ Χριστοῦ αφξ΄». Βλ. περὶ τοῦ πατριάρχου τούτου καὶ τῶν ἐκδιδομένων ἀποκρίσεων αὐτοῦ τὸ ἄρθρον «Ὁ πατριάρχης Ἰωάσαφ Β΄ ὁ Μεγαλοπρεπής» ὑπὸ Μ. Ι. Γεδεὼν ἐν *Ἡμερολογίῳ Ἀνατολῆς* τοῦ ἔτους 1883. Αἱ λύσεις ἐξεδόθησαν τῷ 1560.

Θ΄.

ΙΕΡΕΜΙΟΥ ΤΟΥ ΤΡΑΝΟΥ

(ὑπόμνησις συνοδικοῦ σημειώματος)

Τὰ ἐξ ἑνὸς ἀναδόχου, ἤτοι δύο παιδία ἕνα ἀρσενικόν, καὶ ἕνα θηλυκὸν ὅπου βαπτίζει ἕνας ἀνάδοχος, τὸ πρῶτον ἦτον ἐμποδισμένον νὰ ἔλθουν εἰς γάμου κοινωνίαν, ὕστερον ἡ ἐκκλησία διὰ συνοδικοῦ σημειώματος τὰ ἐσυγχώρησεν, ἐπειδὴ ὁ τοιοῦτος δεσμὸς ἦτον ἀδύνατον νὰ φυλαχθῇ. Ὅτι ἕνας ἐβάπτιζεν ἕνα θηλυκὸν παιδὶ εἰς Κωνσταντινούπολιν, καὶ ἄλλο εἰς Βενετίαν, ἢ καὶ μακρύτερον ἀκόμι τόπον ἀρσενικὸν παιδί, ὕστερον ἐκεῖνο τὸ ἀρσενικὸν ἔρχονταν εἰς Κωνσταντινούπολιν καὶ κατὰ τύχην ἔπερνεν ἐκεῖνο τὸ θηλυκὸν εἰς γυναῖκα, ὅπου εἶχεν ὁ ἀνάδοχός του βαπτισμένον, καὶ μὲ τὸ νὰ ἐγνώρισαν ὅτι δὲν εἶναι τρόπος νὰ φυλάττεται ὁ τοιοῦτος δεσμός, ἐγνωρίσθη καὶ παράλογον εἰς τὰ τοιαῦτα τὸ κωλύον. Διὰ τοῦτο καὶ ἐσυγχωρήθη συνοδικῶς παρὰ Ἱερεμίου πατριάρχου Κωνσταντινουπόλεως, καὶ τῆς συναθροισθείσης τότε Συνόδου ἐν ἔτει ͵αφπγ΄, ἀπὸ Χριστοῦ γεννήσεως. Ὕστερον ἐπεβεβαιώθη καὶ παρὰ τοῦ Νεοφύτου πατριάρχου Κωνσταντινουπόλεως, ὑφ' οὗ καὶ διεμοιράσθη τὸ συνοδικὸν σημείωμα εἰς πάσας τὰς ἐπαρχίας, καθὼς αὐτὸ τὸ συνοδικὸν σημείωμα φανερώνει.

Σημ. Μὴ εὑρεθέντος ἔτι τοῦ συνοδικοῦ ἐγγράφου, ἀρυόμεθα ταῦτα ἐκ τοῦ βιβλίου : «Κωνσταντίνου Ἀρμενοπούλου κριτοῦ Θεσσαλονίκης Πρόχειρον, τὸ λεγόμενον ἡ Ἑξάβιβλος, εἰς κοινὴν γλῶσσαν μεταφρασθεῖσα, προσετέθη δὲ καὶ παρὰ Ἀλεξίου Σπανοῦ τοῦ ἐξ Ἰωαννίνων καὶ τὸ περὶ συνοικεσίων ἐγχειρίδιον, ὅ τε κατ' ἀλφάβητον πίναξ. Τὰ νῦν αὐξηθεῖσα μετά τινων ἀποστολικῶν, συνοδικῶν τε, καὶ πατερικῶν Κανόνων τῶν ἐν χρήσει καὶ πλέον ὠφελίμων εἰς τὸ αὐτὸ κοινὸν ἡμέτερον ἰδίωμα μεταφρασθέντων καὶ μετὰ πλείστης ἐπιμελείας διορθωθέντων παρὰ Ν. Τ. Ι. ͵αωε'. Ἐνετίῃσι, παρὰ Πάνῳ Θεοδοσίου τῷ ἐξ Ἰωαννίνων». Ἴδε σελ. 407. Παρομοίας λύσεως ἐμνήσθη καὶ ὁ σεβ. μητροπολίτης Νικομηδείας κ. Φιλόθεος Βρυέννιος ἐν διατριβῇ περὶ τοῦ ἀρχαιοτέρου κώδηκος τῆς μητροπόλεως Σερρῶν. «Ἡμερολόγιον Ἀνατολῆς» τοῦ 1879 σελ. 387, ὅπου λέγει ὅτι ταύτην ἐξέδωκεν ὁ πατριάρχης Μητροφάνης τῷ 1580. Τὸ συνοδικὸν σημείωμα ἐξεδόθη τῷ 1583.

Ι'.

ΤΟΥ ΑΥΤΟΥ ΙΕΡΕΜΙΟΥ

Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἐπειδὴ καὶ πάλιν ἡ ἐκκλησία τῆς πρεσβυτέρας Ῥώμης, ἅτε καινοτομίαις χαίρουσα, τοῖς περὶ αὐτὴν ἀστρονόμοις ἀπερισκέπτως συνήνεσε καὶ μετέθετο τὰ καλῶς περὶ τοῦ ἱεροῦ Πάσχα τοῖς χριστιανοῖς τελούμενα τὰ ἀπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τιη' θεοφόρων πατέρων ὁρισθέντα, παρά τε τῶν λοιπῶν συνόδων κυρωθέντα, στεργόμενα δὲ παρὰ τῶν ἁπανταχοῦ γῆς χριστιανῶν καὶ ἑορταζόμενα ὡς ὥρισαν, τούτου δὲ ἕνεκα σκανδάλων γίνεται αἰτία· ἔφθασαν γὰρ καὶ ἐνώπιον τῆς ἡμῶν μετριότητος ἄνδρες Ἀρμένιοι ἐρωτῶντες καὶ φάσκοντες, ὅτι ἀναγκάζονται δέχεσθαι καὶ οὗτοι τὰ νέα ταῦτα· τούτων δὲ χάριν ἠξίωσαν ἡμᾶς εἰπεῖν τί τοῖς θείοις Πατράσι δοκεῖ. Ἡ μετριότης ἡμῶν διασκεψαμένη μετὰ τοῦ μακαριωτάτου πατριάρχου Ἀλεξανδρείας ἐν ἁγίῳ Πνεύματι διορίζεται σαφηνίζουσα τὰ δεδογμένα τοῖς ἁγίοις Πατράσι

περὶ τούτων. Πρῶτον μὲν ἐν τοῖς πρακτικοῖς τῆς Α΄ συνόδου τῆς οἰκουμενικῆς ἐστὶν ὑπογραφὴ οὕτως ἔχουσα: Λεόντιος Καισαρείας, Καππαδοκίας, Γαλατείας, καὶ Ἀρμενίας μικρᾶς καὶ μεγάλης, ὑπέγραψα. Ὅς δή, ὡς φαίνεται ἐν τῷ βίῳ τοῦ ἁγίου ἱερομάρτυρος Γρηγορίου τῆς μεγάλης Ἀρμενίας ἀρχιεπισκόπου, ἐχειροτόνησε τοῦτον ἀρχιερέα, πεμφθέντα διὰ πρεσβειῶν καὶ ἐπιστολῆς Τυρηδάτου βασιλέως Ἀρμενίων μετὰ τὸ χριστιανὸν γενέσθαι τοῦτον, υἱὸν ὄντα Κουσάρου, ἀδελφοῦ δὲ Ἀρταβάνου, καταγομένου ἀπὸ Ἀρσακιδῶν ἐκείνων τῶν διαλυσάντων τὴν Περσῶν ἀρχήν, καὶ ὑφ' αὐτοὺς ἀδελφοὺς ὄντας δ΄ ποιησαμένους αὐτὴν Ἀρμενίαν, καὶ Ἰνδοὺς καὶ Μασσαγέτας διαμερισαμένους. Ὑποστρέψαντος τοίνυν τοῦ μεγάλου τούτου Γρηγορίου, φιλοτίμως δὲ ἀποδεχθέντος παρὰ τοῦ Τυρηδάτου, τοῦτο μὲν ὡς γνώμῃ αὐτοῦ τὴν ἀρχιερωσύνην δεξαμένου, τοῦτο δὲ ὡς ἐκ γένους τοιούτου, υἱὸς γὰρ ἐστὶν ὁ μέγας πατὴρ αὐτὸς Ἀνὰκ τοῦ ἀδελφοῦ Κουσαρῶ τοῦ πατρὸς Τυρηδάτου, ἐβαπτίσθησαν ἅπαντες παρ' αὐτοῦ ἐν τῷ ποταμῷ Εὐφράτῃ μετὰ καὶ τοῦ βασιλέως Τυρηδάτου· ὡς δὲ λέγεται πάντες οἱ τὴν τοῦ Χριστοῦ πίστιν δεξάμενοι Ἀρμένιοι, Πέρσαι, Ἀσσύριοι, Μῆδοι, καὶ ἄλλοι, ἦσαν ὑπὲρ τὰς τετρακοσίας μυριάδας· φωτίσας πάντας τούτους ἐν σκότει ἀγνωσίας κειμένους οἷά τις ἄλλος ἥλιος, ἀναχωρῆσαί τε ἐθελήσας εἰς τὰ ὑψηλὰ τῶν Ἀρμενικῶν ὀρῶν τοῦ ζῆσαι ἐν ἡσυχίᾳ, Ἀλβιανὸν ἀντ' αὐτοῦ ἐπαφῆκε, καὶ ἐπισκόπους Εὐθάλιον, Βάσον, καὶ ἄλλους ὑπὲρ τοὺς δέκα ἐν χώραις τῶν Ἀρμενίων προκρίτους· ἐν πᾶσι δὲ τούτοις καὶ τοῖς λοιποῖς ἔθνεσιν, ὡς φέρεται, τετρακοσίους ἐπισκόπους κατέστησεν. Ἐπεὶ καὶ ἀναχωρήσαντος τοῦ μεγάλου τούτου φωστῆρος Γρηγορίου, ὁ Τυρηδάτης οὗτος διὰ τοῦ χωρισμοῦ αὐτοῦ ἐν λύπῃ ἦν, ἔμαθε δέ, ὅτι δύο παιδία γνήσια κατὰ σάρκα τοῦ Γρηγορίου εἰσίν, Ὀρθάνης ὁ ἐν ἀσκήσει ὢν καὶ Ἀρωσάνης ἱερεὺς τοῦ Θεοῦ, ἔπεμψεν ἄρχοντας αὐτοῦ καὶ πρὸς ἑαυτὸν ἤγαγεν. Εἶτα ἐδεήθη τοῦ Γρηγορίου καὶ κατῆλθε τῆς ἀναχωρήσεως, καὶ εὗρε τὸν Ἀρωσάνην ἄξιον ὄντα διὰ ἀρχιερέα, καὶ τοῦτον, ὡς ἔδει, ἐχειροτόνησε.

Κατὰ τούτους δὲ τοὺς χρόνους καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος ὁ μέγας Κωνσταντῖνος τὴν Α΄ σύνοδον συνῆξε τῶν τιη΄ θεοφόρων πατέρων τὴν ἐν Νικαίᾳ, ὅπου καὶ Τυρηδάτης εἰρηνικῶς ἔφθασεν ὡς θερμότατος τὴν εὐσέβειαν, ἀποδοχῆς τε ἔτυχεν οὐ μικρᾶς παρὰ τοῦ ἰσαποστόλου Κωνσταντίνου· ὃς δὴ καὶ τῆς Ἀρμενίας ἀρχιεπίσκοπον καθολικὸν Ἀρωσάνην ἐπέμψατο τῇ συνόδῳ ταύτῃ, καὶ παρεγένετο, καὶ μέρος τοῦ ἱεροῦ συλλόγου ἐγένετο· καὶ ἔλαβε τὴν ἀπόφασιν τῆς συνόδου, καὶ εἰς Ἀρμενίαν ὑπέστρεψεν, ἐπιδιδούσης τῆς εὐσεβείας τῇ χάριτι τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ. Ἐκ τούτων λοιπὸν ὧν εἴπομεν διηγήσεων φαίνεται προφανῶς, ὅτι Ἀρμένιοι ἀρχιεπίσκοπον εἶχον καθολικόν, καὶ κατὰ διαδοχὴν ἔχουσι καὶ οὕτω τὴν ἀρχιερωσύνην ἀπὸ Καππαδοκίας ἐξ οὗ εἴπομεν Λεοντίου ἔλαβον, ὅρια δὲ ταῦτα τῆς Νέας Ῥώμης ὡς καὶ εἰσὶ σὺν Θεῷ, οὐχὶ καὶ ὅλως τοῦ τῆς πρεσβυτέρας Ῥώμης, ὅστις ὡς οἱ κανόνες διορίζονται τῶν συνόδων τῶν ἑσπερίων ἄρχειν ἔθος· τὰ γὰρ ἀρχαῖα ἔθη κρατείτω, ὥρισαν, ὃ δὲ βιάζει παρ' ἐνορίας ἐστὶ καὶ ἔξω τῆς διαδοχῆς τοῦ Χριστοῦ· αὐτὸς εἶπεν ἀπελθόντες μαθητεύσατε, οὐχὶ βιάσατε· καὶ ὅστις ὀπίσω μου ἐλθεῖν* ἀκολουθεῖν, καὶ ὅσα ἐν ἱεροῖς εὐαγγελίοις συνῳδὰ τούτοις· ἀλλ' ἔδει καὶ τοὺς ὑφ' αὐτὸν ἑσπερίους, μὴ νέα καὶ πρόσφατα διδάσκειν σκανδάλου πρόξενα, ἀλλὰ τὴν Χριστοῦ διδαχήν, ἁγίων Ἀποστόλων, τῶν ἱερῶν Συνόδων, καὶ ὅσα τοῦ θείου Πνεύματός εἰσι. Δεύτερον καὶ ὑφηγούμεθα παντὶ χριστιανῷ ὀρθοδόξῳ βουλομένῳ, ὡς οὐκ ἔστιν ἀσύστατον τὸ παρ' ἡμῖν πασχάλιον, ἀλλ' ὡς ἀκόλουθον τοῖς ὁρισθεῖσι τῶν ἁγίων Πατέρων μένει ὀρθόν, καὶ εἰς αἰῶνας σταθερὸν διαμενεῖ, ἕως οὗ φυλάττει τὴν τάξιν, ἣν ἔλαχεν ἀπαρασάλευτον, ἀρίστως ἐσκεμμένην τοῖς θείοις Πατράσιν, ὧν οὐδεὶς τῶν νῦν οὔτε τὴν ἐπιστήμην οἶδε τῆς ἀστρονομίας κατ' ἐκείνους τοὺς ἀρίστους, οὔτε τὸν ἁγιασμὸν ἔχει, πλὴν εἰ μήπου δοκήσει, τὰ δ' ἄλλα ἐστιν ἀληθείας μακράν. Τεσσάρων γὰρ ὄντων τῶν τοῦ Πάσχα διορισμῶν,

---

* γρπ. μᾶλλον ἐθέλει.

ὁ πρῶτος ἐντέλλεται, ὅτι δεῖ μετὰ τὴν ἰσημερίαν τὴν ἐαρινὴν τὸ Πάσχα τελεῖν· ὁ δεύτερος, ὅτι μὴ τὴν αὐτὴν ἡμέραν τῆς ἰουδαϊκῆς τελετῆς· ὁ τρίτος οὐχ ἁπλῶς μετὰ τὴν ἰσημερίαν, ἀλλὰ τὴν πρώτην μετ' ἰσημερίαν πανσέληνον· ὁ τέταρτος, ὅτι καὶ μετὰ τὴν πανσέληνον εὐθὺς τῆς ἑβδομάδος τῇ πρώτῃ. Ὅθεν οὐδεὶς ὅλως νομισάτω, ὅτι τοὺς πανταρίστους ἐκείνους θείους Πατέρας διέλαθε τὸ δοκοῦν τοῦτο λάθος, ἵνα παρὰ τῶν ἀστρονόμων τύχῃ βελτίονος διορθώσεως· χάριτι γὰρ Χριστοῦ ἀπὸ τῆς Α΄ Συνόδου καὶ ἕως τοῦ νῦν ἀεὶ τὸ Πάσχα τὸ ἱερὸν μετὰ τὸ νομικὸν γίνεται καὶ ἐν Κυριακῇ, καὶ σύγχυσίν τινα οὐκ ἔγνωμεν ἵνα εἰς διόρθωσιν ἀναστῶμεν· καλῶς καὶ γὰρ διετυπώθη τοῖς ἁγίοις Πατράσι, καὶ αἰωνίως διαμένει ἄπταιστον, κακῶς δὲ παρὰ τῶν νῦν ἀστρονόμων τῆς παλαιᾶς Ῥώμης ἀφῃρέθησαν αἱ δέκα ἡμέραι παρὰ τοῦ ὀκτωβρίου μηνός· πρὸς τοῖς ἄλλοις γὰρ καὶ σύγχυσιν ἐν ἑαυτῷ περιέχει τὸ νέον αὐτὸ ὡρολόγιον καὶ ἀνατροπὴν ἀναθεωρούμενον· εἰ γὰρ δι' ὅλων ρλδ΄ ἐνιαυτῶν νυχθημερὸν ἓν συνάγουσιν, εὔδηλον, ὅτι ἀπὸ τῆς Α΄ Συνόδου χιλίων διακοσίων ἑξήκοντα πέντε ἐτῶν διελθόντων ἄχρι τοῦ νῦν, ὡς τριακοσίων δέκα καὶ ὀκτὼ* παρεληλυθότων τὸ πρῶτον ἀπὸ Χριστοῦ ἕως τῆς Α΄ Συνόδου, ἡμέραι μόνον ἐννέα καὶ ὧραι δέκα παρὰ μισὴν στιγμὴν συνάζονται καὶ λείπεται, εἰ δὲ δι' ἑκατὸν εἴκοσι χρόνων νυχθήμερον ἓν γενήσεται, ἔσονται ἡμέραι δέκα, καὶ πλεονάζει· τὰ τοιαῦτα δὲ ἐπισφαλῆ φαίνονται· ἀλλὰ καὶ κατὰ τοὺς τὴν ἐπιστήμην τὴν ἀστροθεάμονα δεινούς, τὸν μέγαν Πτολεμαῖον καὶ ἄλλους, ἐσφαλμένα ταῦτα εὑρίσκονται· ἐν τριακοσίοις γὰρ ἔτεσιν ἐκεῖνοι καὶ μικρόν τι πρός, νυχθήμερον ἓν συνάγεσθαι ἀποφαίνονται, καὶ τοῦτο οὐκ ἀπὸ τῆς κινήσεως, ὁμαλὴν γὰρ ποιεῖται τὴν κίνησιν καὶ ἀπαράκλιτον, ἀλλὰ παρὰ τὴν ἀπαρίθμησιν τῶν ἡμερῶν τοῦ ἐνιαυτοῦ, καὶ κατὰ τούτους ἡμέραι τέσσαρες καὶ ὧραι πέντε καὶ στιγμαὶ ιϐ΄ ἀπὸ τῆς ἐν Νικαίᾳ ἐς δεῦρο γίνονται· καὶ τούτων οὕτως ἀναμετρουμένων

* οὐχὶ 325;

καὶ τῇ ἑλλήνων σοφίᾳ ἔτι ἀναδείκνυται, ὅτι ἔξω παντὸς λόγου τὰς δέκα ἡμέρας τοῦ ὀκτωβρίου οἱ ἀστρονόμοι τῆς Ῥώμης ἐξέβαλον ἵνα φανῶσι μόνον ὡς δοκεῖ τοῖς ἀνθρώποις ποιεῖν τι, δόξης κενῆς ἕνεκα, βέλτιον ὃ ἦν αὐτοῖς μὴ καινοτομεῖν καὶ τοιαῦτα μεταποιεῖν, καὶ ταῖς ἐκκλησίαις Χριστοῦ στάσεως οὐ μετρίας γίνεσθαι προξένους· ἢ κἂν βίαν μὴ ἐπάγειν ἕνεκα τοιούτων, ὅπερ τολμῶσιν· οὐκ εὔλογον λογίζεται ὡς τοῖς ἀντεχομένοις τὰ καλῶς ὁρισθέντα τοῖς ἱεροαγίοις Πατράσιν, οὐ μόνον λελογισμένον ἀλλὰ καὶ θεῖον. Καὶ ταῦτα μὲν ἡμεῖς πρὸς ἀμφότερα λέγομεν, σημειωσάμενοι καὶ τὸ ἀληθὲς ͵αφπγʹ ἔτος τὸ ἀπὸ τοῦ Θεανθρώπου, νοεμβρίου κʹ ἰνδικτιῶνος ιβʹ.

Ὁ Κωνσταντινουπόλεως Ἱερεμίας.

Ὁ Ἀλεξανδρείας Σίλβεστρος.

ΙΑʹ.

ΤΟΥ ΑΥΤΟΥ ΙΕΡΕΜΙΟΥ

Ἴσον τοῦ πεμφθέντος γράμματος τῷ Φιλαδελφείας καὶ τοῖς τοῦ ναοῦ τοῦ ἁγίου Γεωργίου ἐφόροις, δι' ἣν ἀπέστειλαν ἀναφορὰν ζητοῦντες περιαιρεθῆναί τινα τοῦ Τριῳδίου, καὶ δεχθῆναι τὸ Πάσχα, ὅπερ ἐκαινοτόμησαν οἱ Ἰταλοί.

Ἱερώτατε καὶ σοφώτατε μητροπολῖτα Φιλαδελφείας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, χάρις εἴη σου τῇ ἱερότητι, εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἅμα τοῖς χρησίμοις καὶ εὐγενέσιν ἀνδράσι καὶ ἐφόροις τοῦ ἐν Ἐνετίαις ναοῦ τοῦ μεγάλου Γεωργίου τῶν Γραικῶν, καὶ τοῖς λοιποῖς αὐτόθι μετοίκοις τῶν Γραικῶν πανοικεσίᾳ. Τὴν ἀναφορὰν ὑμῶν λαβόντες καὶ ἀναγνόντες, ἐπῆλθεν ἡμῖν θαυμάσαι, οὐ μὴν ἀλλὰ καὶ

μέμψασθαι (οὐκ ἀπεικότως) καὶ μάλιστα σὲ τὸν προϊστάμενον τῷ περιουσίῳ τοῦ Κυρίου λαῷ, ἅτε καὶ πρότερον περὶ τούτων γράψαντα καὶ μὴ εἰσακουσθέντα· τί ἔτι τῶν αὐτῶν ἀπρὶξ ἐχόμενος καὶ δεύτερον ἠνέσχου γράψαι; Ἡμεῖς γὰρ, οὐ τούτων ἕνεκα δίδοσθαι λόγον παροικεῖν ἐν Ἐνετίαις παρεχωρήσαμέν σοι, ἀλλ' εὐλογεῖν μόνον καὶ ἁγιάζειν τὸν ἐν αὐταῖς χριστώνυμον λαὸν καὶ τὰ ἀρχιερατικὰ ἐκτελεῖν· τὸ δ' ἐρωτῶντα τὸν μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης καὶ ζητεῖν παρ' ὑμῶν λόγον, ὡς γράφετε, εἰς τὸ πορρωτέρω οἶμαι τὴν ἐρώτησιν προβῆναι· προσεχέστερον δ' ἂν εἴη ἡμᾶς ἐρωτῆσαι, καθάπερ δὴ ὁ πάπας κύριος Γρηγόριος φαίνεται οὕτω πεποιηκώς· κἀκ τούτου δῆλον, ὅτι κἀκεῖνος περὶ τῆς τοῦ Πάσχα διαφορᾶς ἔφθασε γράψας ἡμῖν· ᾧ καὶ τὴν ἀπολογίαν, ἣ δυνάμεως τὸ τηνικάδε εἴχομεν, δόντες, πρός τε τὸ ἐκλαμπρότατον καὶ γαληνότατον σενάτον τῶν Ἐνετῶν ὡσαύτως, ἔμεινε τὰ πράγματα ἐν εἰρήνῃ ἄχρι τοῦ νῦν καὶ ἡσυχίᾳ. Γράφετε οὖν ἤδη, ὅτι εἰσβαλεῖν μερικὰ θέλει ἡ Δυτικὴ Ἐκκλησία τῶν βίβλων τῆς Ἀνατολικῆς, τὰ δὲ σαφηνισθῆναι· ἀλλ' ἡ καθ' ἡμᾶς Ἐκκλησία νεωτερίζειν καθ' οἱονδήτινα τρόπον οὐκ εἴωθεν, ὥσπερ δ' αὖ τῇ Δυτικῇ ἔργον ἄπαυστον τοῦτό γε, ᾧ καὶ αὐτοὶ ἑπόμενοι καὶ ἀφύκτως ἀντιποιούμενοι οὐ τολμῶμεν (ἄπαγε) εἰσβαλεῖν τι, ἢ σαφηνίσαι κατὰ τὸν ἐκείνων σκοπὸν, ἢ τῶν παλαιῶν βίβλων περιαιρεθῆναι, τὸ δὴ λεγόμενον, κἂν μίαν κεραίαν. Οὕτως ἡμεῖς δεδιδάγμεθα καὶ οὕτω γνώμης ἔχομεν ὑπείκειν καὶ ὑποτάττεσθαι τοῖς προγενεστέροις, ἀλλὰ καὶ τοὺς ὑπὸ τῆς ἡμῶν μετριότητος τοιούτους ὀφείλεται εἶναι. Περὶ δὲ τοῦ Πάσχα γράφετε δοθῆναι ἄδειαν συνεορτάζειν καὶ συμπασχάζειν τοὺς ἐν Ἐνετίαις μετοίκους τῶν Γραικῶν τοῖς Ῥωμαίοις· ὅμως τοῦτο καὶ μέχρι (εἰπεῖν) ψιλῆς ἐπινοίας ἐφικέσθαι ἡμῖν οὐχ οἷόν τε, σχολῇ γ' ἂν στέρξαι καὶ γράψαι καὶ ἀποφήνασθαι· οἴδατε γὰρ καλῶς, ὅτι τὸ σχίσμα καὶ ἡ διάστασις τῶν δύο Ἐκκλησιῶν οὐκ ἐπὶ τῆς ἡμετέρας συμβέβηκε πατριαρχείας, ἵνα ὦμεν ὀφειλέται, ἅτε τὸ ἡνωμένον διαζεύξαντες καὶ τὸ διεζευγμένον ὡσαύτως ἑνῶσαι· ἀλλὰ πρὸ χρόνων ἱκανῶν ἡ

ῥωμαϊκὴ ταῖς καινοτομίαις οἰστρηλαθεῖσα μένει οὐ μόνον ἀμεταστρεπτὶ, ἀλλὰ καὶ διαφόροις ἐπιδόσεσιν αὔξουσα τὴν διάστασιν, ὡς τοῖς πᾶσι δῆλον· καὶ μάλιστα ἤδη γέγονε καταφανές· ἀλλ' οὐδ' οὕτως εἴχομεν σκάνδαλον, οὔτε θέλομεν ἔχειν μετ' αὐτῶν· εἰ δ' αὐτοὶ, ὡς ἐκ τῶν γεγραμμένων ὑμῖν τεκμαίρεται, σκοπὸν ἔχουσιν ἐνοχλῆσαι, ὅπερ (οἶμαι) ἀπίθανον, φέρειν ὀφείλετε· ὁ μὲν γὰρ παρὼν καιρὸς ὀδυνῶν καὶ θλίψεων, ὁ δὲ μέλλων χαρᾶς καὶ ἀνταποδόσεως. Μένε τοιγαροῦν ἐν τῇ ἑνότητι τοῦ Πνεύματος, ἱερώτατε ἀδελφὲ, τῇ μητρί σου καὶ τῷ δικαίῳ χαριζόμενος, τοὺς ὀλιγοψύχους παραμυθούμενος, τοὺς ἀσθενοῦντας τῇ πίστει προσλαμβανόμενος, τάς τε παραδόσεις τῆς Ἐκκλησίας ἀπρὶξ κατέχων, τὸ διδάσκειν ἐλευθέρᾳ φωνῇ καὶ γεγονωτέρᾳ κατ' οὐδὲν ἀποστρεφόμενος εἴ γε ὑφ' ἡμῶν μικρὸν ἐνύγης· πατρὸς γὰρ ἐπιτίμησις ἡδὺ φάρμακον, ἅτε πλέον ἔχον τοῦ δάκνοντος τὸ ὠφέλιμον. Ἡ δὲ τοῦ Θεοῦ χάρις, εἴη σοι.

Ἐγράφη κατὰ τὸ ,ζγς', ἰουλίου ς', ἰνδικτιῶνος γ'.

Σημ. Αἱ δύο συνοδικαὶ ἐπιστολαὶ τοῦ Ἱερεμίου ἐξεδόθησαν ὑπὸ Δοσιθέου Ἱεροσολύμων ἐν *Τόμῳ Ἀγάπης*, καὶ ὑπὸ Κ. Ν. Σάθα ἐν «Βιογραφικῷ σχεδιάσματι περὶ τοῦ πατριάρχου Ἱερεμίου Β'» Ἀθήνησι, 1870, σελ. 28—34. Ἔστι δ' αὐτόθι ἐκδεδομένη καὶ ἑτέρα περὶ τοῦ αὐτοῦ θέματος ἐπιστολὴ πρὸς τὸν δόγην τῆς Ἑνετίας Νικόλαον Δαπόντε. Ἡ ἰνδικτιὼν ἐσφαλμένως γράφεται γ', οὖσα α', ἀρξαμένη ἀπὸ σεπτεμβρίου 1587, διὸ διωρθώθη ἐν τῇ ἡμετέρᾳ ἐκδόσει, ὡς καί τινα πρόδηλα λάθη ἐν τῷ κειμένῳ κατά γε τὴν ἔκδοσιν τοῦ πολυμαθεστάτου ὁμογενοῦς Ἰωάννου Βελούδου, πρώην ἐφόρου τῆς ἐν Βενετίᾳ Μαρκιανῆς βιβλιοθήκης. Βλ. «Χρυσόβουλλα καὶ Γράμματα τῶν οἰκουμενικῶν πατριαρχῶν, ἀνήκοντα εἰς τοὺς Φιλαδελφείας μητροπολίτας κλπ.» Ἐν Βενετίᾳ, 1873. σελ. 13—17. Σημείωσαι δ' ὅτι καὶ τέταρτον κατὰ τῆς περὶ τὸ Πάσχα καινοτομίας ἀνεδημοσίευσεν ὁ μακαρίτης Ἀνδρόνικος Δημητρακόπουλος ἐν «Ἡμέρᾳ» Τεργέστης, ἔτος ΙΖ', ἀριθμ. 874.

ΙΒ΄.

ΤΟΥ ΑΥΤΟΥ ΙΕΡΕΜΙΟΥ

Σημείωμα συνοδικὸν περὶ τοῦ προβιβασμοῦ τοῦ μεγάλου Ῥήτορος

Ἡ μετριότης ἡμῶν τῆς ἐκκλησιαστικῆς εὐκοσμίας φροντίζουσα, καὶ γλιχομένη ἀνδρῶν λογίων συνάθροισμα καθορᾶν περὶ αὐτήν, ἐν οἷς εἷς ἐστι καὶ ὁ τιμιώτατος καὶ λογιώτατος μέγας Ῥήτωρ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας κὺρ Γεώργιος, οὐκ ἀνασχετὸν ἔδοξεν αὐτῇ ὑφεδρίαν ἔχειν τὸ ὀφφίκιον αὐτὸ ἐν ταῖς κοιναῖς συνελεύσεσιν, ἱεραῖς τε καὶ θείαις συνόδοις τῆς καθ' ἡμᾶς μεγάλης Ἐκκλησίας, ἀλλ' ὡς παραδεχθὲν πρὸ τοσούτων ἐτῶν, καὶ τῷ μακρῷ χρόνῳ ἐμπολιτευσάμενον, καὶ ταῖς ἀπ' ἄλλου εἰς ἄλλον μεταβάσεσιν ἕως τοῦ νῦν ἐπικριθέν, καὶ βεβαιωθὲν καλῶς, ὥστε συναρίθμιον εἶναι αὐτὸ τοῖς ἐκκλησιαστικοῖς τῆς πρώτης πεντάδος ὀφφικίοις, ἔν τε καθέδραις καὶ ταῖς κοιναῖς συνελεύσεσι τῶν τιμιωτάτων ἁπάντων κληρικῶν, διορίζεται διὰ τῆς παρούσης συνοδικῆς γραφῆς τῆς ἱερᾶς τῶν ἀρχιερέων συνόδου, τοῦ τε τοποτηρητοῦ τῶν ἁγιωτάτων πατριαρχῶν, τοῦ Ἀντιοχείας καὶ τοῦ Ἱεροσολύμων, καὶ τοῦ τιμιωτάτου καὶ λογιωτάτου μεγάλου λογοθέτου τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας τοῦ ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, ἵνα ὁ δηλωθεὶς μέγας Ῥήτωρ ἔχῃ τὴν στάσιν καὶ καθέδραν μετὰ τὸν μέγαν χαρτοφύλακα, ὡς πρεπόντως καὶ εὐλόγως ἀναχθεὶς εἰς τὸ τοιοῦτον ὀφφίκιον, καὶ λέγηται καὶ καλῆται παρὰ πάντων ἱερέων τε καὶ λαϊκῶν κληρικὸς τῆς πρώτης πεντάδος, καὶ εὑρίσκηται τιμώμενος ὡς δεῖ ἐν τῷ θειοτάτῳ καὶ ἱερῷ πατριαρχικῷ βήματι, μηδενὸς τῶν ἁπάντων κληρικῶν ἱερέων καὶ τῶν λοιπῶν ἐναντιοῦσθαι τολμῶντος αὐτῷ περὶ τούτου, ἐν βάρει ἀργίας καὶ ἀφορισμοῦ ἀλύτου τοῦ ἀπὸ Θεοῦ παντοκράτορος. Ὅθεν καὶ εἰς δήλωσιν ἐγένετο

καὶ τὸ παρὸν συνοδικὸν γράμμα, καὶ ἐπεδόθη αὐτῷ καὶ δι' αὐτοῦ τοῖς μετ' αὐτὸν ἐσομένοις. ͵ζγθ'. Ἰνδικτιῶνος δ'. μηνὶ αὐγούστῳ.

Σημ. Τὸ παρὸν σημείωμα μετεγράφη ἀπὸ τοῦ Συνταγματίου τοῦ Χρυσάνθου Ἱεροσολύμων· σελ. 68—69 τῆς β' ἐκδόσεως. Ἐνετίῃσι 1778 εἰς φύλλον. Τὸ σημείωμα ἐξεδόθη τῷ 1591. Περὶ δὲ τοῦ πατριάρχου Ἱερεμίου τοῦ ἀπὸ Λαρίσσης τοῦ Τρανοῦ ἀνάγνωθι τὸ ὑπὸ Κ.Ν. Σάθα ἐκδοθὲν Βιογραφικὸν Σχεδίασμα· ἐκ σελίδων γδ' (βίου) καὶ 218 τῶν ἐγγράφων.

ΙΓ'.

ΡΑΦΑΗΛ ΤΟΥ ΑΠΟ ΜΕΘΥΜΝΗΣ

Ἐπειδὴ μετὰ τῶν ἄλλων ἐν τῇ παρὰ τοῦ ἀοιδίμου πατριάρχου Βαλσαμὼν μελέτῃ καὶ περὶ τῶν πατριαρχικῶν προνομίων* ἐδηλώθη ἡμῖν αὐταῖς λέξεσιν οὕτως εἰπόντος καὶ τοῦτο· «πρόσταξις ἐστὶ τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ ἀπολυθεῖσα καὶ τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς σεκρέτοις καταστρωθεῖσα, καὶ διοριζομένη μὴ μόνον ἀπαρεμποδίστως ἀρχιερεῖς ψηφίζεσθαι εἰς τὰς ἀνατολικὰς ἐπαρχίας κἂν οὐ δύνωνται οἱ ἐν αὐταῖς ἐπικηρυττόμενοι καταλαμβάνειν τοὺς λαχόντας τούτοις θρόνους, ἀλλὰ καὶ μετὰ τὴν χειροτονίαν ἔχειν ὅσα πρὸ ταύτης ἔσχον κατὰ τὴν μεγαλόπολιν δίκαια»· καὶ ἀπὸ τούτου φανερῶς δηλοῦται ὅτι καὶ τῶν ἀνατολικῶν μητροπόλεων [τῆς τῶν] Μυρέων ἀνατολικῆς καὶ ταύτης οὔσης καὶ οὐ κρατουμένης, ἀλλ' ὑπὸ τῆς δυστυχίας τοῦ γένους σμικρυνθείσης, συνελθόντες ἡμεῖς οἱ καθευρεθέντες ἀρχιερεῖς, προτροπῇ καὶ προστάξει τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου πατριάρχου τῆς μεγάλης ταύτης πόλεως κυροῦ Ραφαήλ, ἐν τῷ ναῷ τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, ἐν τῷ νέῳ Πατριαρ-

* Ἐξεδόθη ἐν Δ' τόμῳ τοῦ Συντάγματος Ράλλη καὶ Ποτλῆ, σελ. 542—555.

χείῳ, ἐποιήσαμεν ψήφους κανονικὰς διὰ τὴν ἁγιωτάτην μητρόπολιν Μυρέων, ἐν αἷς πρῶτον μὲν ἐθέμεθα τὸν ὁσιώτατον καὶ λογιώτατον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατρᾶσι κὺρ Ματθαῖον, δεύτερον τὸν κτλ. Ἔτει ,ζριδ' μηνὶ δεκεμβρίῳ.

Σημ. Ἐκδίδοται τὸ παρὸν ὑπόμνημα, καθὸ τὸ πρῶτον, ἂν μὴ ἀπατώμεθα, ψηφίζον ἐν τοῖς κάτω χρόνοις τιτουλάριον ἐπίσκοπον· περὶ δὲ Ματθαίου Μυρέων βλ. Μ. Ι. Γεδεὼν «Φιλίστορος ἀποσημειώματα» ἐν *Ἐκκλησιαστικῇ Ἀληθείᾳ*, τόμ. Ε' σελ. 210 καὶ Μνημεῖα μεσαιων. ποιήσεως ἐν *Παρνασσῷ* Ἀθηνῶν τόμ. Α' σελ. 867—868. Ἡ ἐκλογὴ αὕτη ἐγένετο τῷ 1605.

ΙΔ'.

ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΚΟΝΤΑΡΗ

Κύριλλος ὁ ἐκ Βερροίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† Νόμος ἀρχαῖος, καὶ κανὼν, καὶ πατριαρχικὸν προνόμιον, μὴ ἐξεῖναί τινι τῶν ἀρχιερέων ἐπιδημεῖν εἰς Κωνσταντινούπολιν, ἄνευ προσκλήσεως τοῦ κατὰ καιροὺς οἰκουμενικοῦ πατριάρχου, καὶ ἐπιδημοῦντι συνδιατρίβειν τῷ οἰκουμενικῷ πατριάρχῃ, καθ' ὅσον ἂν αὐτὸς βούλοιτο καιρὸν καὶ χρόνον· καὶ μὴ καταδυναστεύειν τινὰ τοῦ πατριάρχου, ἄκοντος καὶ μὴ βουλομένου αὐτοῦ, τὴν Κωνσταντινούπολιν καὶ τὴν ἐπαρχίαν αὐτοῦ κατοικεῖν, ὡς τῶν νόμων μὴ συγχωρούντων τοῦτο γίγνεσθαι. Ἐπειδ' οὖν καὶ ἡ Μετριότης ἡμῶν τὴν σήμερον νεύσει Θεοῦ σώζεται πατριάρχης Κωνσταντινουπόλεως βούλεται ψήφῳ συνοδικῇ τὸ τοῦ οἰκουμενικοῦ πατριάρχου τοῦτο προνόμιον ἔχειν τὸ κῦρος, καὶ ἀμετάπτωτον μέχρι παντός· καὶ τοὺς μὴ βουλομένους τῶν ἀρχιερέων σώζεσθαι τοῦτο τὸ προνόμιον, ἀλλὰ βίᾳ τινὶ καὶ προφάσει ἀλόγῳ τὴν Κωνσταντινούπολιν ἐθέλοντας οἰκεῖν, παρὰ γνώμην

τοῦ οἰκουμενικοῦ πατριάρχου, παιδεύεσθαι παιδείᾳ ἐκκλησιαστικῇ κατὰ τὴν τῶν νόμων καὶ κανόνων διατύπωσιν· ὅθεν καὶ εἰς τὸ περὶ τούτου ἐσημειώθη τὸ παρὸν εἰς ἐνθύμησιν τῆς ἀποφάσεως τῶν νόμων καὶ τοῦ οἰκουμενικοῦ πατριάρχου προνομίου ἐν ἔτει σωτηρίῳ ͵αχλθ΄.

† **Κύριλλος ὁ ἐκ Βερροίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.**—*Ἡρακλείας Ἱερεμίας.— Χαλκηδόνος Διονύσιος. — Ἀθηνῶν Δανιήλ.— Παλαιῶν Πατρῶν Παρθένιος.— Ναυπάκτου καὶ Ἄρτης Ἄνθιμος.—Μελενίκου Θεοφάνης (;)—Ἰκονίου Παρθένιος. — Δρύστας Ἀντώνιος.*

Σημ. Μετεγράφη ἀπὸ τοῦ ὑπ' ἀριθμ. 333 κώδηκος τοῦ Οἰκουμενικοῦ Πατριαρχείου.

ΙΕ΄.

ΠΑΡΘΕΝΙΟΥ ΤΟΥ ΓΕΡΟΝΤΟΣ

ΠΕΡΙ ΤΩΝ ΠΡΟΝΟΜΙΩΝ ΤΟΥ ΦΙΛΑΔΕΛΦΕΙΑΣ
ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΒΑΛΕΡΙΑΝΟΥ

Παρθένιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Χρησιμώτατοι, καὶ ἐπιφανέστατοι, οἱ ἐν τῇ θεοσώστῳ πόλει τῶν Ἑνετῶν ὅ τε γαστάλδος καὶ γοβερναδόροι, καὶ οἱ λοιποὶ εὐλογημένοι χριστιανοί, υἱοὶ ἐν Κυρίῳ ἀγαπητοὶ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος, παρ' ἡμῶν δὲ εὐχὴ καὶ εὐλογία, καὶ συγχώρησις. Ὁ τοῦ καλοῦ παντὸς πλουσιόδωρος Κύριος ἐφαπλῶν ἀγαθότητι ἐπὶ πάντα τὰ ὄντα ὁλικῶς τὰς τῆς προνοίας αὐτοῦ ἀκτῖνας, διεξάγων καὶ διοικῶν οἷς οἶδε τρόποις καὶ ἐπίσταται μόνος τὸ πρὸς ἀξίαν πάντως ἑκάστῳ ἀπονέμων, οὐ τῇ φύσει μόνον ἀπένειμε νόμοις ἀρρήτοις ὅσα εἰκὸς, ὡς ἐξ ὑγροῦ φέρε ἑνὸς ὄντος, διάφορα τελεσιουργεῖν εἴδη,

ἡλιακῆς δήπου περιθάλψεως κατὰ τοῦτο συντελούσης, ὡς ἂν μήτε Θεὸν, ἢ φύσιν ματαιοπονεῖν, ἀλλὰ πολλῷ μᾶλλον ὑψηλοτέρως καὶ ὑπὲρ πάντα λόγον τῇ Ἐκκλησίᾳ αὐτοῦ, ὑπὲρ ἧς τὸ ἴδιον αὐτοῦ αἷμα ἐξέχεε, καὶ ᾗ τινι χρῆται ὡς κεφαλὴ σώματι ὢν, τοῦ πληρώματος αὐτῆς, ὥστε ἀναζωπυρεῖν παρ' αὐτοῦ δωρεὰν λαχούσῃ περιθάλπειν ἅμα τὰ ὑπ' αὐτὴν τέκνα, φιλανθρώπῳ πάντως προνοίᾳ κινουμένη καὶ στοργῇ [μητρικῇ]. Ἐντεῦθεν ἄρα καὶ τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν, εἰς ταὐτὸ τοῦτο περιΐστασθαι ἀναγκαῖον οἷα μητέρα πασῶν τῶν ὑπ' αὐτὴν Ἐκκλησιῶν καὶ τροφὸν, προνοεῖσθαι τούτων καὶ φροντίζειν ἐφ' οἷς ἐστι πρόσφορον, ὡσανείπως μιμουμένη ἢ ἑπομένη τῇ κεφαλῇ αὐτῆς, καὶ δαψιλεῖ φιλοτιμίᾳ, αὔξειν αὐτὰς ἀπὸ δόξης εἰς δόξαν, ἀπὸ βαθμῶν εἰς βαθμοὺς ἱεροὺς, ἀλλὰ μὴν καὶ ἀπὸ ἐπισκοπῶν εἰς ἀρχιεπισκοπὰς καὶ μητροπόλεις καθιστᾶν, καὶ οἷα βασιλικῇ ἐλευθεριότητι προσέτι τιμᾶν καὶ μεγαλύνειν, καὶ ἐν ἱεροῖς ἀμφίοις, ἐπιγονατίῳ τε καὶ σάκκῳ, μίτρᾳ τε καὶ ὅσοις ἄλλοις κατακοσμεῖσθαι παρείληφε. Τοιγαροῦν καὶ ἡ μετριότης ἡμῶν παντοδυνάμῳ νεύματι τοὺς ἐκκλησιαστικοὺς οἴακας ἐπειλημμένη, μετὰ τῶν λοιπῶν ἄλλων ὧν ἔχει διὰ φροντίδος, καὶ τὸν [τῆς] Φιλαδελφείας πάλαι μετατεθέντα ἐν ταύταις ταῖς κλειναῖς Βενετίαις θρόνον συνορῶσα στερούμενον μὲν τῶν διαφερόντων τοῖς ἀρχιερεῦσι, πολὺ δὲ λειπόμενον τῆς ἀξίας αὐτῷ καὶ ἀνηκούσης τιμῆς, ἔγνω δεῖν ἀμείβεσθαι τοῖς ἐκκλησιαστικοῖς προνομίοις ὡς δώροις τισὶ, καὶ μὴ ἧττον φαίνεσθαι τῶν ἄλλων· χαριζομένη, τοῦτο μὲν, τῆς λαμπροτάτης ἕνεκα καὶ γαληνοτάτης ἀρχῆς τῆς θεοφρουρήτου Βενετίας, τοῦ Ὑψηλοτάτου πριγκίπου, καὶ πάσης τῆς αὐτοῦ Γερουσίας, ὑπερμάχου ὄντος καὶ φρουροῦ τοῦ ἡμετέρου γένους, καὶ κατὰ πάντα εὐλαβουμένου τὰ περὶ τὴν ἡμετέραν Ἐκκλησίαν θεσπιῳδούμενα, τοῦτο δὲ, καὶ εὐφημίας πέρι τοῦ στάδου* αὐτῆς, καὶ κόσμου, καὶ ἀναπαύσεως αὐτῆς· γράφει διὰ τοῦ παρόντος, καὶ ἐν ἁγίῳ ἀποφαίνεται Πνεύματι, εἰ-

* status, τῆς ἐπικρατείας δηλαδὴ, ἐξήγησις Ἰ. Βελούδου.

δήσει καὶ τῆς συμπαρουσιαζούσης ἀρχιερατικῆς ἀδελφότητος, ἵνα τοαποτοῦδε ὁ ἱερώτατος καὶ λογιώτατος μητροπολίτης Φιλαδελφείας, ὑπέρτιμος καὶ ἔξαρχος πατριαρχικός, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κύριος Ἀθανάσιος, ἢ καὶ ὁ κατὰ καιροὺς ἀρχιερατεύσων, ἔχῃ ἄδειαν πρὸς τοῖς ἄλλοις ἱεροῖς ἀμφίοις, ἐν τῷ ἐπιτελεῖν τὴν ἀναίμακτον θυσίαν, μίτραν ἐπὶ κεφαλῆς φέρειν, καὶ προσεπικοσμεῖσθαι σάκκῳ, τὰ θεῖα μεταχειριζόμενος, καὶ πρὸς τούτοις κρίνειν, καὶ ἀνακρίνειν, καὶ ἀναθεωρεῖν πάσας τὰς συμπιπτούσας ἐκκλησιαστικὰς ὑποθέσεις, τῶν καθ' ἡμᾶς μὲν ἐκκλησιῶν, τελουσῶν δὲ ὑπ' ἐξουσίαν τῆς θεοφρουρήτου ἀρχῆς τῆς Βενετίας, τῶν ἐν τοῖς ὁρίοις αὐτῆς, καὶ ἀπόφασιν κατὰ νόμους ἐκθέσθαι πρόσφορον, ὡς πρόσωπον ἐπιφέρον ἡμέτερον, καὶ πατριαρχικὸς ἐπίτροπος καὶ ἔξαρχος, καὶ ὢν καὶ λεγόμενος· ἐκκλησιαστικῇ δὲ ἐξουσίᾳ πράττων ὅσα πρὸς πνευματικὴν ὠφέλειαν συντείνει καὶ κοινὴν διόρθωσιν· προτιμώμενος, καὶ εὐλαβούμενος ὡς φίλος Θεῷ τε καὶ ἡμῖν. Ἐπὶ γὰρ τούτῳ ἀπελύθη καὶ ὁ παρὼν πατριαρχικὸς καὶ συνοδικὸς χρυσόβουλλος λόγος διὰ τοῦ παρόντος σιγιλλιώδους γράμματος, παρ' οὐδενὸς ὅλως ἐναντιουμένου, ἢ ἀντιτείνοντος ἱερωμένου, ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀφορισμοῦ ἀλύτου τοῦ ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος, ἐξ ἀποφάσεως. Ἐν ἔτει κοσμοσωτηρίῳ, ͵αχμδ'.

Ἐν μηνὶ μαΐῳ. Ἰνδικτιῶνος θ'.

† *Ὁ Ἐφέσου Μελέτιος.* † *Ὁ Ἀδριανουπόλεως Παρθένιος.* †*Ὁ Τορνόβου Μακάριος.* † *Ὁ Ἡρακλείας Ἰωαννίκιος.* † *Ὁ Βερροίας Ἰωαννίκιος.* † *Ὁ Χαλκηδόνος Παχώμιος.* † *Ὁ πρώην Νικαίας Πορφύριος.* † *Ὁ Νικομηδείας Κύριλλος.* †*Ὁ μητροπολίτης Φιλιππουπόλεως Γαβριήλ.* †*Ὁ Τραπεζοῦντος Λαυρέντιος.* † *Ὁ Διδυμοτείχου Κλήμης.*

Σημ. Ἐξεδόθη τὸ πρῶτον ὑπὸ Ἰωάννου Βελούδου· σελ. 32—35 *Χρυσοβούλλων καὶ Γραμμάτων τῶν οἰκουμ. πατριαρχῶν ἀνηκόντων εἰς τοὺς Φιλαδελφείας μητροπολίτας, προέδρους τῆς ἐν Βενετίᾳ ὀρθοδόξου κοινότητος.* Βενετίᾳ 1873· περὶ δὲ Ἀθανασίου Βαλεριανοῦ βλ. τοῦ αὐτοῦ *Ἑλλήνων ὀρθοδόξων ἀποικία ἐν Βενετίᾳ.* Αὐτόθι, 1872, σελ. 74.

ΙϚ΄.

ΙΩΑΝΝΙΚΙΟΥ ΤΟΥ ΑΙΝΔΙΟΥ

ΤΟΜΟΣ ΣΥΝΟΔΙΚΟΣ

Τῆς περὶ τὸ σῶμα ὁλοκληρίας ἀρτίου καὶ ὑγιοῦς σωζομένης, τῆς δὲ κράσεως αὐτοῦ ἀταράχου, καὶ πάθους τινὸς τῶν ὁποιωνδήποτε ἐπιέναι τῶν ἐκτὸς ἀμετόχου μενούσης, ἐνὸν τῷ ζώῳ τὰ κατ' αὐτὸ διαπράττεσθαι ἀκώλυτον, καὶ τὸ τέλος αὐτοῦ κατὰ σκοπὸν ὁρᾶσθαι γινόμενον· τῶν γὰρ παθῶν τε καὶ κράσεων περὶ χυμοὺς συμβαινόντων ἀλλήλοις, ρᾷον τὴν ὑγείαν διαλάμπειν, καὶ νόσου ραΐζειν τὸν ἄνθρωπον· ταύτῃ τοι μὲν ἡ ἰατρικὴ τέχνη ἐπενοήθη ὑγείας οὖσα περιποιητική, ταύτῃ δὲ ἡ τῶν βοτανῶν χρῆσις καὶ δύναμις προεξευρέθη, ἐν οὐδενὶ ἄλλῳ, ἢ τὰ παρὰ φύσιν εἰς τὸ κατὰ φύσιν ἀποκαθίστασθαι· τοιούτου οὖν σκοποῦ καὶ τελευτῆς περὶ τὴν ἰατρικὴν μέθοδον ὄντος, δεῖ μέντοι καὶ ὅση δύναμις ἐπιμελείας ἀξιοῦσθαι προσηκούσης τὸ σῶμα, καὶ πάντων μὲν ἀπέχειν τῶν βλαβερῶν, προσανέχειν δὲ τοῖς δύναμιν ἔχουσι, καὶ ἐνέργειαν ἱκανὴν ἐπὶ θεραπείᾳ, ἢ προφυλακῇ. Ἔνθέν τοι καὶ κατάλληλον ὁρῶμεν τῇ ἰατρικῇ τέχνῃ τὴν νομοθετικὴν διδασκαλίαν, τέχνην οὖσαν τοῦ καλοῦ καὶ τοῦ ἴσου, δι' ἧς καὶ τὸ τῆς πολιτείας σῶμα θεραπεύεται, καὶ τἀναντία ἀποτρέπεται, καὶ τὰ ἐπιβλαβῆ ἀποδιώκεται, καί, συνελόντι εἰπεῖν, πᾶν σκάνδαλον καὶ διχόνοια πᾶσα καὶ ἐρίθεια καὶ φιλονεικεία ἐκ μέσου αἴρεται, τῇ τοῦ νόμου πάντως ἀκριβεῖ ἐπιστασίᾳ, καὶ ποδηγετίᾳ τῶν ἐκκλησιαστικῶν θεσμῶν τε καὶ κανόνων. Διά τοι τοῦτο καὶ ὁ μακάριος Δαυῒδ ὁ πατρόθεος «εἰρήνη πολλή φησι τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον»· τί δ' ἂν εἴη τὸ σκάνδαλον, ἢ νόσος ἀτεχνῶς ψυχῆς καὶ τῆς καρδίας, τῇ δὲ τοιαύτῃ νόσῳ μὴ*

* παρέλκει ὁ μή.

τῇ τοῦ νόμου ἀφῇ καὶ ἐπιμελείᾳ, ὡς ἰατρῷ, ἀμελουμένῃ, καὶ θάνατον οἴδαμεν ἀκολουθοῦντα, τὸν διασπασμὸν τῆς πνευματικῆς ἑνότητος, οἷα νεκρότητα τινά, ἀπραξίαν καλοῦ τυγχάνουσαν τῇ ὁλομελείᾳ τοῦ χριστιανικοῦ συστήματος. Καὶ δή, ὡς ἀλλήλων μέλη κατὰ Παῦλον τὸν οὐρανοφοίτην, συμπάσχοντες, καὶ τὸ παρὰ τοῦ νόμου ἴαμα ἐπιμελῶς ἐπιζητοῦντες, καὶ τρόπον τινὰ ὡς ἂν εἴποι τις καταστέλλεσθαι τὸν θόρυβον τῆς Ἐκκλησίας, καὶ τὰ παρὰ τῶν πνευμάτων τῆς πονηρίας ἐπαγόμενα πάθη ἐξακέσαι ἱέμενοι, μή τοι καὶ πάθοι, ἢ ὅλως ὑποσταίη σῆψίν τινα καὶ νάρκωσιν τὸ θεῖον ἡμῶν σύστημα καὶ τῆς Ἐκκλησίας πλήρωμα ἐξ ἀφανοῦς ἀβάλε* λογισμῶν ἐπιφυομένων ματαίων, τυχὸν καὶ παρὰ ματαίων, δεῖν ἔγνωμεν ὡς ἐκ συνθήκης, πνεύματος καὶ συμφωνίας κοινῆς, καὶ συνειδήσεως ὀρθῆς, ἵνα, τῇ τῶν καλῶν καὶ ἀγαθῶν οἰκονομικῇ κατασχέσει, ἀνασταλῇ ἡ τῶν κακῶν ἐπιδρομή, καὶ ἡ τῶν τοιούτων συνέλευσις, πάροδον μηδεμίαν ἔχειν τινά, ἢ εἴσοδον ἐπὶ Κωνσταντινούπολιν ἀπροβούλευτον· τῷ γὰρ ὁμίλῳ ἢ καταλόγῳ ἀνδρῶν εἰρηνικῶν ἔλαττον ἐπακολουθεῖν οἶδε συσκιαζόμενος καὶ ὁ ταῖς μάχαις χαίρων φιλαμαρτήμων ἀνήρ, ὑποδύεται γὰρ τὸ εἰρηνικὸν πρόσωπον καὶ τοῖς εἰρηνικοῖς τῶν ἀρχιερέων συνιών, καιροῦ ἐπιλαμβάνεται, καὶ δι' αὐτοῦ σχεδὸν τὸ πᾶν ἐκταράττεται, ἔρωτι κενῆς δόξης ἁλοὺς καὶ ἀνοήτου, καὶ τοῦ ὑψηλοτέρου ἐφιέμενος βαθμοῦ, καὶ μείζονος γλιχόμενος προστασίας, κινεῖ πάντα κάλων ὥστε ἐπιπηδῆσαι τάφρον ἐπικίνδυνον, πολλοῖς ἐπιφέροντα ζημίαν ἐπιβλαβῆ, καὶ παγκόσμιον εἰπεῖν λύπην. Ἠκούσαμεν οὖν ὅρια πατέρων μὴ ὑπερβαίνειν, ἃ καλῶς οὗτοι καὶ μετὰ δοκιμασίας ἀρχῆθεν ἐξέθεντο, ἀλλὰ μηδὲ ὑπὲρ τὰ ἐσκαμμένα καθάλλεσθαι, καὶ θριγγίων ὑπερπηδᾶν ὀθνείων τε καὶ οἰκείων, καὶ δικαίων, δόγμα τοῦτο ἐκκλησιαστικόν, καὶ θεσμὸς θεῖος ἀνέκαθεν κείμενος· ἔδει μὲν οὖν τοῦτο μὴ ἀγνοεῖν τοὺς τῶν ἁπανταχοῦ διακειμένων προϊσταμένους ἐκκλησιῶν, καὶ τὸ ἐπάγγελμα ἔχοντας συντήρησιν

---

* ἀκατάληπτος ἡμῖν ἡ λέξις τοῦ κώδηκος.

θεσπισμάτων κανονικῶν καὶ νομικῶν διδαγμάτων, καὶ τούτοις ἐμμένειν, καὶ τῶν μὲν οἰκείων ἀντέχεσθαι, τῶν δ'ἀλλοτρίων ἀπέχεσθαι, ἀλλ'οὐκ οἴδαμεν, τινὲς τῶν ἀδελφῶν ἀσυντηρήτως εἰς τὴν βασιλίδα τῶν πόλεων ἐπιδημοῦντες, ταράττουσι τὸ κοινὸν, δόξαν θηρεύοντες, καὶ τόπους προβαθμιωτέρους ψηλαφοῦντες· ἐκ τούτων πολλὰ τῶν σκανδάλων καὶ παντοδαπὰ ἐπιφυόμενα βλάπτουσι τὴν Ἐκκλησίαν καὶ τὸ κοινὸν αὐτῆς πλήρωμα, καὶ ὕβρις ἐπιτρίβεται καὶ βλασφημία περὶ αὐτὴν τὴν ὀρθοδοξίαν καὶ ἄσπιλον Ἐκκλησίαν. Ὅθεν καὶ θέσπισμα προέβη τῆς ὀγδοηκοστῆς ἕκτης Νεαρᾶς, διοριζομένης τοὺς ἐπισκόπους ἅμα καὶ μοναχοὺς παρὰ γνώμην τοῦ πατριάρχου μηδ' ὅλως ἐπιδημεῖν τῇ βασιλευούσῃ, ἐπὶ τῇ προσηκούσῃ ποινῇ· φάσκει γὰρ οὑτωσὶν ὁ πολιτικὸς νόμος: τοῖς θεοφιλεστάτοις ἐπισκόποις τὰς οἰκείας καταλιμπάνειν ἐκκλησίας, καὶ εἰς ἄλλας ἐνορίας παραγίνεσθαι ἀπαγορεύομεν, μὴ ἄλλως ἢ μετὰ γραμμάτων τοῦ μακαριωτάτου αὐτῶν πατριάρχου ἢ μητροπολίτου· καὶ ἐπάγει: ἀλλὰ μηδὲ εἰς τὴν βασιλίδα τῶν πόλεων ἐπιδημείτωσαν, ἢ οὕτω. Τοιγαροῦν καὶ ἡμεῖς οἱ παρατυχόντες ἀρχιερεῖς οἱ ἐν Χριστῷ τῷ Θεῷ συναδελφοὶ καὶ συλλειτουργοὶ, τοῖς θείοις νόμοις ἐμμένοντες, καὶ τῶν πατέρων θεσπίσματα ἐπικρατύνοντες, οἷς ἑπόμενοι, ζέοντι τῷ πνεύματι, τοῦτο μὲν διὰ τὸ τοῖς πολλοῖς ὑφορώμενον καθ' ἡμῶν γλῶτταν ἄδικον κινοῦσιν ὡς παραιτίων ἐνστάσεως καὶ φιλονεικίας· τοῦτο δὲ, ἴσως, καὶ τινὲς λαθραίως ἀδολεσχοῦντες μελετῶσι διακενῆς, ἄλλων μὴ εἰδότων,) πρόρριζον πᾶσαν πρόφασιν κακίας καὶ πονηρᾶς ὑπολήψεως ἀποκόψαι θελήσαντες, γνωμοδοτοῦμεν ἅπαντες, ὡς ἐξ ἑνὸς στόματος καὶ μιᾶς καρδίας, καὶ ἐπαγγελλόμεθα ἐν φόβῳ Θεοῦ, καὶ ἀληθείᾳ, καὶ διὰ τοῦ παρόντος συνοδικοῦ τόμου ἀποφαινόμεθα, στέργοντες ἐκ ψυχῆς, μηδένα ἐξ ἡμῶν τῶν ἀρχιερέων, οἰκειοθελῶς τε καὶ αὐθαιρέτως, ἐνδημεῖν τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων, παρὰ γνώμην καὶ θέλησιν τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Ἰωαννικίου· ἀλλ' ᾧ ἂν τινι διὰ γράμματος αὐτοῦ προτρεπτικοῦ ἐπιτρέψαιτο παραγενέ-

σθαι καὶ ἐντυχεῖν αὐτῷ διὰ κατεπείγουσαν ἐκκλησιαστικὴν ὠφέλειαν, ἐξέσται ἀδεῶς αὐτὸν καὶ ἀνυποστόλως ἐνδημεῖν· τὸν δὲ παρὰ ταῦτα πράξοντα, μένειν ὑπὸ παιδείαν προσήκουσαν ἐκκλησιαστικὴν, κατὰ τὴν δοκοῦσαν ψῆφον τῇ Ἐκκλησίᾳ, ὡς προπέτην καὶ παραβάτην τῆς κοινῆς ἡμῶν συμφωνίας καὶ ἀποφάσεως ἀναδειχθέντα, καὶ ὕποπτον. Ὅθεν καὶ κατεστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδηκι τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ ὁ παρὼν ἡμέτερος συνοδικὸς τόμος, καὶ κατησφαλίσθη ταῖς ἰδίαις ἡμῶν ὑπογραφαῖς.

Ἐν ἔτει σωτηρίῳ ,αχμζ', δεκεμβρίῳ λ'. Ἰνδικτιῶνος ιε'.

Σημ. Καὶ ὁ τόμος οὗτός ἐστι μεταγεγραμμένος ἀπὸ τῆς *Νομικῆς Συναγωγῆς*, ἀποδίδοται δ' ὑπὸ Κ. Ν. Σάθα (Μεσαιων. βιβλιοθήκης τόμ. Γ' σελ. 581) Παρθενίῳ τῷ Ὀξεῖ (Κεσκίνῃ), ὅν, πρὸς διαστολὴν ἀπὸ τοῦ Παρθενίου Α' τοῦ καὶ γέροντος καὶ ἀπὸ τοῦ Παρθενίου Γ' τοῦ καὶ Παρθενάκη κληθέντος, ὠνόμαζον τῷ τότε «νέον». Ὑπὸ τοῦ Νέου Παρθενίου τούτου, ὃν διαστέλλοντες ἀπὸ τοῦ Γ', (τοῦ ἀπὸ Χίου ἀνελθόντος τὸν οἰκουμενικὸν θρόνον) ὠνομάσαμεν ἀνωτέρω (σελ. 46) *γέροντα*, ἐξεδόθη τὸ συνοδικὸν γράμμα περὶ τῶν προνομίων τοῦ Φιλαδελφείας, ὅπερ ἐκύρωσε μετὰ τετραετίαν Ἰωαννίκιος ὁ ἀπὸ Ἡρακλείας ὁ Λίνδιος, ὁ ἐκδοὺς τόν τε νῦν ἐκδιδόμενον τόμον καὶ τὸ κατωτέρω ΙΖ' γράμμα. Παρόμοιοι Συνοδικοὶ Τόμοι ἐξεδόθησαν καὶ ὑπὸ ἄλλων ἀκολούθως πατριαρχῶν.

ΙΖ'.

ΤΟ ΑΥΤΟΥ ΙΩΑΝΝΙΚΙΟΥ

Ἰωαννίκιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Οἱ ἐν τῇ θεοφρουρήτῳ πόλει τῶν Ἐνετῶν εὐγενέστατοι καὶ ἐπιφανέστατοι, ὅ τε γαστάλδος καὶ γοβερναδόροι, καὶ οἱ λοιποὶ εὐλογημένοι χριστιανοί, υἱοὶ ἐν Κυρίῳ ἀγαπητοὶ καὶ περιπόθητοι τῆς ἡμῶν μετριότητος· χάρις εἴη ἡμῖν καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ

παρ' ἡμῶν εὐχὴ εὐλογία καὶ συγχώρησις. Φύσει τὸ ὄντως καλὸν πρὸς ἑαυτὸ πάντας καλεῖν, καὶ μονονουχίπως ἐπισπᾶσθαι τοὺς ἐν γνώσει τὸ ζῆν ἔχοντας, καὶ ποδηγετεῖν πρὸς τὸ κάλλιστον εἴωθε· καὶ καλὴ μὲν ἡ τούτου κτῆσις, κάλλιστον δὲ ἡ τούτου συντήρησις καὶ διαμονή· καὶ γὰρ τὸ εἶναι μὲν, καλὸν, τούτου δὲ, τὸ εὖ εἶναι, ἄριστον· οὗ δὲ ἡ ἀϊδιότης μᾶλλον ἴδιον, καὶ ἡ ἀθανασία οἰκεῖον. Ὅθεν καὶ τῶν τῆς ἀρετῆς ἐπαινουμένων ἕν ἐστι καὶ τὸ ἀναφαίρετον· ἐντεῦθεν καὶ ἡ ἀνακαίνησις (γρ. ἀνακαίνισις) δόμων ὑψηλῶν, εὐκτηρίων οἴκων θείων, ἐντεῦθεν καὶ ἀνθρώπου προτροπὴ, γενέσθαι καινὸν ἀντὶ παλαιοῦ. Καὶ ἄλλην ἀνακαίνισιν ὡς ἀετοῦ μεμαθήκαμεν, εἰ καὶ ὑψηλότερα τὰ λεγόμενα καὶ θείως νοούμενα, ἀλλ' οὖν ταῦτα πάντα ἐπὶ τὴν τοῦ καλοῦ ἀνανέωσίν τε καὶ ἀνακαίνισιν προσεμβιβάζουσι πάντας τοὺς ὀξεῖαν ἔχοντας πνευματικὴν αἴσθησιν ἀκοῆς τε καὶ ὁράσεως. Ἀρχαῖον ἔθιμον καὶ τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ ἁγιωτάτῃ Μεγάλῃ Ἐκκλησίᾳ, νουνεχόντως καὶ προσφυῶς οὐ μόνον ἱερὰ τεμένη ἀνακαινίζειν, ἀλλὰ καὶ γράμματα παλαιγενῆ, ὅσα τῆς ὀρθῆς ἔχονται διανοίας τῶν ἀοιδίμων πατριαρχῶν ἀνανεοῦν καὶ ἐπιβεβαιοῦν, καὶ τὸ νεαρὸν αὐτῶν ἀναδείκνυσθαι καὶ ἀειθαλλὲς, διὰ χάρτου αὐτῆς καὶ μέλανος καλιγραφικοῦ, (οὕτω), καὶ εἰς ἀϊδιότητα παραπέμπειν. Δόκιμον γὰρ καὶ ἐνάρετον, ἢ μᾶλλον θεάρεστον ὡς εἰπεῖν, καὶ τῇ ἡμῶν μετριότητι, μέριμναν ἐχούσῃ πασῶν τῶν κατὰ μέρος ὑπ' αὐτὴν τελουσῶν ἐκκλησιῶν, καὶ περὶ πολλοῦ ποιουμένῃ ὅσα εἰσὶν ἁγνὰ, καὶ ὅσα θεοφιλῆ, κατὰ Παῦλον, καὶ ὅσα εὔφημα σπευδούσῃ κατὰ τὸ ἐνὸν, προσηνέχθη καὶ ἀπεκομίσθη ἶσον γράμματος τοῦ μακαρίτου ἐν πατριάρχαις γέροντος κὺρ Παρθενίου ἐμμάρτυρον καὶ ἐνυπόγραφον σιγιλλιῶδες*, χρυσοβούλου λόγον ἐπέχον, καὶ ἀναγνωσθέντος καὶ διαγνωσθέντος ἐπὶ συναινέσει καὶ παρουσίᾳ τῆς παρατυχούσης ἱερᾶς τῶν ἀρχιερέων ὁμηγύρεως, ἀνεφάνη τὸ τῆς

* *Γέροντα* καλεῖ καὶ ὁ ἀοίδιμος Ἰωαννίκιος τὸν παρὰ τοῖς ἱστοριογράφοις τῶν κάτω χρόνων *Νέον* καὶ *Ὀξὺν* (κεσκὶν τουρκικώτερον) Παρθένιον τὸν Β'.

Ἐκκλησίας φιλόδωρον, καὶ τὸ τοῦ ὕψους αὐτῆς μεγαλόδωρον ἢ φιλότιμον, δαψιλῶς ἐπιβραβευούσης τὰ πνευματικὰ αὐτῆς καὶ θεῖα χαρίσματα, πρὸς οὓς ἡ πάνσοφος ἐκλογὴ τῆς θείας προνοίας, ἀξίους αὐτῆς ἀπεφήνατο τοῦ τοιούτου μεγάλου δωρήματός τε καὶ χαρίσματος, ὧν ἐστι καὶ τὸ ἐπικοσμηθῆναι τὸν ἱερώτατον μητροπολίτην Φιλαδελφείας κὺρ Ἀθανάσιον ἐκκλησιαστικαῖς δωρεαῖς, πατριαρχικαῖς φιλοτιμίαις, μίτραν ἐπὶ κεφαλῆς ἐπιβεβλῆσθαι, σάκκον ἀμφιέννυσθαι ἐν τῷ τὴν ἀναίμακτον καὶ θείαν λειτουργίαν ἐκτελεῖν καὶ τῷ Πατρὶ τῶν φώτων προσφέρειν, παρεπομένως δὲ καὶ ὥς πέρ τινα ἄλλον σκοπὸν, τὰς ἐκκλησιαστικὰς ὑποθέσεις τὰς καθ' ἡμᾶς θεωρεῖν, διευθετεῖν κατὰ νόμους ἱεροὺς τὰς συμβαινούσας ἐπὶ πᾶσι τοῖς ὁρίοις τῶν κλεινῶν Ἐνετιῶν, τοῦτο μὲν χάριν φιλοτήσιον τῆς ἐκλαμπροτάτης καὶ γαληνοτάτης ἀρχῆς τῆς θεοσώστου Βενετίας, τοῦ ὑψηλοτάτου καὶ μεγαλοδόξου πριγκίπου, καὶ πάσης τῆς περὶ αὐτὸν ἀξιωτάτης Γερουσίας· τοῦτο δὲ κατ' εὐφημίαν καὶ ἔπαινον τοῦ στάδου αὐτῆς, καὶ κόσμου καὶ ἀναπαύσεως. Ἐπὶ τούτοις δὲ καὶ διὰ τὸ εἶναι τὸν διαληφθέντα ἱερώτατον καὶ λογιώτατον μητροπολίτην Φιλαδελφείας κὺρ Ἀθανάσιον ἄξιον ποιμένα καὶ σοφὸν, ἀκέστορα θεῖον τῷ ὄντι καὶ πνευματικὸν, ἱκανὸν διοικεῖν ὡς εἰκὸς τοὺς ἐνδεῶς ἔχοντας θεραπείας καὶ ἐπισκέψεως ἁρμοζούσης· ἅπερ οὖν συνορῶντες ἡμεῖς, καὶ εἰς νοῦν λαβόντες, καλῶς καὶ ἀγαθῶς ἔχοντα, δεῖν ᾠήθημεν ἐπιβεβαιῶσαι καὶ δι' ἡμετέρου κατασφαλίσαι γράμματος σιγιλλιώδους πατριαρχικοῦ χρυσοβούλου, καὶ τὸ κῦρος ἐπιβραβεῦσαι αὐτοῖς, καὶ τὴν ἰσχὺν καὶ κραταίωσιν, καὶ τὴν διαμονὴν χαρίσασθαι τούτοις καὶ ἀϊδιότητα. Καὶ δὴ γράφοντες συνοδικῶς ἐν ἁγίῳ Πνεύματι παρακελευόμεθα, γνώμῃ καὶ τῶν ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τοῦ προεκτεθέντος ἐκείνου συνοδικοῦ γράμματος πατριαρχικοῦ σιγιλλιώδους ἔχοντος τὴν ἐπικύρωσιν, καὶ τὴν διαμένουσαν ἀσφάλειαν, καὶ τὴν διηνεκῆ ἀτρεψίαν καὶ ἀμεταβλησίαν, καὶ τὸ πάγιον ὅλως καὶ ἐρηρεισμένον

καὶ ἀμετάπτωτον, ὁ ἱερώτατος καὶ λογιώτατος αὐτὸς μητροπολίτης Φιλαδελφείας κὺρ Ἀθανάσιος, ὁ ἐν/ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς εἴη καὶ λέγοιτο ἐπίτροπος καὶ ἔξαρχος πατριαρχικός, καὶ οἱ κατὰ καιροὺς μετ' αὐτὸν ἀρχιερατεύσοντες, φορῶν ἐπὶ κεφαλῆς μίτραν, ἐνδυόμενος σάκκον ἐν τῷ ἐγγίζειν τῷ Θεῷ, ἱερουργῶν τὴν πνευματικὴν καὶ ἀναίμακτον λατρείαν, καὶ παραπέμπειν αὐτὴν διὰ τοῦ Πνεύματος εἰς τὸ ὑπερουράνιον θυσιαστήριον, ἔχων ἄδειαν παρὰ τῆς ἐκκλησιαστικῆς ἐξουσίας καὶ μεγαλειότητος ἐπιστατεῖν καὶ ἐφορᾶν πάσας τὰς κατὰ τόπον περὶ αὐτὸν ἐκκλησίας, καθ' ἡμᾶς μὲν οὔσας, ὑπὸ δὲ τὴν γαληνοτάτην ἀρχὴν τῶν Ἐνετῶν τελούσας, καὶ διακυβερνᾶν τοὺς ἐν αὐταῖς λόγῳ ἀληθείας, καὶ κρίνειν καὶ διακρίνειν καὶ ἀναθεωρεῖν πάσας τὰς ἐμπιπτούσας ὑποθέσεις νομίμως καὶ κανονικῶς, καὶ ἀποφαίνειν ὡς πρόσωπον ἡμέτερον καὶ πατριαρχικὸς ἐπίτροπος καὶ ὢν καὶ λεγόμενος, καὶ οἷα χεὶρ δεξιὰ τῆς ἀνατολικῆς Ἐκκλησίας ἐνεργεῖν καὶ πράττειν τὰ τῇ εὐσεβείᾳ προσήκοντα, πρὸς κοινωφελῆ καὶ ψυχωφελῆ σωτηρίαν, καὶ τὰς χειροτονίας ἐπιτελεῖν διακόνων τε καὶ ἱερέων ἐν τῇ τῶν Κερκύρων νήσῳ, καθ' ἣν δοθησομένην ἄδειαν παρὰ τῆς λαμπρᾶς καὶ μεγάλης καὶ κοσμοφήμου ἀρχῆς τῆς κλεινῆς Ἐνετίας. Πρὸς τούτοις δέ ποτε καὶ ἐν Κυρίῳ ἐκδημησάντων τοῦ τε ἀρχιεπισκόπου Κεφαλληνίας καὶ Ζακύνθου, καὶ τοῦ ἐπισκόπου Κυθήρων καὶ τῶν ὧδε ἀπαράντων, αὐτὸς οὗτος ὁ ἱερώτατος καὶ λογιώτατος μητροπολίτης Φιλαδελφείας, ὡς ἔξαρχος καὶ ἐπίτροπος τοῦ οἰκουμενικοῦ θρόνου πρὸς πάσας τὰς ὑπὸ τὰς κλεινὰς Ἐνετίας ἐκκλησίας, ἔχοι ἄδειαν, κατὰ τόπον, ἐκλογῆς γινομένης, χειροτονεῖν ἑτέρους κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, καὶ κανονικὴν ἀπόφασιν, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ψήφων γινομένων ὑπὸ τριῶν ἐπισκόπων, τοὐλάχιστον ὑπὸ δύο ἀνεπιλήπτως, καὶ λαμβάνειν τὸ τῆς Ἐκκλησίας δικαίωμα μέσον εὑρισκομένης τοῦ πολλοῦ σάλου καὶ κλύδωνος, καὶ τὸ μὲν φιλότιμον τοῦ Κεφαλληνίας πέμπειν τῷ πατριαρχικῷ οἰκουμενικῷ θρόνῳ, τὸ δὲ τοῦ Κυθήρων, τῷ μητρο-

πολίτῃ Μονεμβασίας, ἵνα τὰ δίκαια τῶν μητροπόλεων διασώζοιντο. Διὰ δὲ τὸ μῆκος τοῦ διαστήματος ἀπὸ τῶν Ἐνετιῶν εἰς Κύθηρα, ἐχέτω ἄδειαν ὁ ἱερώτατος οὗτος μητροπολίτης Φιλαδελφείας πέμπειν ἔκδοσιν τῷ ἀρχιεπισκόπῳ Κεφαλληνίας, ἐπὶ τὸ χειροτονεῖν, κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, ἐπίσκοπον Κυθήρων, κἂν ταῖς ἱεραῖς τελεταῖς τὰς φήμας γίνεσθαι, εἰς ὄνομα αὐτοῦ παρ' ἀμφοτέρων, τοῦ τε Κεφαλληνίας καὶ Κυθήρων, ὥς περ καὶ παρὰ τῶν ἐν Κερκύροις πρωτοπαπάδων, καὶ τῶν λοιπῶν τῶν ὑπὸ τὴν ἐξουσίαν ὄντων τῶν κλεινῶν Ἐνετιῶν. Χάριν δὲ ὑποταγῆς τῆς πρὸς τὸν οἰκουμενικὸν θρόνον, ἀποφαινόμεθα, τὸν κατὰ καιροὺς ψηφιζόμενον Φιλαδελφείας παραγίνεσθαι σωματικῶς ἐπὶ τὴν βασιλεύουσαν, καὶ λαμβάνειν τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα παρὰ τοῦ κατὰ καιροὺς προϊσταμένου [τοῦ] θρόνου, δεικνύοντα ἐμπράκτως τὴν πρὸς τὸν οἰκουμενικὸν θρόνον προσήκουσαν ὑποταγήν, κἀντεῦθεν ἀπέρχεσθαι πρὸς τὸν αὐτοῦ θρόνον, τιμώμενος παρὰ πάντων καὶ προτιμώμενος, ὡς εἰκόνα φέρων πατριαρχικὴν καὶ χαρακτῆρα ἡμέτερον, καὶ εὐλαβούμενος εἰλικρινῶς ἐν πάσῃ ἀληθείᾳ καὶ φόβῳ Θεοῦ· οὐδενὸς ἐναντιουμένου, ἢ ἀντιλέγοντος τὸ παράπαν, ἱερωμένου ἢ λαϊκοῦ, ἐν ἐπιτιμίῳ φρικτῷ τῷ ἀπὸ Θεοῦ παντοκράτορος. Ἐπὶ τούτοις γὰρ ἀπελύθη καὶ ὁ παρὼν πατριαρχικὸς συνοδικὸς ἐπικυρωτικὸς χρυσόβουλος λόγος, καὶ πέμπεται πρὸς τὸν διαληφθέντα ἡμέτερον ἐπίτροπον καὶ ἔξαρχον πατριαρχικὸν ἱερώτατον, σοφώτατον καὶ λογιώτατον μητροπολίτην Φιλαδελφείας κύριον Ἀθανάσιον Βαλεριανὸν τὸν ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργόν, καταστρωθεὶς ἐν τῷ ἱερῷ κώδηκι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐν ἔτει ἀπὸ θεογονίας χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ πρώτῳ. Ἰνδικτιῶνος δ'.

† **Ἰωαννίκιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης**· † *Ὁ Ἡρακλείας Μεθόδιος*. † *Ὁ Κυζίκου Ἄνθιμος*. † *Ὁ Νικομηδείας Κύριλλος*. † *Ὁ Νικαίας Πορφύριος*. † *Ὁ Ἀδριανουπόλεως Νεόφυτος*. † *Ὁ Φιλιππουπόλεως Γαβριήλ*. † *Ὁ Χίου Παρθένιος*. † *Ὁ Εὐρίπου Δανιήλ*. † *Ὁ Διδυμοτείχου Ἰάκωβος*. † *Ὁ Κασανδρείας Θεοφάνης*. † *Ὁ Τζίας καὶ Θερμιῶν* (οὕτω) *Γερμανός*. † *Ὁ Νεοκαισαρείας Σαμουήλ*.

Σημ. Ἀπὸ τοῦ Ἀρχειοφυλακείου τῆς ἐν Βενετίᾳ ὀρθοδ. ἑλλην. ἀποικίας μεταγραφὲν ἐξεδόθη ὑπὸ Ἰ. Βελούδου· «Χρυσόβουλλα καὶ Γράμματα» κτλ. σελ. 36—42.

ΙΗ΄.

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΒΑΡΔΑΛΕΩΣ

Διονύσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Ἐπειδὴ ἡ Ἀγγελίνα Δημητρίου κατὰ τὴν ἐνορίαν τοῦ ἁγίου Νικολάου τῆς Ἁγίας* στᾶσα ἐνώπιον ἡμῶν ἐπὶ συνόδου, ἀνέφερε μετὰ δακρύων ὅτι, εἰκοστὸν δεύτερον ἔτος τῆς ἡλικίας αὐτῆς τρέχουσα, τριῶν ἀνδρῶν συζυγίας ἐχήρευσε, καὶ ἔμεινε ἄπορος πάντων τῶν ἀναγκαίων ἀνθρώποις μετὰ ὀρφανῶν παίδων δύο τοῦ ὑστέρου αὐτῆς ἀνδρὸς, οὔτε οἰκίαν ἔχουσα, οὔτε ἄλλην τινὰ παραμυθίαν, καὶ ἐζήτει συζυγῆναι ἀνδρὶ νομίμῳ λέγουσα ὡς ὁ πρῶτος λογισθεὶς αὐτῆς ἀνὴρ Ἰωάννης Ντάλος μυλοχαράκτης, λαβὼν αὐτὴν, ἀρξαμένην εὐθὺς τὸ ἑνδέκατον ἔτος τῆς ἡλικίας, καὶ συνοικήσας μετ' αὐτῆς ἀνήβου οὔσης μῆνας ἕξ, εἶτα κλινήρης γεγονὼς μετ' ὀλίγον ἐτελεύτησε, καταλιπὼν αὐτὴν οὔπω φθάσασαν τὸν τῆς ἥβης χρόνον ἤτοι τὸν ἀπαρτισμὸν τῆς δωδεκαετίας καὶ ἄρξασθαι τοῦ δεκάτου τρίτου, καθ' ὃν ἡ ἥβη λογίζεται, μεθ' ὃν φθάσασα εἰς ἡλικίαν ἔλαβε Παναγιώτην ναύτην, κἀκείνου τελευτήσαντος, ἔλαβε Γεώργιον χαλκέα, και τούτου τελευτήσαντος, ἐζήτει συνοικῆσαι τρίτῳ ἀνδρὶ ὡς τοῦ πρώτου μὴ λογιζομένου γάμου νομίμου διὰ τὸ ἄνηβον· ὅθεν τῆς ἡμῶν μετριότητος μάρτυρας ζητησάσης τὸ περὶ τούτου γινώσκοντας, παρέστησαν Ἀθανάσης Ἀδριανοῦ κάπηλος, Δημήτριος Ἰωάννου ῥάπτης, Μανώλης Γεωργίου λεπτουργὸς, καὶ ἐμαρτύρησαν φρικτοῦ καὶ ἀλύτου ἀφορισμοῦ ἐκφωνηθέντος δι' ὠμοφορίου καὶ ἐπιτραχηλίου, οὕτω γινώσκειν, καὶ οὕτως ἔχειν τὴν ἀλήθειαν, μήπω φθασάσης τὸν τῆς ἥβης χρόνον τελευτῆσαι τὸν

* δηλ. τῆς σήμερον τοῦ Τζιβαλίου.

Ἰωάννην Ντάλον, δοθείσης αὐτῷ, διὰ τὸ ὀρφανὴν εἶναι καὶ μὴ ἔχουσαν ποῦ τὴν κεφαλὴν κλῖναι· τούτου χάριν ἡ μετριότης ἡμῶν κατὰ τοὺς θείους καὶ ἱεροὺς νόμους, ἀκυροῦντας τὴν πρὸ τῆς ἥβης συνοίκησιν καὶ κατὰ τὴν αὐτῶν μαρτυρίαν, δέδωκεν αὐτῇ ἄδειαν συζυγῆναι τρίτῳ ἀνδρὶ νομίμῳ, ᾧτινι ἂν βούλοιτο, ὡς οὐδαμῶς λογιζομένου γάμου τοῦ κατὰ τὸν χρόνον τῆς ἀνηβότητος · καὶ εἰς ἔνδειξιν ἐγράφη τὸ παρὸν ἐν τῷ ἱερῷ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Ἐκκλησίας κώδηκι. Ἐν ἔτει αχξγ'. Ἰανουαρίῳ.

Σημ. Τὸ παρὸν γράμμα τοῦ πατριάρχου Διονυσίου τοῦ ἀπὸ Λαρίσσης τοῦ Βάρδαλι, μεταγεγραμμένον ἐστὶν ἀπὸ χειρογράφου τῆς βιβλιοθήκης τοῦ ἐνταῦθα Ἁγιοταφικοῦ Μετοχίου, γεγραμμένου διὰ τῆς αὐτῆς χειρός, δι' ἧς ἐγράφη καὶ ἡ *Νομικὴ Συναγωγή*. Περὶ Διονυσίου τοῦ Βαρδάλεως τοῦ καὶ Σπανοῦ ἐπονομαζομένου βλέπε ἐν *Ἐκκλησιαστικῇ Ἀληθείᾳ*, τόμ. Β', σελ. 601 – 609 διατριβὴν Μ. Ι. Γεδεὼν ὑπὸ τίτλον « Ἀνέκδοτα σημειώματα περὶ τῶν πατριαρχῶν Ἀνθίμου Β', Διονυσίου Γ' καὶ Ἱερεμίου Γ'».

ΙΘ'.

ΠΑΡΘΕΝΙΟΥ ΤΟΥ ΜΟΓΙΛΑΛΟΥ

Παρθένιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ὁσιώτατοι καθηγούμενοι τῶν ἱερῶν καὶ σεβασμίων μοναστηρίων τοῦ ἁγιωνύμου Ὄρους καὶ λοιποὶ πατέρες οἱ ἐν αὐτοῖς συνασκούμενοι· χάρις εἴη ἡμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ. Ἐνταῦθα συνοδικῶς ἀναγνωσθέντος ἐγχειριδίου τινὸς τοῦ παρ' ὑμῶν πεμφθέντος, ἐπὶ διαγνώσει τῶν αὐτόθι, ἐφάνη διαφωνίας ἔχειν ὑμᾶς καὶ ἀμφισβητήσεις: περὶ τοῦ ποῖα εἶναι ἄρα τὰ δεξιὰ τοῦ προσκομιζομένου ἁγίου ἄρτου, ἐν τῇ ἱερᾷ προθέσει, ἐν οἷς δέον τίθεσθαι τὴν θεσπεσίαν μερίδα τῆς Θεοτόκου· καὶ τινὲς μὲν ἐξ ὑμῶν διι-

σχυρίζονται ταῦτα εἶναι τὰ πρὸς τὸ ἀριστερὸν μέρος τοῦ Ἱερέως, ὅπου καὶ τὴν μερίδα τιθέασι, κατὰ τὴν ἀρχαιοπαράδοτον συνήθειαν, ἄλλοι δ' αὖ ἀντιδιατείνονται καὶ τοὔμπαλιν φρονοῦσι, δεξιὰ τοῦ ἁγίου ἄρτου εἶναι λέγοντες τὰ πρὸς τὸ ἅγιον ποτήριον, οἷς καὶ τὴν μερίδα τῆς ἀειπαρθένου καὶ Θεομήτορος ἐνιδρύουσι, κατὰ τὴν ὑστερογενῆ τοῦ Εὐχολογίου ὑποτύπωσιν· κἀντεῦθεν στάσις προβαίνει μεταξὺ τῶν τοιούτων ἀπαρεσκομένων ἀλλήλοις, καὶ ψέγουσιν ἑκατέρους ματαιολογοῦντες, ἀνευλόγως· καὶ γὰρ εἰς οὐδὲν παραλυμαίνονται αἱ τῆς μερίδος διηλλαγμέναι θέσεις τὴν οὐσίαν ἢ τὴν δύναμιν ἢ τὴν ἐνέργειαν τοῦ ζωοποιοῦ μυστηρίου, ἀλλ' ἄμφω δεξιαί τε καὶ φίλαι διαγινώ[σκε]σθαι δύνανται, κατὰ διάφορον θεωρίαν τε καὶ διδασκαλίαν· ἀνθ' ὧν ἔδει μὲν οὖν ὑμᾶς δεξιῶς τὰ δεξιὰ ζητεῖν, ἀλλ' οὐκ ἄναντα καὶ κάταντα φερομένους ἐρεσχελεῖν καὶ μάτην θορυβεῖσθαι· μᾶλλον γὰρ ἁμαρτάνετε διαφερόμενοι ἐν τοῖς οὐ πάνυ διαφόροις λέγοντες καὶ γράφοντες τὰ μὴ προσήκοντα, ἢ τὴν ἱερὰν μερίδα παρ' ἑκάτερ' ἀναμφισβητήτως τιθέμενοι. Ὅθεν διοριστέον τὸ ποιητέον ὑμῖν, κατὰ τὴν ὑμετέραν ἔφεσιν, παραδιδόντες εἰς ὁλοσχερῆ τοῦ σκανδάλου ἐκρίζωσιν, γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, γνώμῃ καὶ τῶν παρευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τοὐντεῦθεν ἅπαντες ἱερουργοῦντες ἐν τοῖς ἱεροῖς αὐτόθι μοναστηρίοις τῇ μὲν ὀψιμαθεῖ τε καὶ ὑστερογενεῖ τῶν νέων Εὐχολογίων ὑποτυπώσει περὶ τῶν δεξιῶν τοῦ ἁγίου ἄρτου οὐδαμῶς προσέχητε· εἰ γὰρ καὶ οὐ πλημμελὴς δοκεῖ, οὐδ' ἐφάμαρτος τοῖς ὁπωσοῦν συνιστᾶν αὐτὴν διισχυριζομένοις, ἀλλ' οὖν ὡς αἰτίαν ἐπιφέρουσα στάσεως καὶ σκανδάλου πεπαύσθω· τῆς δὲ πρεσβυτέρας συνηθείας ἔχησθε καὶ κατὰ τὴν παράδοσιν τὴν προσκομιδὴν ἐκτελῆτε· πᾶν γὰρ τὸ ἀρχαιότητι διαφέρον αἰδέσιμον, κατὰ τὸν οὐρανοφάντορα· ἄλλως τε καὶ συνήθεια μακρῷ χρόνῳ δοκιμασθεῖσα καὶ ὑπὸ πολλῶν δεχθεῖσά τε καὶ στερχθεῖσα ἰσχυρὸν τοῦ νόμου τόπον ἐπέχει καὶ ἀκλινὴς περισώζεσθαι πέφυκεν. Ἀρθήτωσαν τοιγαροῦν ἐκ μέσου ὑμῶν αἱ φιλονεικίαι καὶ συνέλ-

θετε ἀλλήλοις, ἑνοειδῶς ἐκτελοῦντες, κατὰ τὴν πρόπαλαι συνήθειαν, τὴν ἱερὰν προσκομιδήν, ὡς διείληπται, μετὰ τῆς ἐν Χριστῷ ἀστασιάστου ἀγάπης καὶ πνευματικῆς διαθέσεως, μηδενὸς τολμήσαντος ἄλλως ποιῆσαι, παρ' ὃ γράφομεν, καὶ παρακοῦσαι, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀλύτου ἀφορισμοῦ καὶ αἰωνίου τοῦ ἀπὸ Θεοῦ Παντοκράτορος. Οὕτω γενέσθω ἐξ ἀποφάσεως, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις εἴη μετὰ πάντων ὑμῶν.

ᾳχξζ'. Ἐν μηνὶ μαΐῳ. Ἰνδικτιῶνος ε'.

† ὁ Νικομηδείας Μεθόδιος.—† ὁ Ἡρακλείας Ματθαῖος,—† ὁ Κυζίκου Μητροφάνης.—† ὁ Χαλκηδόνος Γαβριήλ.—† ὁ πρόεδρος Χίου Ἰγνάτιος. † ὁ Παροναξίας Θεοφάνης.—† ὁ Μελενίκου Ζαχαρίας, -† ὁ Δέρκων Χρύσανθος.—† ὁ Ναυπλίου Γεράσιμος.—† ὁ Μαρωνείας Ἀνανίας.—† ὁ Χαλδείας Γερμανός.

Σημ. Ἡ παροῦσα λύσις τοῦ πατριάρχου Παρθενίου Μογγιλάλου τοῦ ἀπὸ Προύσης μεταγραφεῖσα ἐξ ἰδιωτικοῦ χειρογράφου Νομοκάνονος, εὑρισκομένου ἐν τῇ ἐν Ἁγίῳ Ὄρει Ἄθῳ ἱερᾷ μονῇ τοῦ Παντοκράτορος ἐξεδόθη τὸ πρῶτον ἐν τῇ *Ἐκκλησιαστ. Ἀληθείᾳ* τόμ. Γ', σελ. 598 ἐν διατριβῇ: «Ἑτεροδιδασκαλίαι ἐν τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως» κλπ. ὑπὸ Μ. Ἰ. Γεδεών.

Κ'.

ΙΑΚΩΒΟΥ ΤΟΥ ΑΠΟ ΛΑΡΙΣΣΗΣ

† Ὁσιώτατοι ἱερομόναχοι, οἱ ψάλλοντες ἐν τῷ ναῷ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὸν Γαλατᾶν, τῷ ἐπονομαζομένῳ τοῦ Κρεμαστοῦ, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ. Ἐπιτιμήσατε τῇ Ραλήτζᾳ, γυναικὶ τοῦ ποτε Ἰωαννάκη, δοῦναι τὴν ἐλευθερίαν τῆς Ἄννας, σκλάβας τοῦ ποτὲ ἀνδρὸς αὐτῆς, διαληφθέντος Ἰωαννάκη· ἐπειδὴ καὶ ἐκεῖνος τοιαύτην δίαιταν καὶ παραγγελίαν ἀφῆκεν ἐνώπιόν τινων χριστιανῶν καὶ μάλιστα χρό-

νους τριάκοντα δουλεύσασα ἐκείνῳ. Οὕτω ἐπιτιμήσατε αὐτῇ ποιῆσαι ἀπροφασίστως ἢ ἐλθεῖν μετ' αὐτῆς ἐπὶ συνόδου καὶ ἀπολογηθῆναι αὐτῇ ἐξ ἀποφάσεως· ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη ὑμῖν.

,αχπα'. αὐγούστου κδ'.

† Ὁ Κωνσταντινουπόλεως.

Σημ. Τὸ γράμμα τοῦτο τοῦ Ἰακώβου ἐξήχθη ἐκ τῶν Ἀρχείων τοῦ ἐνταῦθα μοναστηρίου Saint Louis καὶ ἐδόθη ἡμῖν ὑπὸ τοῦ ἐλλογίμου κ. André Leval, ὅστις καὶ ἀναγραφὴν τῶν ἐν τοῖς ἀρχείοις τούτοις ἑλληνικῶν ἐγγράφων ἐξέδωκε πρὸ διετίας ἐν τῇ τῶν Παρισίων Revue Archéologique.

ΚΑ'.

ΤΟΥ ΑΥΤΟΥ ΙΑΚΩΒΟΥ

Ἰάκωβος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Ἐπειδὴ ὁ Δῆμος τοῦ Κατζικὰ, ἀπὸ Νεοχωρίου τοῦ καλουμένου Γκοστριάδα, τῆς ἐπισκοπῆς Λιτζᾶς καὶ Ἀγράφων, παραστὰς ἐπὶ συνόδου ἀνήγγειλεν ἡμῖν ὡς ἔλαβε πρώτην γυναῖκα Κοντῆλον ὀνόματι τῆς Ἀρχόντως ἄνηβον οὖσαν, καὶ τὸν ἔννατον χρόνον τῆς ἡλικίας ἄγουσαν, καὶ τούτου ἀποδημοῦντος, πρὸ τοῦ φθάσαι εἰς τὸν ἑνδέκατον χρόνον ἐτελεύτησε, μηδεμίαν συνάφειαν γαμικὴν γνοῦσαν μετ' αὐτοῦ διὰ τὴν ἀνηβότητα, καὶ τὸ ἀνεπίδεκτον τῆς ἀνδρικῆς ὁμιλίας· μεθ' ἣν ἔλαβε δευτέραν γυναῖκα, τὴν Στάμων τοῦ Παναγιώτη ἀπὸ τοῦ αὐτοῦ χωρίου, κἀκείνης τὸ ζῆν μετ' ὀλίγον ἀποβαλούσης, ἔλαβε καὶ ἑτέραν τρίτην λογιζομένην, τὴν Μάρων τοῦ Κατζάμπου Ρίζου, ἀπὸ ἁγίας Τριάδος· ἀπέθανε μὲν οὖν καὶ αὕτη ἡ τελευταία γυνὴ, καὶ ἐζήτησεν εἰ δυνατόν ἐστι λαβεῖν ἑτέραν γυναῖκα διὰ τὸ ἄκυρον τοῦ ἀνήβου τοῦ πρώτου συνοικεσίου· ἧς ὑποθέσεως συνοδικῶς θεωρηθείσης ἐν ἀκριβείᾳ, καὶ πολλαχῶς ἐξετασθείσης, ἔγνωσται, διὰ τὸ εἶναι αὐτὸν νέον ἔτι,

ἐὰν μαρτυρηθῇ ἡ ἀνηβότης, ἀκυρωθῆναι μὲν τὸ ἄνηβον ἐκεῖνο, δοθῆναι δὲ ἄδειαν αὐτῷ λαβεῖν ἑτέραν γυναῖκα· διὸ ἀπαιτηθεὶς παρέστησε μάρτυρας τὸν Γεώργιον τοῦ Ἰωάννου, καὶ Δῆμον τοῦ Στάθη, νεωχωρίτας καὶ τοὺς δύο, οἵτινες ἐμαρτύρησαν οὕτως ἔχειν τὴν ἀλήθειαν, ὡς ἄνηβον ἐστεφανώθη τὴν Κοντῆλον καὶ ἄνηβος ἀπέθανεν ἐκείνη πρὸ τῆς συμπληρώσεως τοῦ ἑνδεκάτου χρόνου τῆς ἡλικίας, μεθ' ἣν μαρτυρίαν δι' ἡμετέρας πατριαρχικῆς ἀδείας καὶ προτροπῆς, ἐπέμφθη ὁ ἱερώτατος μητροπολίτης Μαρωνείας κὺρ Ἀνανίας ἔνδον τοῦ πατριαρχικοῦ ναοῦ, καὶ δι' ὠμοφορίου καὶ ἐπιτραχηλίου ἐκφωνήσας φρικτὸν ἄλυτον ἀφορισμὸν κατ' αὐτοῦ τοῦ Δήμου καὶ τῶν εἰρημένων μαρτύρων, ὅπως ψευδῶς μὴ πλάττωσι τὴν ὑπόθεσιν, καὶ μὴ ἀντ' ἄλλων ἄλλα μαρτυρῶσιν οἱ μάρτυρες, καταλεπτῶς διεξῆλθε τὰς περιστάσεις, καὶ ἐλύθη πᾶσα ἀμφιβολία καὶ ὑποψία, παρόντων πολλῶν, τῶν τε πατριαρχικῶν ἐφημερίων, τοῦ ἀρχιμανδρίτου Γαβριὴλ δηλαδή, καὶ ἄλλου ἱερομονάχου Γαβριήλ, καὶ παπᾶ Νικολάου, καὶ ἀπὸ τῶν λαϊκῶν, Δημητρίου τοῦ Ἀθανασίου, Δήμου τοῦ Ῥούσου, Κότζη τοῦ Προΐκου, Φραγγούλη τοῦ Ῥίζου, Γεωργίου τοῦ Ἰωάννου, καὶ Δήμου τοῦ Εὐσταθίου· τούτου χάριν ὡς ἀνυπόστατον λογισθέν, κατὰ νόμους, τὸ πρῶτον ἐκεῖνο συνοικέσιον, διὰ τὴν ἀνηβότητα, γράφομεν ἵνα ὑπάρχῃ ἄκυρον καὶ ὡς μηδὲ γεγονὸς λογιζόμενον· ὁ δὲ Δῆμος αὐτὸς ἔχῃ ἄδειαν λαβεῖν ἑτέραν γυναῖκα, καὶ στεφανωθῆναι ἐκείνην εἰς τρίτον στέφανον, ἀναντιρρήτως καὶ ἀνεμποδίστως. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἀδείας γράμμα, καὶ κατεστρώθη ἐν τῷ τῆς Μεγάλης Ἐκκλησίας κώδηκι. ͵αχπγ΄.

Σημ. Ἡ διάταξις αὕτη τοῦ πατριάρχου Ἰακώβου μεταγεγραμμένη ἐστὶν ἀφ' οὗ χειρογράφου μετεγράφη καὶ τὸ ὑπ' ἀριθμὸν ΙΗ΄ γράμμα τοῦ Διονυσίου Βαρδάλεως (σελ. 55—56), ἐκδίδομεν δ' αὐτὴν ἐνταῦθα καθὸ χορηγοῦσαν ἡμῖν εἰδήσεις περὶ τῆς ἐκδικάσεως ὁμοίων ὑποθέσεων. Παρόμοιον γράμμα ἔχομεν ἐκδεδομένον ἀπὸ 30 σεπτεμβρίου 1676 ὑπὸ τοῦ ἀπὸ Λαρίσσης οἰκουμενικοῦ πατριάρχου Διονυσίου τοῦ Μουσελίμη.

ΚΒ΄.

ΚΑΛΛΙΝΙΚΟΥ ΤΟΥ ΑΚΑΡΝΑΝΟΣ

Προσημ. Τῆς διατάξεως ταύτης τοῦ πατριάρχου Καλλινίκου τοῦ Ἀκαρνᾶνος ἐκδεδομένης ἐν τῷ Συνταγματίῳ τοῦ ἀειμνήστου Χρυσάνθου Ἱεροσολύμων (ἔκδ. Β΄, 1778, σελ. 52 —53) ὑποσημαίνομεν τὰς τῆς γραφῆς διαφοράς.

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Οὐ δεῖται λόγων ἰσχυρῶν τὸ αὐτομάτως ἰσχύον πρᾶγμα, καὶ μονονουχὶ φωνὴν ἀφιέμενον τῆς οἰκείας φύσεως φιλοῦν πάντως ποιεῖσθαι τὸν ἔλεγχον. Ἔνθεν τοι καὶ περὶ τοῦ προκειμένου ζητήματος περιττὸν ἂν εἴη μακρηγορεῖν, σαφεστάτου καὶ πάνυ τοῦ ζητήματος τυγχάνοντος. Ἐζητήθη γὰρ παρά τινων πόσοι ἂν εἶεν ἄρα θρόνοι πατριαρχικοὶ ἐν τῷ σεπτῷ τῆς Ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἱεραρχικῷ τάγματι, καὶ πόσοι οἱ ἐν αὐτοῖς διαπρέποντες, ἰδικῶς πατριάρχαι κέκληνται, καὶ πατριαρχικῆς ἀξίας ἅμα καὶ ὀνομασίας ἀπολαμβάνουσιν, οἷς ἐν συντόμῳ φαμὲν δεῖ γινώσκειν ὡς ἄνωθεν μὲν τέσσαρες πατριάρχαι καὶ ἦσαν καὶ ἐλέγοντο*· ὁ τῆς Κωνσταντινουπόλεως δηλαδὴ, καὶ ὁ τῆς Ἀλεξανδρείας, καὶ ὁ τῆς Ἀντιοχείας, καὶ ὁ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, τῶν ἁγιωτάτων πατριαρχικῶν ἀποστολικῶν φημὶ θρόνων, ὥσπερ ἐκ τῶν ἱερῶν κανόνων τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων, καὶ τῶν

* Ἐντεῦθεν, κατὰ τὸ Συνταγμάτιον, ἐν παρενθέσει φέρονται ταῦτα: ἐξαιρουμένου τό γε νῦν τοῦ ἐπισκόπου τῆς πρεσβυτέρας Ρώμης· καὶ οὗτος γὰρ πατριάρχης καὶ ἦν καὶ ἐλέγετο τὸ πάλαι, ὡς ἔστι δῆλον καὶ ἐξ ἄλλων πολλῶν, ἀλλὰ σαφέστερον ἐκ τῆς ρκγ΄ Νεαρᾶς τοῦ Ἰουστινιανοῦ οὕτω διαλαμβανούσης, τοὺς μὲν μακαριωτάτους ἀρχιεπισκόπους καὶ πατριάρχας, τουτέστι τῆς πρεσβυτέρας Ρώμης, καὶ Κωνσταντινουπόλεως, καὶ Ἀλεξανδρείας, καὶ Θεουπόλεως, καὶ Ἱεροσολύμων, ὁ τῆς Κωνστ . . . κ.τ.λ.

θείων νόμων, καὶ βασιλικῶν θεσπισμάτων καὶ νεαρῶν, ἐναργῶς περὶ τούτων καὶ διακεκριμένως διαλαμβανόντων ἀσφαλῶς μανθάνομεν, καὶ τῆς παραδεδομένης ἐκ τοῦ πάλαι ἀρχαίου καὶ διενεργούσης οὐκ ἔλαττον ἀεὶ πράξεως ἐν τῇ καθόλου τοῦ Χριστοῦ Ἐκκλησίᾳ· πρὸς τούτοις δ' ἐν ὑστέροις καὶ πέμπτος πατριάρχης κατέστη, συνοδικῇ διαγνώσει κανονικῶς, ὁ τῆς Μοσχοβίας, οἵτινες μέχρι τοῦ νῦν, Θεοῦ κρατύνοντος, καὶ διατελοῦσι πατριάρχαι γνήσιοι, καὶ ὀνομάζονται, καὶ γινώσκονται, καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην διαφημίζονται, καὶ ἐν τοῖς ἱεροῖς διπτύχοις παρρησίᾳ μόνοι αὐτοὶ μνημονεύονται. Τούτων δ' ἐκτὸς τῶν πέντε πατριαρχῶν οὔτε ὑπάρχει, οὔτε λέγεται ἄλλος πατριάρχης· τοὺς δ' αὐτονόμους ἀρχιεπισκόπους, οἵτινές εἰσιν ὁ Ἀχριδῶν, καὶ ὁ Κύπρου, καὶ ὁ τῆς Ἰβηρίας*, καὶ ὁ Πεκίου κατὰ διαφόρους καιρούς, ἐπ' αἰτίαις** τισὶ φιλοτιμήσαντα πῇ μὲν βασιλέων σπουδάσματα πῇ δὲ καὶ συνοδικαὶ διασκέψεις, ἰδίαις ἀρεσκείαις, ἁπλῶς τοὺς τοιούτους ἀρχιεπισκόπους ἐποίησαν καὶ ὠνόμασαν, καὶ τοῦτο μόνον ἔχουσιν ὄνομα καὶ οὕτω λέγονται, καὶ οὕτω γράφονται, δηλονότι ἀρχιεπίσκοποι· τῆς δὲ πατριαρχικῆς ὀνομασίας ξένοι παντελῶς ὑπάρχουσι καὶ ἀμέτοχοι, καὶ μήτε ἐν τοῖς διπτύχοις ἔχουσι χώραν, μήτε τῷ πατριαρχικῷ καταλόγῳ συντάσσονται· δι' ὅπερ εἴ τις ἐξ αὐτῶν, φρεναπατῶν ἑαυτὸν δοξοκοποῦντι λογισμῷ, ἐπιχειρήσῃ ποτὲ ἢ ἐξ ἰδίας δυνάμεως, ἢ ὑπὸ ἄλλης τινὸς ἀνισχύρου ἐγγράφου ἢ ἀγράφου αἰτίας, (ἀνίσχυρα γὰρ ὅλως τὰ μὴ στερχθέντα καὶ κανονισθέντα παρὰ τῶν οἰκουμενικῶν συνόδων) διαπλάσασθαι ψευδωνυμίαν πατριαρχικήν, ἔξω τῶν κειμένων ὅρων καὶ κανόνων καὶ νόμων, καὶ ἑαυτὸν πατριάρχην ὀνομάσαι παρ' ἀξίαν καὶ τάξιν, ἀναιδῶς καὶ ἀνερυθριάστως, διακένῳ φυσούμενος καὶ φαυλεπιπλάστῳ ὀνόματι, ὅπερ ἄντικρυς οὐ στερρᾶς, ἀλλὰ πεπλανημένης, συμπεφυρμένης τε διανοίας καὶ εὐηθείας ἐστὶ γνώ-

* καὶ οἱ τῆς Ἰβηρίας δύο, τῆς κάτω καὶ τῆς ἄνω, καὶ ὁ Πεκ . . . κ.τ.λ.

** ἐπ' ἀδείαις τισὶ

ρισμα, πάντως ὁ τοιοῦτος, ὡς ἔξω τῶν ὅρων ἐκπίπτων καὶ νεωτερίζειν κατατολμῶν, καὶ φιλονεικείας καὶ ἔριδας διεγείρων, καὶ διόλου παρανομῶν, ταῖς ἐκκλησιαστικαῖς εὐθύναις ὑποδικός ἐστι, καὶ τὰς ἀνηκούσας τοῖς παρανόμοις ἐκκλησιαστικὰς καὶ συνοδικὰς ποινὰς ἀποφυγεῖν οὐ δυνήσεται· « ἐν ᾧ γὰρ ἕκαστος ἐκλήθη ἐν τούτῳ καὶ μένειν ὀφείλει»· καὶ « μὴ μεταίρειν ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες αὐτοῦ »· ὅπου γάρ εἰσι νενομοθετημένα καὶ διωρισμένα τετυπωμένα τὰ πράγματα, κοιναῖς καὶ πεπαρρησιασμέναις* νομοθεσίαις πατρικαῖς τε καὶ συνοδικαῖς, μετὰ διηκριβωμένης ἀκριβείας τοῖς κανονίσμασιν, οὐ δύναταί τις ἄλλος παρὰ τὰ τετυπωμένα εἰπεῖν, ἢ γράψαι, ἢ προφασισθῆναι** σαθραῖς προφάσεσι. Τούτων οὖν οὕτως ἐχόντων, γράφομεν καὶ ἀποφαινόμεθα μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὅστις τῶν πάντων τολμήσῃ ποτε πατριάρχην ὀνομάσαι τινὰ τῶν διαληφθέντων ἀρχιεπισκόπων, ἢ ἐπιγράψαι πατριάρχην ἐκεῖνον, ἢ παρ' ἐκείνου γραφεῖσαν στέρξαι καὶ ἀποδεχθῆναι τὴν τοιαύτην ψευδωνυμίαν, καὶ συγκατανεῦσαι τῇ παρανομίᾳ ὁ τοιοῦτος ὡς παρήκοος τῆς ἐκκλησιαστικῆς ἐπιταγῆς καὶ παραβάτης τῶν θείων νόμων καὶ τὴν πρεσβυγένειαν τῆς ἐκκλησιαστικῆς τάξεως καὶ καταστάσεως συγχέων καὶ συνταράττων, καὶ σκανδάλων πρόξενος καθιστάμενος, ἀφωρισμένος εἴη παρὰ Θεοῦ Κυρίου παντοκράτορος καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον, αἱ πέτραι καὶ ὁ σίδηρος λυθήσονται, αὐτὸς δὲ οὐδαμῶς, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα, καὶ ταῖς πατρικαῖς καὶ συνο·

* καὶ πεπυκνωμέναις νομοθ . . . κ.τ.λ.

** ὁ Χρύσανθος ἰδοὺ τί γράφει περὶ τῆς ἐκδόσεως τῆς διατάξεως ταύτης: «τὸ αὐτὸ ἐβεβαιώθη καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις μὲ διάγνωσιν συνοδικὴν, ἐπὶ τῶν ἡμερῶν τοῦ παναγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κὺρ Καλλινίκου, μὲ τὸ νὰ ἐφημίζετο πατριάρχης εἰς τὴν μικρὰν Ρωσίαν καὶ Καζακίαν λεγομένην κάποιος πρώην ἀρχιεπίσκοπος Ἀχριδῶν Μελέτιος λεγόμενος ». Ἡ διάταξις μένει παρὰ Χρυσάνθῳ ἀχρονολόγητος.

δικαῖς ἀραῖς ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν καὶ προφανῆ τούτου σαφήνειαν καὶ παράστασιν, ἀπελύθη καὶ τὸ παρὸν συνοδικὸν ἡμῶν γράμμα. ͵αχγγ΄. ἐν μηνὶ ἀπριλίῳ. Ἰνδικτιῶνος α΄.

Σημ. Μετεγράφη ἡ διάταξις ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου, κτήματος ὄντος ἄλλοτε τοῦ πατριάρχου Γρηγορίου ϛ΄ (σελ. 563—564).

ΚΓ΄.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

«Γράμμα συνοδικὸν δοθὲν τῷ Ἱεροσολύμων κυρίῳ Δοσιθέῳ, ὅπως μηδέποτε ἐν οὐδεμιᾷ προφάσει δύνηται ὁ οἰκουμενικὸς πατριάρχης ἀπαιτεῖν δικαιωματικῶς πολὺ ἢ ὀλίγον, λόγῳ χρηματικῆς βοηθείας, ἢ οἱασδήποτε ἄλλης ἀφορμῆς, παρὰ τῶν αὐτονόμων ἐκκλησιῶν, τουτέστι τῶν πατριαρχικῶν καὶ ἀρχιεπισκοπικῶν θρόνων».

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Καθάπερ ἄστροις τοῖς τε μείζοσι τοῖς τ᾿ ἐλάττοσι διαυγάζει τὰ οὐράνια σώματα τὴν οἰκουμένην ἅπασαν, καὶ τὰς ἐν αὐτῇ γεννέσεις ἀπεργάζεται καὶ μέχρι τῶν ἐνδοτάτω γῆς, ὅθεν ἄρουραι ποικῖλον ἀμητὸν ἀποφέρουσι, δένδρα καὶ φυτὰ παντοδαποὺς καρποὺς, καὶ σπέρματα φύουσιν εἴς τε τροφὴν ζώων, εἴς τε νοσημάτων ἀπαλλαγὴν, καὶ ὑγιείας ἀσφάλειαν· ὅθεν ζώων ἀριθμοῦ κρείττω παντὸς εἴδη· ὅθεν μετάλλων ὡραιότης, καὶ λίθων βαρυτίμων ἀγλαΐα καὶ κάλλος, καὶ ἵνα μὴ καθέκαστον ἰοῦσιν ὁ λόγος μηκύνηται, καὶ πάμπολλα τοῖς ἀνθρώποις ἀπορρεῖ καλὰ κἀγαθά· καὶ αἰνοῦμεν τὸ θεῖον τοῖς λόγοις, οὐχ ἧττον ἡμεῖς, ἢ τὰ πάντα διηγεῖται τὴν δόξαν αὐτοῦ.

Οὕτω τοι καὶ κατὰ τὴν ἁπανταχοῦ ἁγίαν Ἐκκλησίαν φωταγωγοῦσι τὸν χριστώνυμον λαὸν οἱ ἐπίσκοποι παραπλησίως τοῖς ἐλάσσοσιν ἄστροις, ὑπερανίσχει δὲ ὁ τῶν μητροπολιτῶν ἱερώτατος χορὸς, καὶ ὑπὲρ αὐτὸν αἴρεται ἡ σεβασμία τριὰς τῶν ἀρχιεπισκόπων Ἀχριδῶν, Κύπρου καὶ Πεκίου· ὑπερανέστηκε δὲ πάντων ἡ θεοπρόβλητος τετρὰς τῶν πατριαρχῶν Κωνσταντινουπόλεως, καὶ Ἀλεξανδρείας, καὶ Ἀντιοχείας, καὶ Ἱεροσολύμων, τοῖς φωτεινοτάτοις ἄστροις ἐοικυῖα, καὶ ταῖς ἀκτῖσι περιθάλπουσα τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν, καὶ δῆτα, τῇ διαφορᾷ καὶ ποικιλίᾳ τῶν βαθμῶν, αὕτη ἡ θεόθεν εὐθετηθεῖσα εὐταξία καὶ εὐπρέπεια διαλάμπει, μηδαμῶς δ' ἐκ τῆς διαλλαγῆς ταύτης διασπᾶται ἡ τῆς Ἐκκλησίας ἕνωσις, οὔτε ἐκ τῆς συναφείας αὖ πάλιν συμφύρεται ἡ μεταξὺ διάκρισις· ἀλλ' οἱ μὲν ἀνωτάτω κείμενοι θρόνοι, καὶ αἱ μετ' αὐτοὺς ἀνέκαθεν τιμηθεῖσαι ἀρχιεπισκοπαὶ σὺν τοῖς ὑποκειμένοις ἀρχιερεῦσιν αὐτονομούμενοι συμπεριφέρονται τῇ ἰδίᾳ σφαίρᾳ τῆς κατ' αὐτοὺς διοικήσεως, τηροῦντα κατὰ πάντα τὸ ἀκέραιον καὶ ἀσύγχυτον, τῇ δὲ συμφυΐᾳ τοῦ τρόπου καὶ τῇ συμπνοίᾳ τῆς γνώμης πάλιν ἑνοῦνται, οὔτε εἰς ἀλλότρια ἐμβατεύοντες ὅρια, οὔτε διαλογιζόμενοι καὶ διαιρούμενοι, καὶ τῇ ἀμιγεῖ διακρίσει τῆς πρεπούσης τούτων ἑκάστῳ διοικήσεως τῆς τε πνευματικῆς καὶ ἀενάου, τῆς τε οἰκονομικῆς καὶ προσφάτου. Ὅθεν μυστηρίων κοινωνία, καὶ μετάδοσις, καὶ χάρις. Ὅθεν διδαχαὶ, καὶ ἀκολουθίαι ἱερωσύνης, καὶ ἐπισκοπῆς. Ὅθεν εὐχαὶ καὶ εὐλογίαι τοῖς εὐσεβέσιν ἀναχέονται, αἱρέσεων δὲ, καὶ ἀλλοτρίων δογμάτων ἐπιβουλαὶ ῥιζοτομοῦνται, εἰς δόξαν τῆς ἁγίας Τριάδος, τοῦ ἑνὸς καὶ μόνου Θεοῦ, καὶ τοῦτο δεδιδάγμεθα τοῖς θεοπνεύστοις κανόσι τῶν οἰκουμενικῶν καὶ τοπικῶν συνόδων, καὶ τοῦτ' αὐτὸ μεμαθήκαμεν ἐκ τῶν ἱερῶν λογίων τῶν θεοφόρων πατέρων καὶ διδασκάλων τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ τοῦτο πρεσβεύομεν ἡμεῖς τε, καὶ πάντας παραινούμεθα τηρεῖν ἐς ἀεὶ καὶ διαφυλάττειν ἀπαρασάλευτα τὰ πρε-

σβεῖα τῶν Ἐκκλησιῶν. Καὶ νῦν ἐπειδὴ τινὲς μὲν μαθηταὶ τοῦ σατανᾶ, οὓς αἰσχυνόμεθα ὀνομαστὶ λέγειν, λαβὴν εὑρόντες τὴν κατὰ κτῆσιν τῶν ἐξωτερικῶν ὀφφικίων πώλησιν, ἣν μαλικιανὲ φράζουσιν, ἐτόλμησαν, εἰς τοῦτ' αὐτὸ, διασῦραι τὰς ἁπανταχοῦ Ἐκκλησίας, ὥστε καὶ αὐτὰς μηδὲν ἧττον τῶν ἐξωτερικῶν μουκατάδων πωληθῆναι τοῖς πλείονα παρέχουσι καὶ, ὑποσχόμενοι πληρῶσαι χρημάτων ὑπερβάλλουσαν, μονονοὺ συνηρπάσαντο τὴν γνώμην καὶ συναίνεσιν τῶν ἐξουσιαστῶν, ἡμεῖς τῇ ἐξ ὕψους εὐμενείᾳ τεθαρρηκότες προσεδράμομεν καὶ τῇ διασαφήσει τῆς σατανικῆς ἐξωλείας ἀπεσείσαμεν τὸν κοινὸν ὄλεθρον, καὶ συνελθόντες ἄρ' οὖν ἥ τε ἡμετέρα μετριότης, καὶ ὁ μακαριώτατος καὶ σοφώτατος πατριάρχης Ἱεροσολύμων κύριος Δοσίθεος, καὶ οἱ παρατυχόντες ἐν Ἀδριανουπόλει ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι, τιμιώτατοι καὶ λογιώτατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐντιμότατοι ἄρχοντες, ὡς κατ' οὐδένα τρόπον δυνάμεθα ἀπαντῆσαι μόνοι τῷ μεγέθει τῶν ἐξ ἀνάγκης κοινῆς καὶ ἐπηρείας καὶ συμφορᾶς πασιδήλου τῶν ἁπανταχοῦ Ἐκκλησιῶν γενομένων ἀναλωμάτων εἰς ἀπαλλαγὴν αὐτῆς, εὕρομεν εὔλογον ὅπως ἡμεῖς μὲν ὑποστῶμεν ὅλον τὸ ἄχθος σχεδὸν τῆς δαπάνης, βοηθήσωσι δὲ ἐπὶ μέρους καὶ οἱ λοιποὶ πατριαρχικοὶ θρόνοι, καὶ αἱ αὐτόνομοι ἐπισκοπαὶ, ἵνα τὸ ἐπιδήλως κοινὸν κακὸν κοινοῖς βοηθήμασιν εἴη ἀποτετμημένον, καθὼς ἐν ἰδίοις γράμμασι δεδήλωται. Ἵνα δὲ μὴ εἰς παράδειγμα γένηται ἡ ἐξ ἀνάγκης αὕτη γεγονυῖα συνδρομὴ καὶ λαβὴν ἔχῃ τις τῶν μεταγενεστέρων οἰκουμενικῶν πατριαρχῶν, τῷ ἅπαξ διὰ κοινὴν θεραπείαν γεγονότι παραχρώμενος καὶ εἰς ἰδίαν πλεονεξίαν αὐτὸ παρεξηγούμενος, ὑπαίτησιν ἢ μικρὰν ἢ μεγάλην, ἢ λόγῳ βοηθείας, ἢ ἄλλῃ τινὶ προφάσει καὶ ἀφορμῇ ποιῆσαι πρὸς τοὺς αὐτονόμους εἴτε πατριαρχικοὺς θρόνους εἴτε ἀρχιεπισκοπικὰς καθέδρας, γνώμῃ κοινῇ συνοδικῶς ἀποφαινόμεθα, ἵνα εἴ τις τολμήσῃ τὸ λοιπὸν, ὁποίαν δήποτε σκέψιν προτεινόμενος, χρημά-

των ἀπαιτήσει καταπατῆσαι τὰ ἀνέκαθεν πρεσβεῖα καὶ τὴν ἀκαταζήτητον ἐλευθερίαν τῶν λοιπῶν ἁγίων Ἐκκλησιῶν, καὶ εἴ τις συντρέξῃ καὶ βοηθήσῃ εἰς τὸ παράνομον τοῦτο ἔργον ἱερωμένος ἢ λαϊκός, εἴησαν πάντες ὁμοῦ ἀφωρισμένοι παρὰ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ κατηραμένοι, καὶ ἀσυγχώρητοι, καὶ ἄλυτοι μετὰ θάνατον, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι, καὶ ἔνοχοι τοῦ πυρὸς τῆς γεένης· διὸ ἐγράφη αὕτη ἡ συνοδικὴ ἀπόφασις, καὶ ἐδόθη εἰς χεῖρας τοῦ μακαριωτάτου καὶ σοφωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Δοσιθέου, καταστρωθεῖσα καὶ ἐν τῷ ἱερῷ τῷδε κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, εἰς ἔνδειξιν καὶ ἀσφάλειαν.

͵αχγζ'. Ἐν μηνὶ μαΐῳ. Ἰνδικτιῶνος ε'.

Σημ. Τὸ γράμμα μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου (σελ. 572—573).

ΚΔ'.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Περὶ στολισμοῦ γυναικῶν.

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Τὰ καλῶς καὶ προνοητικῶς, διὰ κοινὴν ὠφέλειαν τῶν πιστῶν, οἰκοδομὴν καὶ σύστασιν παρά τινων πραττόμενα, καὶ γραφόμενα, δι' ὧν ἀποδιοπομπεῖται καὶ ἀποσοβεῖται πᾶσα κακὴ καὶ ἐπιβλαβὴς ἀκαταστασία καὶ ἀνωμαλία, κάλλιστά εἰσιν ἀναντιρρήτως καὶ ἐπαινετὰ καὶ συναπόδεκτα καὶ ἄξια τιμῆς καὶ στερρᾶς βεβαιώσεως, ὡς Θεῷ καὶ ἀνθρώποις ἀρεστά· διὸ καὶ κατὰ χρέος ὀφείλουσιν ἅπαντες ἀποδέχεσθαι ταῦτα, καὶ περιχαρῶς ἐν-

στερνίζεσθαι, καὶ δι' ὑπερκειμένης δυνάμεως ἐπικυροῦν ἀπαραιτήτως καὶ στερεοῦν πρὸς ἀσφαλεστάτην διαμονὴν καὶ συντήρησιν. Ἐπειδὴ τοιγαροῦν ἤδη καὶ ὁ ἀρχιερεὺς ὑμῶν ἱερώτατος (κτλ.) παρέστησεν ἡμῖν συνοδικῶς ἔγγραφόν τινα διάταξιν συστατικήν, ἥνπερ μετὰ κοινῆς βουλῆς ὑμῶν καὶ γνώμης, κληρικῶν δηλαδὴ καὶ ἀρχόντων τῆς πολιτείας καὶ λοιπῶν χριστιανῶν συνεστήσατε διὰ κοινὸν συμφέρον καὶ μάλιστα σύστασιν καὶ στερέωσιν τοῦ προγεγονότος γράμματος, τοῦ διορίζοντος τὴν ποσότητα τῆς προικοδοσίας, καὶ ἀνατρέποντος τὴν ὑπερβολὴν τῶν ὑπὲρ δύναμιν ἀμέτρων προικῶν· τούτου γὰρ χωρὶς οὐδὲ ἐκεῖνο στερέωσιν λαβεῖν δύναται· ἔστι δὲ τὸ παρόν, συστέλλον ἐν οἰκονομίᾳ προνοητικῇ τὸν ὑπερβολικὸν στολισμὸν τῶν αὐτόθι γυναικῶν, καὶ διορίζον μετριότητά τινα ἐν ταῖς τοιαύταις στολαῖς, ὅπως κοινῶς ἐν πάσαις γυναιξὶ τοῦ τοιούτου μετρίου κοσμήματος φερομένου, ἀρθῇ ἐκ μέσου πᾶσα ἐρίθεια, καὶ ζῆλος, καὶ ἔρις δεινή, ἐξ ὧν ἀναρίθμητα συρρέει κακά, πρόξενα μυρίων ἀτοπημάτων, τὰ ὡς ἀληθῶς ἀσχημονοῦντα καὶ ἀμαυροῦντα τὸν τοιοῦτον στολισμὸν καὶ τὴν φαινομένην κατὰ τὸ δοκοῦν εὐκοσμίαν εἰς ἀκοσμίαν σκοτεινὴν τῷόντι καὶ ῥυπαρὰν ἀντιπεριάγοντα διὰ τὰ ὅσα τῶν ἀτοπημάτων σωρηδὸν ὁ τοιοῦτος στολισμὸς ἐπιφέρειν πέφυκε. Διετάχθη δὲ ἡ διωρισμένη στολὴ οὑτωσί: Πᾶσαι, φησίν, αἱ γυναῖκες, ὁμοίως ὑπανδρευμέναι καὶ ἐλεύθεραι, ἐντόπιαι καὶ ξέναι, φέρωσιν ἐν ἑαυταῖς λόγῳ στολισμοῦ μόνον ἓν ζευγάριον σκουλαρίκια, καὶ τραχηλίαν μίαν, καὶ δακτυλίδιον ἕν, ἄλλο δὲ περισσότερον τούτων μὴ ἔχωσιν ἄδειαν καὶ ἐξουσίαν φέρειν καὶ στολίζεσθαι πέραν τούτων τῶν διατεταγμένων ὁλοτελῶς, εἰ μὴ μόνη νεόνυμφος γυνή, ἥτις ἐν καιρῷ τοῦ γάμου ἔχῃ ἄδειαν στολεῖσθαι νυμφικῷ στολισμῷ, κατὰ τὴν ἁρμόζουσαν ταῖς νύμφαις συνήθειαν, καὶ ἀκολούθως μετὰ τὸν γάμον, μέχρι τεσσαράκοντα ἡμερῶν, μὴ ἐμποδίζηται ἄγειν μερικόν τινα καὶ μέτριον στολισμόν, ἔνδον τοῦ ὀσπητίου ὑπὲρ τὰ διατεταγμένα· μετὰ δὲ τὴν συμπλήρωσιν τῶν τεσσαράκοντα ἡμερῶν, ἀναλάβῃ πάλιν τὰ διωρισμένα, καὶ φορῇ ἐκεῖνα

μόνα, ὅσα αἱ λοιπαὶ φοροῦσι τῶν γυναικῶν· ἥνπερ ὑπόθεσιν ἠξίωσεν ἡμᾶς ἐπιβεβαιῶσαι (καὶ) διὰ πατριαρχικοῦ συνοδικοῦ γράμματος, κατὰ τὸ ἐπικρατοῦν ἔθος, τῷ καθ' ἡμᾶς πατριαρχικῷ ἀποστολικῷ τε καὶ οἰκουμενικῷ θρόνῳ, τούτου χάριν, ὡς εὔλογον οὖσαν καὶ πρὸς κοινὴν ὠφέλειαν συντείνουσαν τῆς αὐτῆς πολιτείας, ἀξίαν ἐκρίναμεν ἐπικυρώσεως, καὶ γράφομεν ἀποφαινόμενοι συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς (κτλ.) ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα αὕτη διάταξις, ἡ διορίζουσα μετὰ κοινῆς ἡμῶν βουλῆς καὶ θελήσεως τὸν στολισμὸν τῶν αὐτόθι γυναικῶν, [φορεῖν αὐτὰς δηλαδὴ μόνον ζευγάριον ἓν σκουλαρίκια, καὶ τραχηλιὰν μίαν, καὶ δακτύλιον ἕν, καὶ οὐδὲν ἄλλο περισσότερον τούτων], ἔχῃ τὸ κῦρος, καὶ τὴν ἰσχὺν, καὶ τὸ ἀμετάτρεπτον, καὶ ἀμετάθετον διὰ παντὸς, ὥστε μηδεμίαν τῶν γυναικῶν ἐμφανισθῆναί ποτε φοροῦσαν περισσότερα τῶν διαληφθέντων αὐτῶν εἰδῶν τοῦ στολισμοῦ, ἤγουν τῶν διορισθέντων κατ' εἶδος, ὡς ὀφειλόντων ἁπαξαπάντων ὅλαις δυνάμεσι φυλάττειν ἀπαρασάλευτα τὰ διορισθέντα ταῦτα εἰς τὸν γυναικεῖον στολισμόν· καὶ ὅσοι μὲν ἄνδρες καὶ γυναῖκες φυλάξουσι καλῶς τὴν παραγγελίαν ταύτην, εὐλαβῶς τε καὶ χριστιανικῶς, καὶ διατηρήσουσιν ἀεὶ ἀμετάθετον, εἴησαν εὐλογημένοι ἀπὸ Θεοῦ, καὶ συγκεχωρημένοι κτλ., ὅσοι δ' αὖ ἐξ ἐναντίας ἀνευλαβῶς καὶ ἀναισχύντως παρήκοοι φανῶσιν ὀψέποτε καὶ ἀθετήσωσι τὰ ἐν τῷ παρόντι γεγραμμένα καὶ διωρισμένα, καὶ τολμήσωσιν ἄλλως ποιῆσαι παρὰ ταῦτα, καταφρονοῦντες τοῦ καλοῦ ἔργου καὶ τῆς ἐκκλησιαστικῆς ἀποφάσεως, καὶ προδόται γενόμενοι τῆς κοινῆς αὐτῶν ὠφελείας ἀφωρισμένοι εἴησαν (κτλ. ὡς συνήθως).

Σημ. Μεταγραφὴ ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου, ἐξ οὗ οὐ μανθάνομεν πρὸς τίνα τῶν ἐπαρχιῶν τοῦ πατριαρχ. οἰκουμενικοῦ θρόνου ἀπευθύνεται. Σχετίζεται δὲ πρὸς τὸ ΚΕ' γράμμα καὶ ἐξεδόθη τῷ 1701.

ΚΕ΄.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Περὶ προικοδοσίας.

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Πᾶν μέτρον ἄριστον, ὑπερβασίαι δ' ἐλεειναί· καὶ καλῶς πᾶσαν ὑπερβασίαν καὶ ἀμετρίαν, ὡς ἄδικον καὶ ἐπιβλαβῆ, αἱ νομοθεσίαι μακρὰν τῶν πολιτειῶν ἀποσκορακίζουσιν. Ἴδιον γὰρ νομοθεσίας ἀδιαλώβητον τὴν πολιτείαν τηρεῖν, καὶ πόρρω που ἀπωθεῖν, καὶ ἐκδιώκειν τὰ τὸ πολίτευμα καταβλάπτοντα. Ἀλλ' οὐκ οἶδ' ὅπως, οἱ τῆς αὐτόθι πολιτείας χριστιανοί, ἐκ μακρᾶς συνηθείας καὶ φαύλης, τὸ μέτριον καὶ φύσει δίκαιον ἀποποιούμενοι, ὑπερβασίαις δὲ ἀκρίτως καὶ παρανενοημένως χρώμενοι, καὶ ταῦτα περὶ τὴν ἀναγκαίαν διεξαγωγὴν καὶ κυβέρνησιν τῆς τε ζωῆς αὐτῶν, καὶ τῶν οἰκείων καὶ γνησίων αὐτῶν τέκνων, λύπαις καὶ βλάβαις οὐ ταῖς τυχούσαις, καὶ συμφοραῖς ἀνηκέστοις ἐθελουσίως ὑπὸ ἀβουλίας περιπίπτουσι. Μέλλοντες καὶ γὰρ ὑπανδρεῦσαι τὴν πρώτην θυγατέρα αὐτῶν προικοδοτοῦσιν αὐτῇ κακοβούλως πάντα σχεδὸν τὰ ὑπάρχοντα αὐτῶν, μηδὲν ὅλως περὶ τῶν λοιπῶν αὐτῶν παίδων φροντίζοντες, καταλιπεῖν καὶ ἐκείνοις τὸ ἀνῆκον αὐτοῖς μέρος, ὅπερ ἔδει ἀπολαβεῖν ἐκείνους, ὡς συμμετόχους τῆς προγονικῆς αὐτῶν περιουσίας καὶ κληρονομίας. Οὐ μὴν ἀλλὰ καὶ ἑαυτοὺς οἱ τοιοῦτοι γονεῖς ἐν ἀπορίᾳ παντελεῖ καὶ ἐνδείᾳ καταλιμπάνουσιν, ἀπογυμνούμενοι πάντων τῶν προσηκόντων αὐτοῖς κτημάτων· κἀντεῦθεν δειναῖς περιστάσεσιν ἐμπίπτουσιν ἀγανακτοῦντες εἰς τέλος, καὶ τοῖς ὅλοις ἀμηχανοῦντες, καὶ γίνεται τοῖς τοιούτοις ὁ γάμος πικρίας, καὶ θλίψεως, καὶ ἀκυβερνησίας παραίτιος, ἤπερ εὐφροσύνης καὶ θυμηδίας ὑπόθεσις· ἀνθ' ὧν οἱ τοῦ νῦν καιροῦ ἐμπολιτευόμενοι αὐτόθι μὴ ὑποφέροντες τὴν ὀλέθριον καὶ ἐξωλεστάτην ταύτην κα-

κοπάθειαν, προὐνοήθησαν ἀναχαιτίσαι καὶ ἀνατρέψαι τὴν πέρα τοῦ δέοντος παραταθεῖσαν ἀμετρίαν τῆς χορηγίας τῶν προικῶν, καὶ ἀπαλλάξαι τὴν πολιτείαν τῆς λυπηρᾶς, καὶ ἀδίκου, καὶ ὀλεθρίας ταύτης ἐπαγωγῆς, καὶ τῆς πρὸς πάντας κοινῆς συμφορᾶς, συνδρομῇ κοινῇ, βουλῇ τε καὶ σκέψει συντετηρημένῃ μετριάσαι τὸ πρᾶγμα διενοήθησαν, καὶ ἐξομαλίσαι τὰ τῆς προικοδοσίας, καὶ ἀποκροῦσαι τὴν ἀμετρίαν, καὶ ἀντεπαγαγεῖν ἐλάφρωσιν καὶ μετριωτέραν κατάστασιν, ὅπως τε καὶ τὰ ἐπίλοιπα αὐτῶν τέκνα παρὰ τὴν πρώτην δηλονότι θυγατέρα μὴ παρεωρῶνται ἄμοιρα παντελῶς, καὶ ἄκληρα τῆς ἀνηκούσης αὐτοῖς μερίδος· ναὶ μὴν καὶ αὐτοὶ οἱ ἴδιοι γονεῖς ἔχωσιν εἰς τὸ ἑξῆς καὶ περὶ τὸ γῆρας αὐτῶν τὴν ἀναγκαίαν ὁπωσοῦν καὶ μετρίαν περίθαλψιν, καὶ μὴ ταλαιπωρῶνται καὶ καταφθείρωνται ὑπὸ ἐνδείας καὶ ἀπορίας ἐσχάτης· οὗ ἕνεκα καὶ διὰ κοινῆς γνώμης καὶ ἀποφάσεως διορισμὸς ἐγένετο ἀπὸ τοῦδε τῆς μελλούσης δίδοσθαι προικὸς ὑπὸ τῶν γονέων, τῇ τε πρώτῃ αὐτῶν θυγατρὶ, καὶ τοῖς λοιποῖς τέκνοις, καὶ διὰ κοινῆς ἀναφορᾶς κατησφαλισμένης ὑπογραφαῖς τῶν τῆς μητροπόλεως ταύτης κληρικῶν, ἀρχόντων τε τῆς πολιτείας, καὶ τοῦ λοιποῦ σχεδὸν πληρώματος τῆς αὐτῆς ἐπαρχίας, ἐδηλοποιήθη ὁ σκοπὸς αὐτῶν καὶ ἐνεφανίσθη ἡμῖν συνοδικῶς προκαθημένοις ἡ τοιαύτη αὐτῶν κοινὴ ἀναφορὰ, ἥτις διαλαμβάνει καὶ παρίστησι τὸν πρὸς κυβέρνησιν καὶ ὠφέλειαν τῆς πολιτείας συντελεσθέντα διορισμὸν περὶ τὰς προικοδοσίας, κατὰ κοινὸν οἰκονομικὸν σύνθημα πεπραγμένον παρὰ πάντων, πρὸς διόρθωσιν καὶ συστολὴν τῆς προβάσης τέως παραλόγου ἀμετρίας καὶ ὑπερβολῆς, ἀνυποίστου περὶ τὰς αὐτὰς προικοδοσίας, ὡς διείληπται. Ἔχει δὲ ὁ διορισμὸς οὕτως· ὅπως δηλαδὴ οἱ εὐποροῦντες περιουσίας πέντε χιλιάδων γροσίων καὶ ἐπέκεινα, εἴτε ἀπὸ πατρικῆς κληρονομίας περιελθούσης αὐτοῖς, ἢ ὑπὸ ἰδίου κόπου καὶ μόχθου, ἢ καὶ ἀπὸ προικιμαίων καὶ ἄλλοθέν ποθεν ἐπικτηθείσης, ὀφείλωσι παρέχειν τῇ πρώτῃ μὲν θυγατρὶ αὐτῶν λόγῳ προικὸς δύο χιλιάδας τῶν γροσίων, ἐξ ὧν εὐποροῦσι κτημάτων καὶ ὑπαρχόντων, χωρὶς τῶν νυμφικῶν ἐνδυμάτων, ἱμα-

τίων δηλονότι καὶ ρουχικῶν τοῦ ὀσπητίου· τὰ δὲ μαλαγματικά, ἀσημικά τε καὶ μαργαριτάρια, καὶ χαλκωματικὰ συναριθμῶνται ταῖς δυσὶ χιλιάσι τῶν γροσίων εἰς συνδιατίμησιν μετὰ τῶν διδομένων λοιπῶν κτημάτων, καὶ συμπλήρωσιν τῶν αὐτῶν τούτων δύο χιλιάδων γροσίων καὶ μὴ πλείονα· τοῖς δὲ λοιποῖς παισὶ διδόναι ἀνὰ τεσσαράκοντα γρόσια καθ' ἑκάστην ἑκατοντάδα τῆς περιλειφθείσης αὐτῶν περιουσίας, καὶ τὰ νυμφικὰ ἐνδύματα προσέτι, ἤτοι ἱμάτια καὶ ρουχικὰ τοῦ ὀσπητίου, καθὼς καὶ τῇ πρώτῃ θυγατρί. Οἱ δὲ κεκτημένοι περιουσίας καὶ ὑπάρχοντα ἐλάττονα τῶν πέντε χιλιάδων γροσίων, ὀφείλωσι παρέχειν καὶ αὐτοὶ πᾶσιν ἐξ ἴσου τοῖς παισὶ, καὶ τῇ πρώτῃ δηλονότι θυγατρὶ, καὶ τοῖς λοιποῖς τέκνοις, ἀνὰ τεσσαράκοντα γρόσια καθ' ἑκάστην ἑκατοντάδα τῶν ὑπαρχόντων αὐτοῖς, ὡσαύτως καὶ τὰ ἐνδύματα, ὡς προείρηται, καὶ ρουχικὰ τοῦ ὀσπητίου, καὶ μὴ ἀναγκάζεσθαι ὑπό τινος πλείονα τῶν διωρισμένων τούτων παρέχειν, τὴν δὲ διατίμησιν τῶν προικοδοτουμένων γίνεσθαι ἐν ἀληθείᾳ καὶ χωρὶς τινος φιλοπροσωπίας καὶ δολιότητος, ἐν φόβῳ Θεοῦ, ὑπὸ τῶν ἐκλεγέντων καὶ ἀποκαταστάντων ἐπ' αὐτῷ τούτῳ τεσσάρων ἀνδρῶν, εἰδήσει τῆς ἀρχιερωσύνης σου, καὶ κοινῇ γνώμῃ καὶ ἀρεσκείᾳ τῆς πολιτείας, ὥστε εἶναι διατιμητὰς τῆς προικὸς τοὺς οὕτως ἐκλεγέντας τέσσαρας ἄνδρας, καὶ λέγεσθαι τὴν προῖκα διατετιμημένην κατὰ νόμους, καὶ γράφεσθαι ταύτην εἰς τὸν κώδηκα τῆς αὐτῆς μητροπόλεως, μηδενὸς ἔχοντος ἄδειαν ἐντεῦθεν ἀθετῆσαι τὴν κοινὴν ταύτην συνθήκην καὶ διάταξιν, ἣν καὶ ἐδεήθησαν βεβαιωθῆναι καὶ παρ' ἡμῶν τῇ δυνάμει καὶ ἐξουσίᾳ τῆς Ἐκκλησίας. Τούτων χάριν ἡ μετριότης ἡμῶν, ὡς τὴν ἀκροτάτην προστασίαν τοῦ οἰκουμενικοῦ θρόνου ἐμπιστευθεῖσα θεόθεν, καὶ τὴν σύστασιν, καὶ εὔτακτόν τε καὶ ἐπωφελῆ κατάστασιν καὶ διοίκησιν τῶν ἀπανταχοῦ πολιτειῶν τοῦ χριστωνύμου ἐπιποθοῦσα πληρώματος, καὶ τὰ παράλογα πάντα καὶ ἐπιβλαβῆ καὶ ὀλέθρια ἀποσοβεῖν ἀπαραιτήτως ἐπειγομένη, τὴν δέησιν αὐτῶν εὔλογον, καὶ πρὸς ἀγαθὸν ἀφορῶσαν σκοπὸν κρίνασα, γράφει, καὶ ἀποφαίνε-

ται συνοδικῶς γνώμη κοινῇ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἵνα πάντα τὰ προειρημένα ταῦτα, ὅσα κοινῇ βουλῇ καὶ γνώμῃ τῆς αὐτόθι πολιτείας, ἐκρίθησαν καὶ διετάχθησαν περὶ τῆς προικοδοσίας τῶν ἐν τῇ αὐτῇ πολιτείᾳ χριστιανῶν, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἔχωσι τὸ κῦρος καὶ τὴν ἰσχὺν, εἰς αἰῶνα τὸν ἅπαντα φυλαττόμενα, καὶ ἐνεργούμενα παρὰ πάντων, ὡς διώρισται, ἀπαράτρεπτα, μηδενὸς τολμῶντος τὸ σύνολον ἀντειπεῖν καὶ ἀντιπράξαι τοῖς διωρισμένοις τούτοις. Ὁποῖοι δ' ἂν τολμήσωσιν ἄλλως ποιῆσαι παρὰ τὰ γεγραμμένα, καὶ σύγχυσίν τινα, ἢ ἀνατροπὴν τούτων, καθ' οἱονδήτινα τρόπον ἐπινοῆσαι καὶ πρᾶξαι, καὶ εἴ τε οἱ γονεῖς κρυφίως θελήσωσιν ὑποσχεθῆναι καὶ δοῦναι, παρὰ τὰ κοινῶς γνωμοδοτηθέντα, εἴ τε οἱ διατιμηταὶ χαριζόμενοι τῷ ἑνὶ μέρει οὐ ποιήσωσι τὴν διατίμησιν ἀδόλως καὶ ἄνευ τινὸς φιλοπροσωπίας, οἱ τοιοῦτοι ὡς προδόται καὶ ἐπίβουλοι τοῦ συμφέροντος τῆς πολιτείας, ὁποίας ἂν εἴησαν τάξεως ἢ βαθμοῦ, ἀφοριζέσθωσαν (κλπ. ὡς συνήθως).

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Φωτίου Κυπρίου ἄλλοτε λογοθέτου Γενικοῦ τῆς Μ. Ἐκκλησίας. Καὶ περὶ μὲν τοῦ Φωτίου ὅρα Μ. Ι. Γεδεὼν «Χρονικὰ τῆς Πατριαρχ. Ἀκαδημίας», σελ. 178, περὶ δὲ τοῦ κώδηκος αὐτοῦ τὰ προλεγόμενα τῆς βιογραφίας τοῦ «Πατριάρχου Διονυσίου Δ΄ τοῦ Μουσελίμου».

ΚϚ΄.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἔργον φέριστον ὄντως καὶ ἀναγκαῖον ὑπέρ τι ἄλλο τοῖς εἰληχόσιν ἐκ Θεοῦ τὴν ἐκκλησιαστικὴν προστασίαν ἐνθέως τὰ θεῖα

φημὶ, καὶ ὁσίως τὰ ὅσια διαιτᾶν, οὐ μέντοι διεξάγειν εὐχερῶς καὶ ἀπονητὶ μόνα τὰ εὐχερῆ καὶ λεῖα καὶ τὸ εὐάγωγον οἴκοθεν ἔχοντα, καὶ κατ' ἰδίαν μένοντα χώραν ὡς μὴ πειραθέντα δυσχερείας τινὸς, ἀλλ'οὐχ ἧττον ἐπάναγκές ἐστι μάλα διεγηγερμέναις ἐπιμελείαις ψυχῆς, καὶ τῶν ὅπως ποτε τὸ ὑγιὲς ἀποβαλόντων καὶ ἄρτιον καιρικαῖς δυσχερείαις τισι προθύμως ἀντιλαμβάνεσθαι, καὶ δεξιῶς θεραπεύειν αὐτῶν τὴν κάκωσιν, ὁμαλῶς τε μεταρρυθμίζειν ἐπὶ τὸ εὔθετον, καὶ ἀντικαθιστᾶν θεραπείαις ἀναγκαίαις καὶ οἰκονομίαις πρὸς τὸ εὐκατάστατον· οὐ μόνον γὰρ ἄτοπον, ἀλλὰ καὶ λίαν ἐπίψογον τὸ παραβλέπειν ὀλιγώρως τὰ χρήζοντα κηδεμονίας, καὶ τῶν συμπεσουσῶν αὐτοῖς περιστάσεων προσφόρου θεραπείας καὶ διορθώσεως· ὁ γὰρ κοινῶν ἐπειλημμένος πραγμάτων κοινὴν αὐτοῖς καὶ τὴν λυσιτέλειαν ὀφείλει συνεξεργάζεσθαι, κατ' ἴχνος ἑπόμενος τῶν ἱερῶν νυμφοστόλων καὶ κοσμητόρων τῆς Ἐκκλησίας, οἷς τισιν, ἐκείνοις φημὶ τοῖς ἐνδόξοις ἀκρέμοσι, διαφερόντως ἀνέκαθεν ἐμέλησεν ὁ τῆς οἰκονομίας καὶ ἀντιλήψεως λόγος, πρὸς τὰ δυσχερῶς πως διατεθέντα ποτὲ, καὶ τὸν ἐνδεχόμενον τρόπον ἐξασφαλίζειν ταῦτα οὐ παρῃτήσαντο· πρὸς γὰρ τὴν ἑκάστοτε συμπιπτομένην δυσχέρειαν, τοῖς σοφοῖς τῶν ἐκκλησιῶν οἰκονόμοις ἡ πρόσφορος ἐξεύρηται θεραπεία, χρωμένοις ἀναγκαίως ταῖς ἀποστολικαῖς εἰσηγήσεσι, πάντα πρὸς οἰκοδομὴν γίνεσθαι διακελευούσαις ἐν ἁγίῳ Πνεύματι. Ἐπειδὴ τοιγαροῦν προλαβόντως μὲν ἀπὸ τῆς Μέτρων [ἐπισκοπῆς] προσκληθεὶς ὁ κὺρ Μακάριος μετατεθῆναι εἰς τὴν μητρόπολιν Ἄρτης ἐδέξατο τὴν πρόσκλησιν διὰ ψήφων, ἔμεινε δ' ἐν ἀκμῇ ἀμετακίνητος εἰς τὸ πρᾶγμα ἀμετάβατός τε καὶ ἀμετάθετος· παραχρῆμα γάρ τις συρφετώδης περίστασις ἐπιπεσοῦσα, κακοβουλίαις τισὶ τῶν ἐκείνης ἐπαρχιωτῶν, ἐξήμβλωσεν ἄρδην τὰ κατ' αὐτῶν, καὶ διέλυσε τὴν τοῦ ἐπιχειρήματος κάταρξιν, καὶ ἀνενέργητον τὴν πρόσκλησιν κατειργάσατο, καὶ ἀτελεσφόρητον τὴν μετάθεσιν, καὶ εἰς πραγματικὴν ὕπαρξιν γενέσθαι ταύτην οὐκ εἴασεν, ἀλλὰ γενομένην σχεδὸν καὶ ἀπογινομένην λογίζεσθαι πεποίηκεν, εἴποι δ' ἄν τις θαρραλεώτερον καὶ ἀνύπαρκτον

αὐτὴν μικροῦ δεῖν, ὡς εἰς ἐνέργειαν ὅλως μὴ προχωρήσασαν, ἅτ' ἐκ τῆς οἰκείας ἐνεργείας ἕκαστον καὶ φύσει καὶ θέσει τὸ εἶναι πορίζεσθαι πέφυκεν, ἧς τινος οὖν ὑποθέσεως εἰς συνοδικὴν ἐπίκρισιν τὰ νῦν προβληθείσης, ἐγνωμοδοτήθη κοινῶς ἀκυρωθῆναι διόλου τὴν ἀπρακτήσασαν ἐκείνην ψηφοφορίαν, καὶ προβιβασθῆναι αὐτὸν τὸν ἀρχιερέα εἰς ἄλλην μητρόπολιν γνησίως, καθὼς καὶ ἐν τοῖς ἀρχαίοις χρόνοις φαίνεται συμβῆναι τοιαῦτα· ψηφισθέντων γὰρ τῶν κατὰ καιρούς, καὶ μὴ χειροτονηθέντων ἐν αἷς ἐψηφίσθησαν μητροπόλεσι, τῶν ψήφων ἐκείνων ἀργῶν ἐναπολειφθεισῶν, μετεψηφίσθησαν αὖθις εἰς ἄλλας ἐπαρχίας, καὶ οὐ διὰ μεταθέσεως, ὥς τινες δυσεπίσκοποι, ἀλλὰ διὰ χειροτονίας, ὡς μονοεπίσκοποι, προεβήσαν, καθάπερ ἐν ταῖς ἐκκλησιαστικαῖς ἱστορίαις ἔνεστιν εὑρεῖν τῷ βουλομένῳ, ὁποῖον ἐγένετο προχείρως εἰπεῖν κἀπὶ τῶν ἡμερῶν τοῦ εὐσεβοῦς βασιλέως Μανουὴλ τοῦ Κομνηνοῦ καὶ Πορφυρογεννήτου. Ψηφισθεὶς γὰρ εἰς τὴν μητρόπολιν Μύρων τῆς Λυκίας, σοφώτατός τις ἀνὴρ ὁ κὺρ Εὐστάθιος, ἐν ἱεροδιακόνοις τελῶν τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, εἷς τε τῶν ἐπισήμων ὀφφικιάλων, καὶ καταδεξάμενος καὶ ἀσπασάμενος, ὡς ἔθος, καὶ ἤδη πρὸς τὴν χειροτονίαν ἑτοιμασθεὶς, ἀπείρχθη βασιλικῷ προστάγματι τῆς χειροτονίας, καὶ οὕτως εἰς τέλος ἄπρακτα διέμεινε τὰ τελεσθέντα· κἀντεῦθεν τῶν ψήφων ἐκείνων εἰς κενὸν παρεωραθεισῶν, δι' ἑτέρων ὕστερον ψήφων ἐχειροτονήθη μητροπολίτης Θεσσαλονίκης. Εἰ οὖν ἡ προσυγκροτηθεῖσα ἐκείνη ψῆφος χειροτονίας ἐπλήρου τόπον, καὶ δύναμιν εἶχε τοῦ εἰδοποιῆσαί πως, ἢ κἂν σχεδιάσαι ἐκεῖνον ἐπίσκοπον, οὐκ ἦν τοῦ λοιποῦ δι' ἑτέρων ψήφων καὶ χειροτονίας μεταβῆναι εἰς Θεσσαλονίκην, δυσεπίσκοπον λογιζόμενον. Τούτου χάριν λόγοις ἐκκλησιαστικοῖς οἰκονομίας ἀδιαβλήτου, κατὰ τοὺς πρὸ ἡμῶν προστάτας τῆς Ἐκκλησίας, καὶ μελεδωνοὺς τῆς ἱερᾶς διακοσμήσεως, τῇ δυνάμει, καὶ ἐξουσίᾳ, καὶ χάριτι τοῦ παναγίου Πνεύματος, γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, ἵνα, ἡ μὲν προβᾶσα ψῆφος ἐπὶ μεταθέσει εἰς τὴν μητρόπολιν Ἄρτης τοῦ τέως ἐπισκόπου Μέτρων κὺρ Μακαρίου, μείνῃ ἄκυρος διόλου καὶ

ἀνίσχυρος, καὶ οὐδ' ὡς γεγονυῖα λογιζομένη, ἅτε μηδὲ τὸ ἐνδόσιμον τοῦ κατ' ἐνέργειαν εἶναι λαβοῦσα· ὁ δὲ κὺρ Μακάριος μονουπίσκοπος διαμένων ἀναντιρρήτως ἔχῃ ἄδειαν ἐλευθέρως καὶ ἀνεμποδίστως μετατεθῆναι ἀπὸ τῆς ἐπισκοπῆς Μέτρων εἰς ἄλλην ἐπαρχίαν ἀπροκριματίστως καὶ ἀνεπιλήπτως, καὶ εἶναι, καὶ λέγεσθαι, καὶ διαφημίζεσθαι γνήσιος καὶ κανονικὸς ἀρχιερεὺς ἧς μέλλει τυχεῖν μητροπόλεως ἀνενδοιάστως. Ὅθεν εἰς ἔνδειξιν καὶ παράστασιν τῆς εὐλογοφανοῦς συνοδικῆς ἐπικρίσεως ἐγένετο καὶ τὸ παρὸν ἐπιβεβαιωθὲν (οὕτω) γράμμα, καὶ κατεστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας. αψ΄.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου, σελ. 592—595.

ΚΖ΄.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Κατὰ τρεῖς τρόπους διακυβερνᾶται καὶ διοικεῖται τὸ γένος τῶν ἀνθρώπων ἐν τῷδε τῷ μετὰ σώματος βίῳ· ἤγουν μὲ νόμους, μὲ τάξεις διαφόρους, καὶ μὲ διάφορα ἔθη, τὰ ὁποῖα λέγονται καὶ ταῦτα νόμος ἄγραφος· τί δέ φημι γένος ἀνθρώπινον, ὅπου καὶ ἅπαν τὸ ἐκ διαφόρου φύσεως γενῶν τε καὶ εἰδῶν σύγκραμα καὶ σύστημα τοῦ παντὸς δι' αὐτῶν ἄγεται καὶ φέρεται καὶ ἰθύνεται φύσει τε καὶ θέσει, καὶ διεξάγεται, καὶ ἔχει τὸ εἶναι καὶ τὸ εὖ εἶναι, ὥστε ἐὰν ἤθελασιν ἀφαιρεθῇ ἐξ ὑποθέσεως αὐτά, ὅλον καταπίπτει τὸ πᾶν, καὶ ἄνω καὶ κάτω γινόμενα τὰ πράγματα ἤθελαν τρέξει εἰς τὸ οὐδὲν, καὶ οὔτε κόσμος ἦτον πλέον, οὔτε τὰ κατὰ κόσμον, ὅτι ἀναιρουμένου τοῦ συστατικοῦ αἰτίου συναναιρεῖται ἀναγκαίως

καὶ τὸ δι' αὐτοῦ συνιστάμενον. Ἔχει τοιγαροῦν τοιουτοτρόπως καὶ ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία τὰ συστατικὰ καί πως κεφαλαιώδη ταῦτα, νόμους φημὶ θεογράφους, καὶ τάξεις ἐγκοσμίους τε καὶ ὑπερκοσμίους, καὶ ἔθη θεόπνευστα παρὰ τῶν θεοκηρύκων ἀποστόλων καὶ θεοφόρων πατέρων ἐν Πνεύματι ἁγίῳ διὰ τῆς θείας ἐπιπνοίας παραδοθέντα καὶ συνταχθέντα ἐν αὐτῇ, ὡς θεῖον ἀντίτυπον (;) ὑπάρχουσα καὶ νοερὸν ἀπεικόνισμα τῆς οὐρανίου ταξιαρχίας καὶ ταγματοστραταρχίας, ἐστηριγμένα πάντα τῇ παντοκρατορικῇ δεξιᾷ τοῦ τῶν ἁπάντων δημιουργοῦ διὰ τῆς αὐτοῦ πολυποικίλου σοφίας καὶ ἀϊδίου προνοίας, καὶ ἅπαν τὸ γένος τῶν ὀρθοδόξων χριστιανῶν εἰς αὐτὰ ὑπόκειται, καὶ δι' αὐτῶν χειραγωγεῖται καὶ διεξάγεται· δι' ἣν αἰτίαν εἶναι ἀνάγκη ὅλοι οἱ χριστιανοὶ ἀπαραιτήτως νὰ φυλάττωσιν ἀμεταποίητα τοὺς νόμους, καὶ τὰς τάξεις, καὶ τὰ ἔθη τῆς Ἐκκλησίας, μέχρι καὶ αἵματος, ὡς θείους χρησμοὺς καὶ ἐντολὰς τοῦ Θεοῦ κατὰ θείαν παραγγελίαν· λέγει γὰρ ὁ μακάριος Δαυΐδ, σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα· ἐπειδὴ καὶ μετ' αὐτὰ γνωρίζεται καὶ εἶναι χριστιανὸς ὁ καθ' εἷς, χωρὶς δὲ τούτων οὐδένας ἐμπορεῖ νὰ λογισθῇ χριστιανός. Ὅθεν ἔχομεν χρέος ἀναγκαῖον οἱ προϊστάμεναι τῶν ἐκκλησιῶν πρὸ πάντων αὐτὰ νὰ διαφενδεύωμεν, δι' ὧν συνέχονται καὶ περικρατοῦνται καὶ συστήνονται τὰ συμπληροῦντα τὸν χριστιανισμόν, καὶ ἡ σωτηρία τῶν πιστῶν ἐπιμνηστεύεται, καὶ νὰ σᾶς παρακινοῦμεν ἐν Πνεύματι ἁγίῳ νὰ προσέχητε εἰς τὰς τάξεις τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ὁλοψύχως, καὶ νὰ μὴ ξεστρατίζῃ τινὰς, ὅτι εὐγένοντας ἀπὸ τὴν τάξιν ξεπέφτει εἰς ἀταξίαν· ἡ δὲ ἀταξία ὀρύττει πικρῶς βόθρους βαρυτάτους καὶ κρημνοὺς ἀπωλείας διὰ τῆς παμπονήρου μεθοδείας τοῦ μισοκάλου ἐχθροῦ καὶ πολεμίου, καὶ ὑποσκελιζόμενος ὁ πλανηθεὶς ὑπ' αὐτοῦ εἰς ὄλεθρον καταντᾷ καὶ ἀπώλειαν, ὅπερ μὴ γένοιτό ποτε τοῖς ἐπιγραφομένοις τὸ σωτήριον ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐπειδὴ τοιγαροῦν ἐγνωρίσθη τανῦν καὶ καλῶς ἐπιστοποιήθη ἡμῖν ὅτι χριστιανοί τινες τῶν αὐτόθι ἐν ἁπλότητι καὶ ἀπειροκα-

λίᾳ καταλιμπάνοντες τὰς ἐνοριακὰς αὐτῶν ἐκκλησίας διαβαίνουσι παρ' ἐνορίαν εἰς ἄλλας ἐκκλησίας, καὶ ψάλλονται ἴσως διὰ φιλίαν τινὰ ἢ ἄλλην ἀνθρωπίνην προσπάθειαν, καὶ τὸ λογιάζουσιν αὐτὸ τάχα διὰ καλὸν καὶ ἄβλαβον, ἀμὴ δὲν εἶναι ἔτζι χριστιανοί μου, ἀλλὰ ἐξ ἐναντίας τὸ νὰ καταφρονῇ τινας τὴν ἐνορίαν του, καὶ τοὺς ἱερεῖς του, καὶ τὴν ἀδελφικὴν ὁμήγυριν τῶν συνενοριτῶν του δὲν εἶναι καλὸν καὶ ἄβλαβον, ἀλλὰ καὶ λίαν κακὸν καὶ βλαβερὸν καὶ παράλογον καὶ παράνομον, καὶ δίδει πολλῶν ἁμαρτιῶν ἀφορμὴν, καὶ δίδει σκάνδαλον φανερὸν, τὸ δὲ σκάνδαλον εἶναι ἡ μεγαλείτερη ἁμαρτία· διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν ταλανίζων τοὺς τῶν σκανδάλων αἰτίους ἔλεγεν· οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται· τὸ λογιάζουσιν ἐν ἀκακίᾳ καὶ ἁπλότητι πῶς εἶναι τάχα καλὸν, ἀμὴ λανθάνονται, διατὶ τότε εἶναι τὸ πρᾶγμα ἀληθῶς καλὸν, ὅταν γίνεται μὲ καλὸν τρόπον, ἀμὴ ὅταν γίνεται παράστρατα χάνει τὴν καλωσύνην του, καὶ γίνεται κακὸν ἀπὸ ταῖς κακαῖς περίστασαις, καθὼς εὐθέως τὸ διακρίνει καὶ τὸ ἀποφασίζει ὁ νυμφοστόλος τῆς Ἐκκλησίας ἀπόστολος τὸ σκεῦος τῆς τοῦ Χριστοῦ ἐκλογῆς, ὁ μακάριος Παῦλος, λέγων· τὸ καλὸν οὐκ ἔστι καλὸν ἐὰν μὴ καὶ καλῶς γένηται. Εἶναι καθὼς εἴπομεν καὶ παράνομον, ὅτι πρὸς τοῖς ἄλλοις καὶ αὐταὶ αἱ τάξεις τῶν ἐνοριῶν εἶναι νομοθετημέναι καὶ τεταγμέναι μὲ τοὺς θείους νόμους καὶ ἱεροὺς κανόνας τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, καὶ εἶναι ἀνάγκη νὰ φυλάττωνται ἀπαρασάλευτα καὶ ἀσύγχιστα, διὰ νὰ στέκωνται τὰ ἐκκλησιαστικὰ εἰς τοὺς διατεταγμένους αὐτῶν ὅρους, νὰ ἐπιλάμπῃ ἐν αὐτοῖς ἡ θεοβράβευτος εἰρήνη, ὁποῦ θεοδιδάκτως ἐκφωνεῖται εἰς τὸν ναὸν τοῦ Θεοῦ τὸ εἰρήνη πᾶσιν· ἀμὴ ὁπόταν τὰ διατεταγμένα καὶ νομοθετημένα δὲν φυλάττωνται, ἀλλὰ στρεβλούμενα κακοτρόπως ἀνακατώνονται, τότε δὲν εἶναι πλέον εἰρήνη, ἀλλὰ φιλονεικίαι καὶ πάθη καὶ σκάνδαλα παρὰ τῆς ἀνταρτικῆς δυνάμεως ἀνεγηγερμένα πρὸς ὄλεθρον καὶ ἀπώλειαν, διατὶ ἀναιρουμένης τῆς τάξεως ἐπιγίνεται ἀταξία· ἐκεῖ δὲ ὁποῦ εἶναι ἀταξία ἐπικρατεῖ ἡ ἀκαταστασία· ἐκεῖ δὲ ὁποῦ ἡ ἀκαταστασία καὶ

τὰ σκάνδαλα κυριεύουσιν ἐπακολουθεῖ ἡ ἀπὸ Θεοῦ ἀλλοτρίωσις· οὐκ ἔνεστι γὰρ ἀκαταστασίας ὁ Θεὸς ἀλλ' εἰρήνης· ὁ μακάριος Παῦλος ἐν Πνεύματι ἀποφαίνεται ἁγίῳ. Διὰ τοῦτο τὸ εἴπομεν καὶ τὸ λέγομεν παράνομον, διατὶ γίνεται ἔξω ἀπὸ τοὺς κειμένους νόμους, καὶ ὅποιος εἰς τὸ παρ' ἐνορίαν ἔγκλημα πέσῃ φανερὰ παρανομεῖ· καὶ πρέπει νὰ διορθωθῇ, ὅτι παραβαίνει νόμον ἐκκλησιαστικὸν, καὶ γίνεται ὑπεύθυνος παιδείας, καθὼς ἀποφασίζουσιν οἱ θεῖοι νόμοι καὶ ἱεροὶ κανόνες νὰ ἐπιτιμῶνται οἱ τολμῶντες τὴν παρ' ἐνορίαν ἀταξίαν. Καὶ τί λέγω νόμους καὶ κανόνας ἐκκλησιαστικοὺς, ὁποῦ καὶ εἰς ταῖς βασιλικαῖς εὐταξίαις φυλάττεται ὁ ἀκριβέστατος αὐτὸς θεσμὸς, καὶ εἰς ὅλα τὰ ἔθνη σχεδὸν, καὶ ἀπέχουσι μὲ προσοχὴν, καὶ φοβοῦνται νὰ μὴν παραπατήσουν εἰς τὸ ξένον χῶμα, καὶ νὰ μὴν παρασυνορεύσωσι, καὶ νὰ μὴν πράξουν τίποτες παρ' ἐνορίαν, διὰ νὰ μὴ παιδευθῶσιν, ἀλλὰ φυλάττουσι καθ' ἕνας τὰ ὅριά του, καὶ στέκει εἰς τὴν τάξιν του, κατὰ τοὺς θείους καὶ ἀνθρωπίνους νόμους· πολλὰ περισσότερον λοιπὸν εἶναι κρατημένοι οἱ χριστιανοὶ εἰς τὰ ἐκκλησιαστικὰ νὰ φυλάττωσι τὰ ὅριά τους, καὶ καθ' ἕνας νὰ ἐκκλησιάζεται εἰς τὴν ἐνορίαν του, κατὰ τοὺς ἐκκλησιαστικοὺς νόμους, καὶ τότε εἶναι κερδεμένος, διατὶ ὅταν ὁ ἐκκλησιασμός του δὲν ἔχῃ ἐλάττωμα καὶ σκάνδαλον προηγούμενον, τότε ἡ προσευχή του δὲν γίνεται εἰς ἁμαρτίαν, κατὰ τὴν γραφικὴν κατάραν, ἀλλὰ καθαρὰ καὶ ἄμωμος οὖσα γίνεται εἰς ἐξιλέωσιν καὶ ἄφεσιν ἁμαρτιῶν καὶ σωτηρίαν ψυχῆς καὶ σώματος. Τούτου χάριν καὶ γράφοντες ἐντελλόμεθα ὑμῖν συνοδικῶς, καὶ σᾶς νουθετοῦμεν πνευματικῶς, καὶ σᾶς παρακινοῦμεν πατρικῶς, νὰ μὴ παραβαίνετε τὰς τάξεις τῆς Ἐκκλησίας· ὅτι τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ ἱεροῦ ἀποστόλου μᾶς παραγγέλλει λέγον πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω· ἀλλὰ νὰ ταῖς φυλάγητε περισσότερον ἀπὸ τὴν ζωήν σας ἐν ὑπακοῇ καὶ εὐπειθείᾳ, ὅτι ἡ μὲν ὑπακοὴ ἔνδικον ἔχει μὲν τὴν μισθαποδοσίαν, τὸ ἱερόν φησι λόγιον· καὶ κάθε χριστιανὸς νὰ ἐκκλησιάζηται εἰς τὴν ἐκκλησίαν τῆς ἐνορίας του, κατὰ τὴν τάξιν τῆς Ἐκκλησίας· νὰ ἔχητε τὴν

εὐχήν μας, διὰ νὰ γίνηται τὸ καλὸν ἀληθῶς καλὸν, καὶ εἰς τὸν Θεὸν δεκτὸν καὶ καρποφόρον, νὰ καρποφορῇ εἰς τὴν ψυχήν σας τοὺς καρποὺς τῆς αἰωνίου ζωῆς, καὶ μὴν κάμετε ἀλλέως, νὰ σᾶς διαφυλάττῃ ὁ Κύριος ἀπὸ παντὸς κακοῦ, νὰ εὐλογῇ τοὺς κόπους σας, νὰ πληθύνῃ τὰ ὑπάρχοντά σας ἐκ τῶν ἀκενώτων αὐτοῦ θησαυρῶν, καὶ νὰ σᾶς ἀξιώσῃ τῆς βασιλείας τῶν οὐρανῶν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν. ,αψα΄

1701 A.D.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ λογοθέτου γενικοῦ Φωτίου τοῦ Κυπρίου (σελ. 567—571). Ἐν τοῖς πατριαρχικοῖς κώδηξι φαίνεται τὸ γράμμα τοῦτο σταλὲν εἰς Ἀδριανούπολιν.

ΚΗ΄.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Τὸ γράμμα τῆς ἀρχιερωσύνης σου ἐλάβομεν, διὰ τοῦ ὁποίου ἐρωτᾷ περί τινων ἐνδεχομένων συμβῆναι· ἤγουν ἀνίσως καὶ ζητηθῇ ἀπὸ τοὺς εἰς τὰ αὐτόθι διατρίβοντας Λατίνους, τόσον παπίστας (;) ὡσὰν καὶ λουτεροκαλβίνους, κανένα ἐκκλησιαστικὸν μυστήριον, εἶναι δυνατὸν νὰ τοὺς δοθῇ, ἢ ὄχι; καὶ πρῶτον· ἀνίσως τινὰς τῶν παπιστῶν εὑρισκόμενος εἰς ἐπικίνδυνον καὶ πνέων τὰ λοίσθια ἤθελε ζητήσει νὰ μεταλάβῃ τῶν ἀχράντων μυστηρίων, δυνατόν ἐστι μεταδοῦναι αὐτῷ; εἰς τὸ ὁποῖον θέλετε ἔχει ἀπόκρισιν ἐκεῖνο, ὅπου εἶναι καὶ γνωστὸν τοῖς πᾶσι καὶ δυνατὸν, ἤγουν, ἐὰν θελήσῃ νὰ καταργήσῃ τὴν λατινικὴν δόξαν, ἤτοι τὸ λατινικὸν φρόνημα, καὶ νὰ ἀποδεχθῇ τὴν πίστιν τῆς ἀνατολικῆς Ἐκκλησίας, ἀνεμποδίστως μεταλαμβάνει τῶν ἀχράντων μυστηρίων· εἰ δὲ μένων εἰς τὴν θρησκείαν του ζητήσει νὰ μεταλάβῃ,

ἀδύνατόν ἐστιν, ὅτι τὸ αὐτὸ ποτήριον τοὺς κοινωνοῦντας ὁμοφρονοῦντας εἶναι βούλεται, οὐχὶ ἀλλοτρίους· τὰ ἀλλότρια γὰρ ἀκοινώνητα εἰσί· δεύτερον· ἐρωτᾶ, ἐὰν ἤθελεν ἀποθάνει τις ἐξ αὐτῶν, καὶ ἤθελον ζητήσει ἱερεῖς πρὸς τὸ ἐνταφιάσαι ἐκεῖνον, τί ποιητέον; εἰς τὸ ὁποῖον θέλει ἔχει τὴν ἀπόκρισιν, ὅτι μηδόλως νὰ δοθοῦν ἱερεῖς εἰς ἐνταφιασμὸν τοῦ αἱρετικοῦ· διατὶ ἐκεῖνον ὁποῦ εἶναι ὑπὸ ἀνάθεμα πῶς θέλουν νὰ παρακαλοῦν ὑπὲρ αὐτοῦ οἱ ἱερεῖς νὰ τὸν τάξῃ ὁ Θεὸς μετὰ δικαίων πνευμάτων; τὸ δὲ εἶναι αὐτοὺς αἱρετικοὺς ἀναμφίβολον ἐστί· καὶ αὐτοὶ μὲν ἔχουν σύνοδον, ὁποῦ μᾶς ἀναθεματίζουν διὰ αἱρετικοὺς, καὶ ἔτζι τὸ λέγουν καὶ ἔτζι τὸ κηρύττουν· ἡμεῖς δὲ οὐχ ἧττον, ἀλλὰ καὶ πολλῷ μᾶλλον τοὺς ἔχομεν διὰ αἱρετικοὺς καὶ ὑπὸ τὸ ἀνάθεμα τελοῦντας πολλῶν οἰκουμενικῶν συνόδων, ὁποῦ ἀναθεματίζουσι τοὺς ἀθετοῦντας τὰ δόγματα τῆς ἀνατολικῆς Ἐκκλησίας, τὴν ὁποίαν αὐτοὶ οὐδὲ διὰ Ἐκκλησίαν δὲν τὴν λογίζουν, καὶ ἂν οἱ πολιτικοὶ τῶν χριστιανῶν νόμοι ἀποφασίζουν ὅτι ὅποιος εἰς ἕνα μόνον δόγμα ἀθετήσει αἱρετικὸς ἐστὶν, ἀμὴ πῶς νὰ μὴν εἶναι αὐτοὶ αἱρετικοὶ, ὁποῦ μηδὲ κανένα δὲν ἀφῆκαν ἀμετάτρεπτον; ἄρα ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστὶ· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει· καὶ ἐπειδὴ ἐξεχώρισαν ἀπὸ τὴν ἀνατολικὴν Ἐκκλησίαν καὶ ἔκαμαν ἄλλην ἰδικήν τους τερατώδη, ἀνομοίαν καὶ παντάπασι ξεχωρισμένην ἀπὸ τὴν ἀνατολικὴν Ἐκκλησίαν, ἀναντίρρητόν ἐστιν, ὅτι αἱρετικοὶ εἶναι καὶ ἀναπολόγητοι, καὶ καμμίαν συγκοινωνίαν μετ' ἐμᾶς δὲν ἔχουσιν, ὅτι τὰ ἡνωμένα δὲν εἶναι διῃρημένα· τὰ δὲ διῃρημένα δὲν εἶναι ἡνωμένα, καὶ ἂς ματαιολογοῦσιν ὅσα θέλουσιν· ὥστε ἱερεῖς ὀρθόδοξοι νεκροὺς αἱρετικοὺς εἶναι ἀδύνατον νὰ ἐνταφιάζουν· τρίτον ἐρωτᾶ, ὡς ἔτυχε νὰ γεννήσῃ ἡ γυνὴ τοῦ κονσόλου τῶν Ἐγκλέζων, ἥτις ὑπάρχει χριστιανὴ ὀρθόδοξος, καὶ ζητεῖ νὰ βαπτίσῃ τὸ νήπιον, ποιεῖ δὲ ἀνάδοχον τὸν κόνσολον τοῦ Φράντζα, εἰ δυνατὸν τοῦτο γενέσθαι; διὰ τὸ ὁποῖον ἂς ἔχει ἀπόκρισιν ὅτι νὰ μὴν γένῃ ἀλλὰ ἐὰν ἔχῃ ἀνάδοχον ὀρθόδοξον ἂς γένει τὸ βάπτισμα· εἰδὲ μὲ ἀνάδοχον ἑτερόδοξον, ἢ παπιστὴν, ἢ λούτερον, πρόσεχε νὰ μὴν τὸ

στέρξῃς νὰ γίνῃ· καὶ διὰ νὰ μὴν ἔχῃς ἀπὸ τοὺς τοιούτους τίποτα εἰς τὰ πολιτικὰ ἐνόχλησιν, μὲ εἰρηνικὸν τρόπον ἀποδιάβασέ τους, χωρὶς φιλονεικίαις, λέγωντας πῶς δὲν ἠμποροῦμεν νὰ κάμωμεν ἐκεῖνα, ὁποῦ ἐμποδίζει ἡ Ἐκκλησία μας καὶ ὄχι ἄλλο. Ταῦτα μὲν περὶ τούτων· ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ τῆς ἀρχιερωσύνης σου.

͵αψα΄. νοεμβρίου κε΄.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Φωτίου Κυπρίου (σελ. 359). Ἐπέμφθη δὲ πρὸς τὸν μητροπολίτην Λαρίσσης Παρθένιον.

ΚΘ΄.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Ἐνταῦθα παραστὰς ἐνώπιον ἡμῶν ὁ Μόδενας ὀνόματι Περαστῖνος ἀνήγγειλεν ἰδίοις χείλεσι τὰ κατ᾿ αὐτὸν, ὅτι πρὸ χρόνων σχεδὸν δέκα ἐχρημάτισε μὲν ἱερεὺς ἄγαμος καταναγκάσει τινὸς, τὸν γάμον αὐτῷ κακῶς ἐμποδίσαντος, μετέπειτα δὲ προσέκοψεν ἐπηρείαις τοῦ μισοκάλου ἐχθροῦ σαρκικῷ τινι πάθει καὶ γυναικὶ πορνικῶς συνεγένετο, τοιούτῳ δ᾿ ἁλοὺς ἐγκλήματι κατάφορος ἐγένετο, καὶ τοῦ ἱερατεύειν ἀπέστη καλῶς. Ἤδη μὲν οὖν μεταπεσὼν εἰς τὴν κοσμικὴν διαγωγὴν, προσέδραμε τῷ ἐλέει τῆς Ἐκκλησίας, τὴν πρόσφορον ἐξαιτῶν θεραπείαν, ὡς τῆς ἱερωσύνης ὅλως διόλου ἀποτυχὼν ἀμετακλήτως. Ἐπειδὴ τοιγαροῦν τὸ τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας πνευματικὸν ἰατρεῖον προσάγειν ὀφείλει θεραπείαν ἰατροῦ κατάλληλον τῶν νοσούντων ἑκάστῳ τρόπῳ παντὶ, δέον εὐκαίρως ἐκρίναμεν καὶ τοῦτον μὴ ἀπώσασθαι κενόν· δεῖ γὰρ μᾶλλον τῷ ὀλισθαίνοντι ἐπιδοῦναι δε-

ξιάν, ὅπως μὴ τελείως ἀπόλλυται. Τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα ἵνα αὐτὸς μὲν ὁ διαληφθεὶς Μόδενας Περαστῖνος τῆς μὲν ἱερωσύνης ἀπέχῃ τελείως· λαϊκὸς δὲ τελῇ κατὰ πάντα, καὶ ἔχητε ἄδειαν οἱ αὐτόθι ἱερεῖς εὐλογῆσαι αὐτὸν μεθ' ἧς ἂν βούληται γυναικός, ὡς ἕνα τῶν λαϊκῶν, καὶ κοινολαΐτην ἀναντιρρήτως, καὶ εὐλογῆτε, καὶ ἁγιάζητε αὐτούς, καὶ ἐκκλησιάζητε ἀνεμποδίστως, μηδενὸς ἐναντιουμένου, ἢ ἐμποδίζοντος, ἱερωμένου, ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. Οὕτω γενέσθω ἐξ ἀποφάσεως. ,αψα'.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Φωτίου Κυπρίου (σελ. 566—567).

Λ'.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Ἴσον τοῦ γράμματος ὁποῦ ἐζήτησεν ὁ Χριστιανουπόλεως περί τινων ἐρωτήσεων.

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Ἱερώτατε μητροπολῖτα Χριστιανουπόλεως, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Ἀρκαδίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, κὺρ Ἀθανάσιε, χάρις εἴη σου τῇ ἱερότητι καὶ εἰρήνη ἀπὸ Θεοῦ. Γράμμα σου ἐλάβομεν προλαβόντως, εἰς τὸ ὁποῖον ἔχεις κάποια ἐρωτήματα σημειωμένα, ζητῶν ἀπὸ τῆς Ἐκκλησίας τὴν περὶ τούτων ἀπόκρισιν καὶ λύσιν· ὅθεν ἐν συντόμῳ λάβε τὴν ἀπόκρισιν. Γράφεις οὖν πρῶτον, ὅτι διὰ σφοδρῶν ἐπιτιμίων καὶ πατριαρχικοῦ γράμματος, ἀπέκοψας τὴν ὁρμὴν τῶν ἁρπαζόντων κορίτζια, καὶ φθειρόντων, τὸ ὁποῖον τὸ ηὗρες ὁποῦ ἐγίνετο πρὸ τοῦ νὰ ἀρχιερατεύσῃς αὐτόθι, καὶ τὸ ἀνέτρεψες, καὶ τὸ ἔκαμες

καλὰ κατὰ κανόνας καὶ νόμους, ἔφθασε δὲ τώρα νὰ γένῃ πάλιν ἕνα τοιοῦτον καὶ τὸ ἐπιτιμήσετε, ὅμως συναινοῦντες οἱ γονεῖς ἤδη ζητοῦσι νὰ τοὺς στεφανώσητε, καὶ ἐρωτᾷς ἂν συμφέρῃ νὰ παραβλέψητε τὰ ἐκκλησιαστικὰ ἐπιτίμια, καὶ τὰς πατριαρχικὰς ἀρὰς, καὶ νὰ κάμητε εἰς αὐτοὺς θεραπείας, ἢ νὰ φυλάξητε τῆς Ἐκκλησίας τὴν ἀπόφασιν, καὶ νὰ παραβλέψητε αὐτῶν τὴν θεραπείαν· προβληθέντων τοιγαροῦν τῶν ἐρωτημάτων αὐτῶν ἐν τῇ συνελεύσει τῆς ἀρχιερατικῆς ὁμηγύρεως, ἐκρίθη προτιμότερον νὰ φυλαχθῇ ἡ ἐκκλησιαστικὴ ἀπόφασις· καὶ αὐτοὶ νὰ ἦναι ὑπὸ τὴν ἐκκλησιαστικὴν παίδευσιν ἕως οὗ νὰ διαχωρισθῶσι καὶ νὰ διαλύσωσι τὴν παρανομίαν, ὅτι ἡ Ἐκκλησία γνωρίζει τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὒ, καὶ δὲν πρέπει ποτὲ μὲν οὕτω, ποτὲ δὲ ἄλλως νὰ ἀποφασίζῃ τὸ αὐτὸ καὶ νὰ ἐναντιεῖται αὐτὴ ἑαυτῇ. Δεύτερον δὲ σημειώνετε ὅτι δύο ἀδελφοὶ ἥρπασαν δύο ἀδελφὰς, καὶ συνεφθάρησαν, καὶ ἐβδελύχθησαν, ἔπειτα τοῦ ἑνὸς ἀποθανόντος, ἔμεινεν ὁ ἄλλος, καὶ ζητεῖ νὰ στεφανωθῇ τὴν ἁρπασθεῖσαν ὑπ' αὐτοῦ, καὶ ἐρωτᾶτε τὸ ποιητέον· εἰς τὸ ὁποῖον γράφομεν νὰ μὴ τοὺς στεφανώσητε, ὡσὰν καὶ τὸ παραπάνω καὶ ἀνομώτερον, ὅτι τὸν στέφανον ἡ Ἐκκλησία τὸν βάνει εἰς τὴν κεφαλὴν τῶν πολεμησάντων τὴν σάρκα καὶ τὸν διάβολον, καὶ φυλαξάντων τὴν παρθενίαν ἀμίαντον, ὄχι εἰς τὰς τοιαύτας μιαρὰς καὶ κατῃσχυμένας κεφαλάς. Τρίτον δὲ ἐρωτᾶτε ἂν ἐκάμετε καλὰ πρὸς κάποιαν κόρην ἀπὸ Καμάρας, τὴν ὁποίαν ἁρπάσαντες καθ' ὁδὸν ἐστεφάνωσαν μετά τινος βίᾳ καὶ δυναστείᾳ, εἶτα οἱ ταύτης προσγενεῖς ἀποσπάσαντες ἐκείνην τοῦ ἁρπάσαντος μὴ βουληθεῖσαν μένειν παρ' αὐτῷ, δέδωκας ἄδειαν συναφθῆναι ἑτέρῳ ἀνδρὶ, τὸ ὁποῖον καλὰ τὸ ἔκαμες καὶ ἁρμοδίως. Ἄλλο σημειώνετε ὅτι ἱερεύς τις ἀπὸ τῆς ἐπαρχίας Λακεδαιμονίας ἦλθεν εἰς τὴν ἐπαρχίαν σας καὶ χωρὶς εἰδήσεως καὶ θελήματός σας ἐστεφάνωσεν ἀνδρόγυνον, τὸ ὁποῖον διὰ νὰ ἀποκόψῃς τὴν παράλογον ὁρμὴν ἐπρόσταξες καὶ τοὺς ἐμεταστεφάνωσαν, καὶ ἐρωτᾷς ἂν ἔγεινε καλὸν, τὸ ὁποῖον μήτε καλὰ ἔγεινε, μήτε ἄλλο νὰ γένῃ τοιοῦτον διὰ πολλαῖς ἀφορμαῖς, μάλι-

στα τὸ μεταστεφάνωμα τοὺς χυδαίους καμμίαν λύπην δὲν τοὺς δίδει, ὁποῦ νὰ γένῃ συστολὴ εἰς τοὺς ἄλλους, ἀλλὰ τὸ χαίρονται καὶ τὸ καμαρώνουν πῶς πέρνουν διπλαῖς εὐλογίαις, καὶ ἂν τοὺς στεφανώσουν καὶ τρεῖς φοραῖς ἕνα τὸ μετροῦν, μοναχὰ εἰς τὸ παρ' ἐνορίαν, ὁ μὲν παπᾶς διὰ τὴν ἀταξίαν νὰ καθαιρεθῇ, τὸ δὲ ἀνδρόγυνον καὶ οἱ συναινέσαντες νὰ ἀφορισθοῦν καὶ νὰ παιδευθοῦν ἐκκλησιαστικά, ἡ γὰρ Ἐκκλησία ἀπαγορεύει τῶν μυστηρίων τὴν διπλασίασιν, καὶ καθὼς ἀνατρέπει τοὺς ἀναβαπτισμοὺς καὶ τὰς ἀναχειροτονήσεις, εἰς τὸν ὅμοιον τρόπον πρέπει νὰ φυλαχθῇ καὶ τὸ στεφάνωμα ἀδίπλωτον, ὅτι καὶ ὁ κανόνας λέγει, ὅταν ὁ ἐπίσκοπος χειροτονῇ παρ' ἐνορίαν, νὰ καθήρεται καὶ ὁ χειροτονῶν καὶ ὁ χειροτονούμενος, ἀμὴ δὲν λέγει νὰ χειροτονᾶται ὁ χειροτονηθείς, ὅθεν ἂν μεταστεφανώσῃς τοὺς στεφανωθέντας παρ' ἐνορίαν ὑπὸ ἱερέως ἀκολουθεῖ παρομοίως καὶ ὅταν ἱερεὺς παρ' ἐνορίαν βαπτίσῃ παιδίον, ἢ λειτουργήσῃ, νὰ ξαναβαπτίζηται τὸ βαπτισθέν, καὶ νὰ ἀκυροῦται καὶ νὰ ἀνατρέπηται ἡ ἱερουργία· καὶ τούτου τί ἄλλο παρανομώτερον ἤθελεν εἶσται; ἀκόμη καὶ περιεργότερον νὰ εἰποῦμεν, αὐτὸ τὸ ἀλλόκοτον δευτεροστεφάνωμα μανθάνοντάς το οἱ ἐναντίοι μᾶς κατασκευάζουν ἔγκλημα καὶ ἐλάττωμα πῶς δευτερώνομεν τὰ μυστήρια καὶ ἀφίνοντας τὴν ἀρχὴν καὶ τὰ μέσα, πέρνουν μόνον τὸ τέλος, καὶ προσθέτουν οἱ φιλοκατήγοροι καὶ μωμοσκόποι ῥήματα καταποντισμοῦ καὶ πλαστουργοῦσιν ἀπὸ κώνωπος ἐλέφαντα· ὅθεν προσέχετε αὐτὸ πλέον νὰ μὴ γενῇ, μόνον τὸ ἀνδρόγυνον νὰ ἀφορίζηται καὶ ὁ παπᾶς νὰ καθήρεται καὶ ὄχι ἄλλο. Περὶ δέ τινος Θεοδώρου ὁποῦ σημειώνετε, ὅτι συγκοιμωμένου αὐτοῦ τῇ ἰδίᾳ γυναικὶ μεταξὺ αὐτῶν ἀπεπνίγη τὸ ἴδιον βρέφος, καὶ ζητεῖ αὐτὸς νὰ ἱερωθῇ, προσέχετε νὰ μὴν τὸν δώσητε ἱερωσύνην, ὅτι ὁ ἀκούσιος φόνος τὰ μὲν ἐπιτίμια τοῦ φονέως δὲν ἔχει, ἀμὴ ἱερεὺς δὲν γίνεται ὁ ὁπωσδήπως προσομιλήσας τῷ αὐτῷ ἐγκλήματι, ὅτι ὁ ἱερεὺς ἀναγκαίως πρέπει νὰ ἦναι ἀνεπίληπτος· ὁμοίως καὶ ἄλλος ὁποῦ λέγεται Θεοδωράκης, τοῦ ὁποίου ἡ γυναῖκα ἀπέκτεινε τὸ ἴδιον βρέφος ἐν τῷ καθεύδειν, οὐδὲ αὐτὸς ἱερωσύνην νὰ

μὴ λάβῃ· ποία γὰρ ἀνάγκη εἶναι οἱ καταιτιαμένοι καὶ ψεγαδιασμένοι ὁπωσδήπως νὰ λαμβάνουν ἱερωσύνην, ἢ δὲν εἶναι ἄλλοι ἱερεῖς νὰ συντελοῦσιν εἰς ὑπουργίαν τῶν μυστηρίων. Ἄλλο σημειώνετε ὅτι Σταματέλος τις ἐστὶν ἱερεύς, οὗτινος ἡ πρεσβυτέρα ἀπέκτεινεν ἐν τῷ μαστῷ τὸ ἴδιον τέκνον κοιμωμένη ἀβάπτιστον, ἀπόντος τοῦ πρεσβυτέρου αὐτῆς, καὶ ἐρωτᾶτε περὶ τούτου ἆρά γε παντελῆ ἀλειτουργησίαν νὰ ἔχῃ ἢ πρὸς καιρὸν νὰ ἐπιτιμηθῇ, ἢ ἀνεύθυνος νὰ λογισθῇ, τὸ ὁποῖον δὲν εἶναι καὶ αὐτὸ ἀπηλλαγμένον μέμψεως καὶ πλημμελείας, ἀλλὰ δίδει εἰς τὸν λαὸν ψυχρότητα καὶ ἦτον πρέπον νὰ λείψῃ ὁλοτελῶς τῆς ἱερουργίας, ἀμὴ ἂν σᾶς φανῇ κανονίσετέ τον μὲ πολὺ διάστημα καιροῦ διὰ νὰ ἀλησμονηθῇ καμπόσο τὸ σφάλμα, καὶ ὕστερον θέλετε τὸν συγχωρέσει. Ἄλλο δὲ ἐρωτᾶτε περί τινος ἱερέως παπᾶ Ἰωάννου, ὁ ὁποῖος ἐνεχείρισεν εἰς τὸ παιδὶ αὐτοῦ τὸν δαυλὸν καὶ ἔγινε αἰτία νὰ κατακαῇ, τί πρέπει νὰ παθαίνῃ· περὶ τοῦ ὁποίου λέγομεν παντάπασι νὰ μένῃ ἀσυγχώρητος τῆς παιδείας καὶ νὰ ἀπέχῃ τῆς ἱερουργίας τελείως. Ἕτερον ἐρωτᾶτε, ὅτι ἁρπάζουσί τινες γυναῖκας καὶ ἀπερχόμενοι εἰς ἄλλας ἐπαρχίας στεφανώνονται, ἔπειτα γυρίζοντας εἰς τὴν χώραν τους διάγουσι συνεζευγμένως, καὶ λέγετε τί νὰ κάμητε; νὰ συγχωρήσετε τὸν παρ' ἐνορίαν γάμον, ἢ τί ἄλλο νὰ κάμετε· εἰς τὸ ὁποῖον ἔχετε τὴν λύσιν ἀπὸ τὸ παραπάνω τὸ ὅμοιον τοῦ παρ' ἐνορίαν, ἤγουν ὁ γάμος νὰ διαμένῃ ἀδιάλυτος, νὰ ἀφορίζωνται δὲ αὐτοὶ ὁποῦ παρ' ἐνορίαν ἐστεφανώθησαν, καὶ ὁ παπᾶς ὁποῦ τοὺς εὐλόγησε νὰ καθῄρεται· ἐζητήσατε καὶ διὰ λόγου σας γράμμα συγχωρητικόν, καὶ ἰδοὺ ὁποῦ σᾶς τὸ πέμπομεν, καὶ λάβετέ το, καὶ ὁ Θεὸς ὁ ἐλεήμων γένοιτο ἵλεως πᾶσιν ὑμῖν. Πολλὰ καλὰ κάμνετε καὶ χριστιανικὰ ὁποῦ φροντίζετε διὰ τὰ συμπίπτοντα τῷ λαῷ δυσχερῆ νὰ τὰ διοικῆτε κατὰ τὸ θέλημα τῆς Ἐκκλησίας, καὶ θέλετε ἔχει πολὺν ἐκ Θεοῦ τὸν μισθόν, ὅμως χρεωστεῖτε καὶ γέροντας νὰ συμβουλεύετε καὶ τοὺς ἄλλους σας ἀδελφοὺς εἰς τὸν ὅμοιον τρόπον νὰ προσέχουν καὶ νὰ παρατηροῦν εἰς τὰ ἐκκλησιαστικὰ πράγματα, διατὶ ἀκούομεν πολλὰς ἀνοδίας καὶ βάρα-

θρα, εἰς τὰ ὁποῖα θέλουν νὰ δώσουν λόγον τῷ Θεῷ. Ὅθεν «μηδεὶς τὸ ἑαυτοῦ ζητείτω ἀλλὰ καὶ τὸ τοῦ ἑτέρου» λέγοντος τοῦ Ἀποστόλου, κάμνωντας τὸ καλὸν ἡ ἀρχιερωσύνη σου ἀνάγκαζε καὶ τοὺς ἄλλους πρὸς τὸ συμφέρον τῆς ψυχῆς τους, καὶ θέλετε ἔχει οὐκ ὀλίγον τὸν μισθὸν φροντίζοντες καὶ ὑπὲρ τοῦ πλησίον, καὶ εἰπέ τους τοὺς καλότυχους νὰ συσταλθοῦν καὶ νὰ συσταθοῦν, νὰ συλλογοῦνται τί κάμουσι, καὶ μὲ ποίαν ἐξουσίαν ψηφίζουν αὐτοὶ καὶ χειροτονοῦν ἐκεῖ ὁποῦ δὲν ὁρίζουν, ποίαν ἐπαρχίαν ὁρίζουν αὐτοὶ καὶ χειροτονοῦν ἀρχιερέα εἰς αὐτήν. Ὁ μητροπολίτης κάμει μητροπολίτην ἢ ὁ πατριάρχης τὸν κάμει καὶ δίδει ἄδειαν εἰς τοὺς ἀρχιερεῖς νὰ τὸν χειροτονήσωσιν; εἰς τὴν Βενετίαν, ὁποῦ εἶναι αὐθεντία φράγκικη καὶ Κεφαλληνίαν, ἂν δὲν στείλουν νὰ πάρουν ἀπὸ τὸν πατριάρχην ἔκδοσιν, ἀρχιεπίσκοπον καὶ μητροπολίτην δὲν χειροτονοῦν, ἀμὴ αὐτοὶ ποίαν ἐξουσίαν ἔχουν νὰ κάμουν ἀρχιερεῖς εἰς ἐπαρχίαις, ὁποῦ δὲν ὁρίζουν; τόσην γνῶσιν δὲν ἔχουν νὰ συλλογισθοῦν ποῖον εἶναι τὸ ἰδικόν τους καὶ ποῖον δὲν εἶναι, ἀμὴ ἐμπαίζουν τὰ ἐκκλησιαστικὰ ὡς κωμῳδίας, καὶ δὲν ἠξεύρουν πῶς καὶ ὁ χειροτονῶν καὶ ὁ χειροτονούμενος εἶναι καθῃρημένοι· εἰπέ τους τὸ λοιπὸν νὰ συσταλθοῦν, ὅτι γίνονται ὑπεύθυνοι. Ταῦτα μέν· ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος.

͵αψα΄. αὐγούστου β΄.

Σημ. Μετεγράφη ἀπὸ πατριαρχικοῦ κώδηκος.

ΛΑ΄.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἐπειδὴ ἐνεχειρίσθη ἡμῖν γράμμα ἐνυπόγραφον τοῦ ὁσιωτάτου καθηγουμένου τῆς ἱερᾶς καὶ σεβασμίας μονῆς τοῦ ὁσίου καὶ

θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ τοῦ Στηριώτου, δι' οὗ ἀναγγέλλει ὁ αὐτὸς καθηγούμενος, ὅτι ἱερεύς τις παπᾶ Νικόλαος ἀνεδέξατο πρὶν παιδίον χριστιανοῦ τινος ἀπὸ θείου βαπτίσματος, ἔπειτα γεννηθέντος καὶ ἄλλου παιδίου ἐκ τοῦ αὐτοῦ χριστιανοῦ, καθ' ὃν καιρὸν ἔμελλε βαπτισθῆναι τὸ παιδίον, ἐζητήθη μὲν ὁ παπᾶ Νικόλαος ἀναδεχθῆναι κἀκεῖνο, μὴ εὑρεθέντος δὲ αὐτοῦ κατὰ τὴν ὥραν ἐκείνην, ἀνεδέξατο τὸ παιδίον ἡ πρεσβυτέρα αὐτοῦ, κἀντεῦθέν τινες αἰτιώμενοι τὸν παπᾶ Νικόλαον καὶ ἔγκλημα προσάπτοντες αὐτῷ κατατεῖνον διαχωρισθῆναι τῆς ἰδίας αὐτοῦ γυναικός, προσδραμών φησιν ὁ αὐτὸς ἱερεὺς τῷ διαληφθέντι καθηγουμένῳ ἠρώτησε περὶ τοῦ συμβάντος αὐτῷ ἀναμαθεῖν δεόμενος, ὁποῖον τέλος ἔχει ἀπαντῆσαι αὐτῷ· τοῦ δὲ ἡγουμένου ἀποροῦντος ἀποκρίσεως, καὶ ἐξ ἰδίας γνώμης μὴ ἔχοντος ἄδειαν ἀπολογηθῆναι, ἀνέθετο τὴν ἐρώτησιν πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν προσδεχόμενος τὴν μετὰ τῆς πληροφορίας ἀπόκρισιν. Ἔνθεν τοι διασκεψάμενοι καὶ καταλαβόντες αὐτὸ τοῦτο ἐρωτηθὲν ἐπὶ ἡμερῶν ἀρχαίων πρόπαλαι τοῖς διέπειν λαχοῦσι τῷ χριστεπωνύμῳ πληρώματι, ἐξεδόθη ὡς ἀκώλυτον, καθά που σεσημειωμένον φαίνεται παρὰ τοῖς ἐκκλησιαστικοῖς ὑπομνήμασι καὶ συνοδικαῖς διατυπώσεσι· φησὶ γὰρ οὑτωσὶ ῥητῶς τὴν ἀπολογίαν μετά τινα προειρημένα· Ἐπειδὴ ὁρῶμεν καὶ γυναῖκας καθ' ἑκάστην ἀδιαφόρως τὸ τῶν ἀναδόχων βάρος ὑποδεχομένας, τί κωλύει κατὰ τὴν ἐπικρατήσασαν συνήθειαν, τοῦ ἀνδρὸς ἀποδημοῦντος τοῦ τὸ πρωτογενὲς παιδίον τῶνδε τῶν γονέων ἀναδεξαμένου, τὴν ἐκείνου γυναῖκα κληθῆναι τὸ μετ' ἐκεῖνο τούτοις τεχθὲν ἀναδέξασθαι· παρὰ ταῦτά τοι καὶ ἐν πολλοῖς τοῖς μέρεσι κατὰ τόπους οὐ διαλείπει ἐνεργούμενον τὸ τοιοῦτον ἀναμφιβόλως. Τούτου χάριν, κατὰ τὰς ἀρχαίας ἐκκλησιαστικὰς διατάξεις, καὶ σεπτὰς διαιτήσεις, γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, ἵνα ὁ διαληφθεὶς παπᾶ Νικόλαος ἀνέγκλητος ὑπάρχῃ καὶ ἀνεύθυνος διὰ τὸ συντελεσθὲν ἐκεῖνο παρὰ τῆς πρεσβυτέρας αὐτοῦ τῆς ἀναδοχῆς ἔργον, ὡς ἀκατάγνωστον ὑπάρχον, καὶ κατ' οὐδὲν μέμψιν προσάπτον αὐτῷ· καὶ ἔχῃ τὸ

ἐνεργὸν τῆς ἱερωσύνης αὐτοῦ, ἀκωλύτως καὶ ἀνεμποδίστως εὐλογῶν καὶ ἁγιάζων τοὺς χριστιανοὺς καὶ πάντα τὰ ἱερατικὰ ἐκτελῶν ἀναμφιβόλως, μηδενὸς ἐναντιουμένου αὐτῷ ἢ ἀντιλέγοντος ἱερωμένου ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ ἐξ ἀποφάσεως. Ὅθεν εἰς ἔνδειξιν ἀπελύθη αὐτῷ καὶ τὸ παρόν.

,αχγη΄. Ἐν μηνὶ Ἰαννουαρίῳ. Ἰνδικτιῶνος ς΄.

† ὁ Ἡρακλείας Νεόφυτος· — † ὁ Κυζίκου Κύριλλος·— † ὁ Νικομηδείας Παρθένιος·— † ὁ Χαλκηδόνος Γαβριήλ· — † ὁ Φιλιππουπόλεως Νεόφυτος· — † ὁ Δέρκων Νικόδημος·— † ὁ Γοτθίας Νεόφυτος.

Σημ. Μετεγράφη ἀπὸ τῶν πατριαρχικῶν κωδήκων.

ΛΒ΄.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Γράμμα συνοδικὸν πρὸς τὸν πατριάρχην Ἀλεξανδρείας Γεράσιμον κατὰ τῆς ἐν τῇ θείᾳ μυσταγωγίᾳ μὴ φανερᾶς ἐκφωνήσεως τοῦ «Λάβετε φάγετε»—(ἔργον τοῦ ἐξ ἀπορρήτων Ἀλεξάνδρου).

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Καινοτομίας τινὸς εἰσηγητὴν γενέσθαι τὴν ὑμετέραν μακαριότητα πρῶτον μὲν ἀδέσποτος θροῦς ἐξήγγελλε τοῖς ἡμετέροις ὠσὶν ἀηδὲς ἐπεληλυθώς· εἶτα δὲ καὶ τοῦ ἱεράρχου Λιβύης ἀφικομένου καὶ τὸν αὐτὸν νεωτερισμὸν ὑποκορισαμένου, κατὰ μέσης ψυχῆς ἐτρώθημεν ὁπόσοι, εὐνοίᾳ τε τῇ πρὸς αὐτὴν φερόμενοι, οἱασδήποτε δίκης ἀνυπεύθυνον αὐτὴν εἶναι βουλόμεθα, καὶ ζήλῳ τῶν ἀνέκαθεν ἐκκλησιαστικῶν παραδόσεων ἀναφλεγόμενοι, μηδεμιᾶς περὶ αὐτὰς ἀνασκευῆς ἀνεχόμεθα.

Διεθρύλει δὲ ἡ προτέρα φήμη, καὶ κατέφασκεν ὕστερον ὁ

Λιβύης, ἐν τῇ θείᾳ εὐχαριστίᾳ παρὰ τὸ ἄνωθεν ἐπικρατῆσαν ἔθος τὰ μὲν κυριακὰ λόγια τὸ «Λάβετε» καὶ τὰ ἑξῆς ἀδιαπύστῳ φωνῇ λέγεσθαι παρὰ τοῦ ἱερουργοῦντος, αὐτῆς τε καὶ πάντων τῶν ὑπ' αὐτὴν ἱερέων, ἅτινα αὐτοί τε οἱ ἀπόστολοι καὶ ἐφεξῆς οἱ διάδοχοι αὐτῶν ἄχρι καὶ ἡμῶν μιμούμενοι τὸν πρωτουργὸν τοῦ μυστηρίου τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μεγαλοφώνως προφέρουσι, τὴν δὲ ἔντευξιν καὶ τὴν ἐπίκλησιν τοῦ ἁγίου Πνεύματος, τουτέστι τὸ «Ποίησον» κτλ., ἥτις ἀπὸ τῆς πρώτης καταβολῆς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἄχρι δεῦρο μυστικῶς τελεῖται παρὰ τοῦ ἱερέως, ἀνάπαλιν ἐκφωνεῖσθαι μεγαλοφώνως.

Καὶ εἰκότως ἄρα διά τε τὴν μετ' αὐτῆς πνευματικὴν συνάφειαν, διά τε τὴν περὶ τὴν διατήρησιν τῶν πατροπαραδότων τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας ζέσιν ἀνεγερθεῖσιν ἡμῖν, τὴν τοιαύτην καινοτομίαν ἔδοξεν ἀνακόψαι ἐν αὐτοῖς προοιμίοις. Ἐπειδὴ γὰρ ἡ καθ' ἡμᾶς Ἐκκλησία οὐδὲ μικράν τινα παραχάραξιν ἀποδέχεται, οὔτε συγχωρεῖ κιβδηλευθῆναι καὶ νοθευθῆναι τὰ ἀνέκαθεν κάλλιστα καθεστῶτα οὐκ οἶδ' ὅπως αὐτῇ τετόλμηται τὰ τοιαῦτα τερατευθῆναι καὶ τὴν ἐξ ἀρχῆς πεπηγυῖαν ἐκκλησιαστικὴν ἁρμονίαν καὶ εὐταξίαν, τὴν ἐν πᾶσι καὶ διὰ πάντων ἀδιασείστως καὶ ἀπαρασαλεύτως ὀφειλομένην συντηρεῖσθαι καὶ συμφυλάσσεσθαι, ταύτῃ διασεισθῆναι, ὅπου γε καλῶς ἴσμεν κἂν σμικρᾶς τινος καινοτομίας ἐμφιλοχωρησάσης, διὰ τῆς τοιαύτης εἰς νεωτερισμοὺς ἀδείας ἐπὶ τὸ χεῖρον ῥυήσεσθαι τὰ καθ' ἡμᾶς· τὸ γὰρ ἀνθρώπινον ἀεὶ φιλοτάραχόν ἐστι καὶ χαίρει τοῖς καινοτομήμασιν. Καὶ διὰ τοῦτο ἀπρὶξ ἀντεχόμεθα μὴ μόνον τῶν ἐκκλησιαστικῶν δογμάτων, ἀλλὰ καὶ παντὸς ἐθίμου· καὶ τὴν τάξιν ἔτι καὶ τὸν τρόπον μετὰ μεγάλης ἀκριβείας καὶ πολλῆς ἐντρεχείας τηροῦμεν καὶ διασώζομεν, καὶ ὥσπερ αὐτὰ παρελάβομεν, οὕτω καὶ τοῖς ἔπειτα παραδιδόναι παντὶ σθένει κατεπειγόμεθα, ἀκίβδηλον φυλάσσοντες τὸ δωρηθὲν ἡμῖν τάλαντον. Τῶν γὰρ μερῶν τοῦ οἰκοδομήματος παραρρυέντων, καὶ τὸ ὅλον συναπορρεῖ καὶ διαπίπτει. Ὁράτω, ὡς τοῖς νεωτέροις ἔνιοι, παραχαράξαι τῶν ἀνέκαθεν

παραδεδομένων τολμήσασι, τῆς τοιαύτης μανίας καὶ λύσσης εἰς ἄκρον ἡκούσης, διεσχίσθη καὶ κατεκερματίσθη ἡ κατ' αὐτοὺς Ἐκκλησία, ὥστε οὐδ' ἐν μιᾷ τινι οἰκίᾳ, οὐδὲ ὑπὸ τὴν αὐτὴν στέγην δύο ἢ τρεῖς ὁμόφρονας συζῆν, ἀλλὰ διαφωνεῖν ἀδελφοὺς καὶ πατέρα καὶ υἱὸν καὶ ἄνδρα καὶ γυναῖκα, ἄλλους ἄλλην θρησκείαν λατρεύοντας καὶ ἄλλως πως ἁγιστεύοντας· ἡμεῖς δὲ, ὅπως, Θεοῦ εὐδοκοῦντος, διὰ τὴν ἄνωθεν εἰρημένην εὐλάβειαν παντὸς νεωτερισμοῦ τῆς ὀρθοδόξου πίστεως, ἄσυλον διασώζομεν καὶ ἀδιακλόνητον καὶ ἀπαραμείωτον τὴν ὁλοκληρίαν, καὶ διὰ τοῦτο ζηλωτοί ἐσμεν καὶ ἀγαπητοὶ τοῖς πέριξ ἔθνεσιν. Ταῦτα τοίνυν καλῶς ἐν νῷ τιθεμένη, τὴν μὲν καινοτομίαν, καὶ ταύτην, ἣν εἰσηγήσατο, καὶ πᾶσαν ἄλλην ἡντινοῦν εὐλαβείσθω καὶ παραλειπέτω· διατηρείτω δὲ τὴν πρὶν εὐταξίαν, καὶ αὐτὴ ἐκφωνοῦσα καὶ τοῖς ὑπ' αὐτὴν ἐκφωνεῖσθαι παραγγέλλουσα λαμπρᾷ τῇ φωνῇ τὰ κυριακὰ λόγια, τὴν δὲ ἔντευξιν καὶ τὴν ἐπίκλησιν λέγουσά τε καὶ λέγεσθαι ἐντελλομένη, ὥς γε καὶ διατέτακται ἀκεραίως μὲν, ἀλλ' οὐ μεγαλοφώνως. Ὃ δὲ φαίνεται παραίτιον αὐτῇ γενέσθαι τῆς τοιαύτης παραλλαγῆς, ὅτι δηλαδὴ τῶν κυριακῶν λογίων τρανῶς βοωμένων, τότε τελεσιουργεῖσθαι τὸ μυστήριον τῆς θείας μυσταγωγίας, διὰ τῆς μεταβολῆς καὶ μεταποιήσεως εἰς αὐτὸ τὸ σῶμα καὶ εἰς αὐτὸ τὸ αἷμα τοῦ Δεσπότου Χριστοῦ, ὑπολαμβάνων ὁ παριστάμενος χριστώνυμος λαὸς εἰς ἔκφυλον τινὰ δόξαν καὶ τῇ ἀνατολικῇ Ἐκκλησίᾳ ἀντίφθογγον ἀφηνιάζει καὶ ἐκτραχηλίζεται, τοῦτο καλῶς μὲν αὐτῇ ὑπονοεῖται, οὐ μὴν διὰ τοῦτο καὶ γίνεσθαι δύναται νεωτερισμοῦ πρόξενον. Τῇ γὰρ καθ' ἡμᾶς Ἐκκλησίᾳ, ἐπερειδομένῃ τῇ δυνάμει τῶν κυριακῶν λογίων, εὐχῇ καὶ ἐντεύξει καὶ ἐπικλήσει τοῦ παναγίου Πνεύματος, ὅτε δηλονότι λέγεται τὸ «Ποίησον» κ.τ.λ., τελειοῦσθαι τὴν θείαν Εὐχαριστίαν, καὶ μεταβάλλειν τὸν ἄρτον καὶ τὸν οἶνον εἰς τὸ σῶμα καὶ τὸ αἷμα τοῦ δεσπότου Χριστοῦ πρεσβεύεται, ἑπομένη τῇ ὀρθῇ διδασκαλίᾳ τῶν θεοφόρων Πατέρων. Καὶ ταῦτα δὴ καὶ αὐτὴ κηρυττέτω καὶ φρονεῖν εὐσεβῶς ἀναπειθέτω, ἥκιστα δὲ διὰ τοῦτο καινοτομεῖν ἐπιχειρείτω· ἀλλὰ

καὶ τὸ ἄρτι καινοτομηθὲν ἐπιδιορθώσασα καὶ εἰς τὴν πρὶν εὐκοσμίαν ἀνακαλέσασα, ὡς τάχιστα τὸ πραχθὲν ἰδίοις γράμμασιν ἡμῖν ἐπιστελλέτω, ἵνα μὴ δριμύτερον εἰς αὐτὴν ἐπιβλέψαι ἀναγκασθῶμεν· οὐ γὰρ ἀνασχετὸς ἡμῖν ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν οὐδὲ σμικρά τις μετακίνησις· ἀλλ' ὥσπερ αὐτοὶ φυλάσσομεν ἀπαρασάλευτον τὴν παραδοθεῖσαν ἡμῖν ἐκκλησιαστικὴν τάξιν καὶ ἁρμονίαν, οὕτω καὶ ὅπως παρὰ πᾶσι φυλάσσοιτο, οἱοισδήποτε τρόποις ἐκκλησιαστικῆς παιδείας ὀφείλομεν ἀποχρῆσθαι, ὃ μὴ δῴη τὸ κρεῖττον, ἀλλὰ μᾶλλον αὐτῇ καὶ ἡμῖν τῆς ἐπὶ τὸ βέλτιον ἐπιστροφῆς ἕνεκα δυναίμεθα συγχαρήσεσθαι.

Σημ. Τὸ γράμμα τοῦτο ἐξεδόθη ἐν τῷ κατὰ τὸ 1804 ἐκδοθέντι «Ἐπιστολαρίῳ» ἐκ τοῦ πατριαρχικοῦ τυπογραφείου, ὅπου πολλαὶ κεῖνται τοῦ ἐξ ἀπορρήτων ἐπιστολαί. Ἀνετυπώθη δὲ τῷ 1878 ἐν «Ἀλεξάνδρου Μαυροκορδάτου Ἐπιστολαῖς Ρ'» ἐν Τεργέστῃ, σελ. 112—115. Εἰκάζομεν ὅτι τὸ γράμμα ἀπελύθη ἐπὶ τῶν ἡμερῶν Καλλινίκου τοῦ Ἀκαρνᾶνος.

ΛΓ'.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Συνοικεσίου συγχώρησις εἰς ϛ' βαθμὸν ἐκ διγενείας σύγχυσιν ἔχοντος εἰς τὰ πρόσωπα.

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Τῶν ἐχομένων τῆς ἐκκλησιαστικῆς θεσμοθεσίας πραγμάτων τινὰ μὴ ἀναγκαῖα διόλου τελοῦσι ὡς μὴ δυνάμενα ἄλλως γενέσθαι οὐδέποτε, τινὰ δέ πως ὡς ἐνδεχόμενα λογιζόμενα καὶ διδακτικὰ θεραπείας τινὸς οἰκονομεῖται μετρίως ἐνίοτε ὑπὸ τῆς ἐκκλησιαστικῆς προνοίας διὰ τῆς πατριαρχικῆς ἀξίας καὶ μεγαλειό-

τητος. Ἐπειδὴ τοίνυν ἀνηνέχθη καὶ ἤδη ἡμῖν αὐτόθι, ὅτι ἡ Ἀννοῦκα, θυγάτηρ οὖσα τοῦ Σταυρινοῦ καὶ ἐγγονὴ τοῦ Ἰωάννου ἔχει μεγάλην θείαν τὴν ἀδελφὴν τοῦ πάππου αὐτῆς Ἰωάννου Σοφοῦλαν ὀνόματι, ἐξ ὧν τὴν μὲν Σοφοῦλαν ταύτην ἔλαβε εἰς γυναῖκα ὁ Μπεγλερῆς, ζητεῖ δὲ καὶ ὁ ἀδελφὸς ἐκείνου Παναγιώτης λαβεῖν εἰς γυναῖκα τὴν Ἀννοῦκαν, καὶ δέονται περὶ τούτου τυχεῖν ἐκκλησιαστικῆς συμπαθείας διὰ τὴν φαινομένην τοῦ συνοικεσίου δυσκολίαν, ὅπερ κατὰ μὲν τοὺς βαθμοὺς ὑπάρχει τέλειον καὶ ἀδιάβλητον· τὰ γὰρ ἐκ διγενείας συναλλάγματα πρὶν τὸν ϛ΄. βαθμὸν δυαλύονται· ἐσημειώθη δὲ παρὰ τοῖς κεκωλυμένοις, ὡς δοκεῖ, διὰ φαινομένην μικρὰν τῶν συγγενικῶν ὀνομάτων σύγχισιν· ὧν ἕνεκα καὶ παρὰ τοῖς νομικοῖς ὑπομνήμασιν ἀρχαιοτέροις διαλαμβάνουσι περὶ τούτου ῥητῶς, τὸ παρὸν συνάλλαγμα ἐξετάσθη συνοδικῶς ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κὺρ Γερμανοῦ, καὶ ἔδοξεν ἀκώλυτον εἶναι· τούτου χάριν οἴκτῳ καμφθέντες ὑπὸ τῶν πολλῶν παρακλήσεων τῶν δεηθέντων ἐκκλησιαστικῆς περὶ τούτου οἰκονομίας τυχεῖν, δι' ἑπομένας ἀναγκαίας περιστάσεις, γράφομεν καὶ ἀποφαινόμεθα τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ χάριτι τοῦ παναγίου Πνεύματος, ἵνα συντελεσθῇ τὸ συνοικέσιον αὐτὸ ἀνεμποδίστως καὶ ἀναντιρρήτως, καὶ ἔχῃ πᾶσαν ἄδειαν ἐξ ἀποφάσεως ὁ Παναγιώτης αὐτὸς στεφανωθῆναι τὴν Ἀννοῦκαν καὶ εὐλογηθῆναι αὐτοὺς κατὰ τὴν ἐκκλησιαστικὴν ἱερὰν ὑποτύπωσιν, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος ἐν βάρει ἀλύτου ἀφορισμοῦ· καὶ εἴη ὁ γάμος αὐτὸς εὐλογημένος ἀπὸ Θεοῦ καὶ συγκεχωρημένος καὶ πάσης μέμψεως ἀπηλλαγμένος, καὶ ἐλεύθερος καὶ ἀκαταιτίατος. Ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ πάντων ὑμῶν. ͵αψα΄. μὴν Νοέμβριος.

Σημ. Ἐξεδόθη εἰς Σμύρνην, ὡς ἐν τῷ κώδηκι τοῦ Κριτίου σημειοῦται, ἐξ οὗ καὶ μετεγράφη.

---

1. Joannes. 2. Sophoula, sister of Joannes: married to 3. Beglere. 4. Panaghioti, br. of Begler
|
5 Stavrinos, son of 1. { No 4 wants to marry No 6. } { Panaghioti Annouka }
|
6. Annouka, dr. of 4.

Panaghioti is brother-in-law to Annouka's great aunt

ΛΔʹ.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Πατριαρχικὴ ἐπιστολὴ καὶ συνοδικὴ πρὸς τὸν Οὐγγροβλαχίας ἀκυροῦσα τὴν διαθήκην τοῦ ποτὲ Πωγωνιανῆς Μαλαχίου ὡς παράνομον.

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε μητροπολῖτα Οὐγγροβλαχίας, ὑπέρτιμε καὶ ἔξαρχε Πλαγηνῶν, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ, χάρις εἴη σου τῇ ἱερότητι καὶ εἰρήνη ἀπὸ Θεοῦ. Ἐνταῦθα ἐνεχειρίσθη ἡμῖν τὸ πεμφθὲν παρὰ τῆς ἀρχιερωσύνης σου ἴσον τῆς διαθήκης τοῦ θανόντος ἀρχιεπισκόπου Πωγωνιανῆς Μαλαχίου, καὶ εἴδομεν τὰ ἐν αὐτῷ γεγραμμένα· δεῖ οὖν ἅπαντας γινώσκειν ὡς ἐκείνη, ὑπολαμβανομένη τισὶ τάχα διαθήκη, οὔτε διαθήκη ἐστὶν, οὔτε ἐνέργειαν ἔχει διαθήκης· ὅταν γὰρ ἡ διαθήκη γένηται κατὰ τὰς παραγγελίας τῶν ἱερῶν νόμων, καὶ τοὺς παρ' αὐτῶν δεδομένους κανόνας καὶ τύπους, τότε ὑπάρχει ἀληθὴς διαθήκη καὶ τὴν ἰδίαν ἔχει ἐνέργειαν· φασὶ τοιγαροῦν οἱ θεῖοι νόμοι ῥητῶς, ὅτι ὁ διατιθέμενος ὀφείλει ἔχειν ἐξουσίαν τοῦ διατίθεσθαι καὶ κατὰ νόμους διατίθεσθαι· ἄρα ὁ μὴ κατὰ νόμους διατιθέμενος, οὐ διατίθεται· οὔτε διαθήκη ἐστὶν ἡ παρ' αὐτοῦ τελεσθεῖσα, οὔτε δύναμιν ἔχει οὔτε ἐνέργειαν· καὶ πάλιν φασὶ, τότε τὰ ἐν τῇ διαθήκῃ ἀποτελέσματα τὸ εἶναι ἔχουσιν, ὅτε καὶ τὴν ἀρχὴν ἀνεπίψογον ἔχουσι· φησὶ γὰρ τὸ τέλος ἀνταποκρίνεται τῇ ἀρχῇ, ἐξ ἧς κατάγεται καὶ τῆς αὐτῆς ὑπάρχει φύσεως, ἕξεως τε καὶ δυνάμεως, καὶ ἀληθές ἐστι τὸ λεγόμενον τῆς κακῆς ἀρχῆς καὶ τὸ τέλος κάκιστον, καὶ οὐ μὴν μόνον τὸ τέλος φημὶ, ἀλλ' ἐξ ὁλοκλήρου ὡς εἰπεῖν τὸ σύνολον, καθὼς που καὶ ὁ οὐρανοφάντωρ ἀποφαινόμενος φησίν· οὗ ἡ ἀρχὴ ἀδόκιμος καὶ τὸ πᾶν

ἀβέβαιον, διὸ καὶ κατὰ διαφόρους καιροὺς οἱ φιλευσεβεῖς νόμοι τὰς κακοτρόπως παρὰ κανόνας τε καὶ ἔξω τῶν διωρισμένων τύπων γινομένας διαθήκας ἀνατρέπουσιν ἀποτόμως καὶ ῥηγνύουσι, καὶ ἀκυροῦσι διόλου καὶ ἀπορραπίζουσιν, ὅτι δὲ ἡ φαινομένη αὕτη διαθήκη τοῦ ποτὲ Πωγωνιανῆς Μαλαχίου, κατεγνωσμένη ἐστὶ καὶ ἀσύστατος διαμπάξ, ματαία τε καὶ εἰς οὐδὲν λογιζομένη, δῆλόν ἐστι καὶ ἀναμφίβολον τοῖς νοῦν ἔχουσιν. Ἐπειδὴ οὐ γέγονε κατὰ τὴν [διευθέτησιν]* τῶν ἱερῶν νόμων, καθὼς φαίνονται παρὰ ταῖς σεπταῖς νομοθεσίαις κείμενα τὰ περιστατικὰ κατ' εἶδος καὶ κατ' ὄνομα, ἐκεῖνα δι' ὧν κατασκευάζεται ἡ ἀληθὴς καὶ νόμιμος διαθήκη**, ἐκεῖνα δὲ γεγονυῖα, πάντως ὡς οὐδὲ γεγονυῖα λογίζεται· τὰ γὰρ συστατικὰ παντὸς τινὸς πράγματος εἰσαγόμενα μὲν συνεισάγουσι τὸ εἶδος, ἀναιρούμενα δὲ συναναιροῦσιν ἐκεῖνα ἀναμφιβόλως· οὐ γέγονε δὲ φημὶ κατὰ νόμους ἡ ψευδοσχεδιασθεῖσα ἐκείνη διαθήκη τοῦ Μαλαχίου, ὅτι οἱ θεῖοι νόμοι πρὸς τοῖς ἄλλοις καὶ τοῦτο διαγορεύουσι μεθ' ὅσης ἀσφαλείας, ὅπως ὅταν ὁ διατιθέμενος παραβλέψῃ τὸν γνήσιον καὶ καθολικὸν αὐτοῦ κληρονόμον, καὶ μὴ μνησθῇ ἐκείνου εἰς τὴν διαθήκην, καὶ μὴ γράψῃ περὶ ἐκείνου ὅπως λάβῃ τὸ κατὰ νόμους ἀνῆκον αὐτῷ μερίδιον, ἄκυρος μένῃ ἡ διαθήκη ὡς ἀσύστατος, καὶ παρέχουσιν ἄδειαν τῷ κληρονόμῳ διαρρῆξαι τὴν τοιαύτην διαθήκην, καὶ ὡς ἀχρείαν ἀπορρίψαι· κληρονόμος οὖν καθολικῷ τρόπῳ καὶ δικαιοδοσίᾳ κρείττονι τῶν τελευτώντων ἀρχιερέων ὑπάρχει ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία ὡς κεφαλὴ καὶ κορωνὶς, δέσποινά τε κυρίως καὶ πλουτοδότις, καὶ ἐν δαψιλείᾳ χορηγὸς ἁπαξαπάντων πνευματικῶν καὶ σωματικῶν ἀγαθῶν πᾶσι τοῖς τροφίμοις αὐτοῖς, ὅσοι κατὰ διαφόρους βαθμοὺς καὶ τάξεις ὑποτελοῦσιν αὐτῇ καὶ ἐξ αὐτῆς περιθάλπονται, ἐξ ἧς καὶ οἱ τελευτήσαντες ἀρχιερεῖς ἔλαβον καὶ τὸν πνευματικὸν καὶ τὸν σωματικὸν πλοῦτον, τὴν ἀρχιερατικὴν ἀξίαν φημὶ

* δυσξύμβλητος ἡ λέξις ἐν τῷ κώδηκι.

** ἐλλείπει λέξις ἐν τῷ κώδηκι.

καὶ τὰς ἐπαρχίας, ἐξ ὧν καὶ ἐδοξάσθησαν καὶ ἐπλουτίσθησαν· ἐκεῖνος γὰρ ὁ καλὸς Μαλαχίας πόθεν ἔλαβε τὸν πλοῦτον καὶ τὰ χρήματα ταῦτα, ἅπερ ὡς ἰδιόκτητα διανέμει ἔνθεν κἀκεῖθεν; οὔτε ἀπὸ κληρονομίας τῶν γονέων αὐτοῦ δήπουθεν ἐκτήσατο, οὔτε ἐξ ἰδίας ἐμπορίας συνῆξεν, ἀλλ' ἐκ τῶν ἐκκλησιαστικῶν εἰσοδημάτων πεπλούτηκεν· εἶτα τὴν πλουτοδότιδα καὶ εὐεργέτιδα αὐτοῦ καὶ δέσποιναν ἀγνωμόνως ἀποστραφεὶς οὐδόλως ἐμνήσθη εἰς τὴν ψευδοδιαθήκην αὐτοῦ, ἀλλὰ ἀπόκληρον τὴν κυρίως κληρονόμον ἀπέδειξε· διὸ κατὰ τοὺς θείους νόμους οὐκ ἔστι διαθήκη, οὐκ ἔστι τὸ ἀπονενοημένον αὐτοῦ γράμμα καὶ ἀσύστατον, ἀλλὰ λῆρός τις μακρὸς καὶ ματαιολογία, σαθρὸν τὸ θεμέλιον ἐσχηκώς· καὶ γὰρ οἱ θεῖοι νόμοι φασὶ διοριζόμενοι τὴν διαθήκην· διαθήκη ἐστὶ δικαία βούλησις, ὧν τις θέλει μετὰ θάνατον αὐτοῦ γενέσθαι, ὥστε δῆλόν ἐστιν ὅτι τὸ θεμέλιον τῆς διαθήκης, ἡ δικαία βούλησις ὑπάρχει· ἄρα ὅπου ἡ βούλησις οὐκ ἔστι δικαία, οὔτε διαθήκη ἐστί· ποῦ γοῦν φαίνεται ἡ δικαία βούλησις τοῦ Μαλαχίου ἐν τῷ ψευδογράμματι ἐκείνῳ, ὅπου γε αὐτὸς ἀδικεῖ προφανῶς τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν κληρονόμον οὖσαν καθολικήν, καὶ ποιεῖ ταύτην ἀπόκληρον μετὰ πολλῆς ἀπονοίας καὶ ἀχαριστίας ὁ δείλαιος, καὶ τῆς ἐκκλησιαστικῆς τάξεως καταφρονεῖ, ἥτις ἄνωθεν ἐπικρατεῖ καὶ ἀδιακόπως ἐνεργεῖται, ἥνπερ καὶ ἡ κραταιὰ βασιλεία ἐπιβεβαιοῖ διὰ τοῦ βασιλικοῦ αὐτῆς μπερατίου· ἀλλ' οὐδὲ τῆς ἱερᾶς ἐπισκοπῆς ἐφρόντισεν αὐτὸς ὁ κὺρ Μαλαχίας, οὔτε κἂν μικρὸν λεγᾶτον ἀφῆκεν αὐτῇ, ἐξ ὧν ἀπέλαβεν αὐτῶν ἐκείνης προσόδων, καὶ ἐπλουτίσθη καὶ χρεώστης ὑπάρχει τῆς καταλλήλου ἀνταμοιβῆς, ἀλλ' ὡσανεί τε ἀλλότριος, ὅστις οὐδέποτε εἶδεν ἐκείνην, οὔτε ψυχροῦ ὕδατος ἐξ ἐκείνης ποτήριον ἔπιεν, οὕτως ἀπὸ τῆς αὐτοῦ μνήμης εἰς βάθος σκότους ἀπέρριψεν ἐκείνην. Τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἐκείνη μὲν ἡ φαινομένη καὶ φανταζομένη παρά τισι διαθήκη τοῦ ἀρχιεπισκόπου Πωγωνιανῆς Μα-

λαχίου ἄκυρος ὑπάρχῃ διόλου, καὶ ἀνίσχυρος, καὶ οὐδὲν λογιζομένη, ὡς παράλογος, καὶ ἀσύστατος, καὶ παρὰ τοῖς ἱεροῖς νόμοις διαβεβλημένη, καὶ ἐπίμωμος, καὶ ἐπίψογος, ἡ δὲ ἀρχιερωσύνη σου φροντίσῃς τῆς ὑποθέσεως ὡς μελεδωνὸς καὶ ἐπιστάτης διὰ προτροπῆς ἡμετέρας συνοδικῆς, ὅπως τὰ μὲν ἀρχιερατικὰ ἄμφια ἐκείνου τοῦ Μαλαχίου καὶ τὰ χρυσόβουλλα ἐγχειρισθῶσι τῷ νῦν ἀρχιεπισκόπῳ Πωγωνιανῆς ἐπὶ τῷ ἀποκομισθῆναι δι' αὐτοῦ εἰς τὴν ἀρχιεπισκοπὴν, τὰ δὲ ἄλλα χρήματα καὶ κτήματα ἐκείνου καὶ τὰ σεπέτια πέμψητε τὴν ταχίστην ἐνταῦθα πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν ἐξ ἀποφάσεως, ἐπὶ τῷ διοικηθῆναι ἐκκλησιαστικῶς κατὰ τὴν τάξιν τῆς Ἐκκλησίας· ὅσοι δ' ἂν φανῶσιν ἐναντίοι τῇ ἐκκλησιαστικῇ ταύτῃ ἀποφάσει ἀφωρισμένοι εἴησαν (κτλ. ὡς συνήθως).

Σημ. Πιθανῶς τῷ 1700 ἢ 1701 ἐξεδόθη, καθ' ἣν κεῖται τάξιν ἐν τῷ κώδηκι τοῦ Κριτίου ἡ ἐπιστολὴ αὕτη, ἐξ οὗ καὶ μετεγράφη.

ΛΕ'.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Ἐπειδὴ τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν ἐνδημούντων ἐν Κωνσταντινουπόλει ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, προεβλήθη παρά τινων εὐλαβῶν χριστιανῶν ἐρώτησις, λεγόντων ἐν ἀμφισβητήσει μή τις ἄρα τυγχάνει ἁμαρτία ἐν τῷ βουληθῆναί τινα χριστιανὸν μικράν που κειμένην ἐκκλησίαν ἀνασκευάσαι, καὶ μετοικοδομῆ-

σαι μείζονα καὶ εὐρυχωροτέραν, ὥστε χωρεῖν ἐν αὐτῇ πλείονας τοὺς συνερχομένους χριστιανοὺς καὶ ἐκκλησιαζομένους, παρρησιαστικωτέραν τε γίνεσθαι τὴν συνέλευσιν αὐτῶν, καὶ τὴν τῶν ἱερῶν ἀκολουθιῶν τελετὴν εἰς δόξαν καὶ αἶνον Θεοῦ· τούτου χάριν, δι' ἐπαίνου τιθέμενοι τὴν εὐλάβειαν αὐτῶν, καὶ τὴν προσοχὴν, καὶ συντήρησιν, γράφομεν καὶ συνοδικῶς λύοντες τὴν ἀμφιβολίαν αὐτῶν, ἀποφαινόμεθα μεθ' ὅσης πληροφορίας ἐν προηγουμένῃ τῇ ἀληθείᾳ, ὅτι μηδεὶς μηδαμῶς ἀμφισβητήσῃ περὶ τούτου καὶ ἁμαρτίαν νομίσῃ τὸ ἀπὸ μικροτέρας ἐκκλησίας τὴν αὐτὴν εἰς μείζονα μετασκευάσαι, ἀλλὰ μάλιστα ἔργον εὐσεβέστατον καὶ πόθον θεῖον ψυχῆς ἀναπτερουμένης ἔρωτι θείῳ καὶ τὸ καλὸν κάλλιον ἀποτελέσαι ποθούσης εἰς δόξαν Θεοῦ, παρ' οὗ καὶ μείζονας ἕξει τοὺς μισθοὺς, καὶ χάριν θείαν καὶ δόξαν οὐράνιον· καὶ γὰρ τοὺς δοξάζοντάς με δοξάσω, φησὶν ὁ Κύριος· οὗ ἕνεκα καὶ πολλοὶ τῶν ἀρχαίων εὐσεβῶν βασιλέων καὶ κατὰ τόπους ἀρχηγῶν καὶ μεγιστάνων, τὸ τοιοῦτο ἐπετέλεσαν θεάρεστον ἔργον καὶ εὐηρέστησαν περὶ τούτου Θεῷ τε καὶ ἀνθρώποις, καὶ ἐφημίσθησαν, καὶ τὸ μνημόσυνον αἰώνιον αἰωνίως ᾀδόμενον ἐκτήσαντο· ἀλλὰ καὶ οἱ προγενέστεροι κτίτορες τῆς προκαταρχθείσης δηλαδὴ μικροτέρας ἐκείνης ἐκκλησίας οὔκουν ἀποστεροῦνται τοῦ μνημοσύνου καὶ τῶν μικρῶν ἐκείνων ὡς ἐν τῷ αὐτῷ θεμελίῳ, ὅπερ ἐκεῖνοι κατεβάλοντο διὰ δόξαν Θεοῦ, οἱ μεταγενέστεροι τὴν οἰκοδομὴν κατηρτίσαντο, καὶ οὐδεμία προκύπτει διάστασις μεταξὺ τῶν προτέρων καὶ ὑστέρων κτιτόρων, ἀλλ' ἡ ἑννοποιὸς* τοῦ Πνεύματος χάρις καὶ δύναμις, ἅμα συνάπτουσα τὴν ἀρχὴν καὶ τὸ τέλος, μίαν καὶ τὴν αὐτὴν ἀναδείκνυσιν ἐκκλησίαν, καὶ ἐξίσου τούς τε προτέρους καὶ τοὺς ὑστέρους κτίτορας αὐτῆς ἐπιγράφει, ὁμοίως τῆς τιμῆς καὶ δόξης ἀξιοῖ καὶ τῆς παρὰ Θεοῦ ἀντιμισθίας. Ὅθεν καὶ εὐλογημένους ἔχομεν παρὰ Θεοῦ καὶ συγκεχωρημένους ὁμοίως τούς τε προτέρους καὶ ὑστέρους κτίτορας τῆς αὐτῆς ἐκκλησίας, καὶ ὅσοι ἄλλοι ποθοῦσι τοιοῦτον ἔργον

* Οὕτως ἐν τῷ κώδηκι· μή τοι ἑνοποιός;

ποιῆσαι παρὰ Θεῷ καὶ ἀνθρώποις ἐπαινετὸν, μηδαμῶς ἀμφιβολίαν ἔξωσί τινα, ἀλλ' ἐν πληροφορίᾳ δουλεύσωσι τῷ Θεῷ τοῖς ἰδίοις πόνοις, καὶ ἀπολαύσωσι τοὺς μισθοὺς ἐκ Θεοῦ ἑκατονταπλασίονας, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξιωθήσονται· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ τῷ Κυρίῳ· Ἀμήν.

,αχγγ'. Ἀπριλλίῳ. Ἰνδικτιῶνος α'.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου, σελ. 564—565.

ΛϚ'.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

Περὶ τοῦ ἱεροῦ μυστηρίου τῆς θείας εὐχαριστίας εἴτουν μετουσιώσεως.

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Ἁπλοῦς ὁ λόγος ἔφυ τῆς ἀληθείας, καὶ τεχνικῆς οὐ δεῖται κομψότητος, οἴκοθεν γὰρ ἔχει τὴν ἰδίαν δύναμιν, καὶ ἐνέργειαν· ἔνθεν τοι χρείας ἤδη κατεπειγούσης, εἰς τὸ φανερωθῆναι τὴν περὶ τοῦ προκειμένου ἀλήθειαν πάσης τερθρείας τῆς ἐν λόγοις ἀποκλίναντες, ἁπλῇ τῇ λέξει, καὶ ὑγιεῖ τῷ νοήματι τὴν ἀλήθειαν ἔγνωμεν παραστῆσαι προοδοποιοῦσαν ἄνωθεν τῆς θείας χάριτος. Ἐπειδὴ τοιγαροῦν καὶ ἡ ἁγία καὶ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία, ἀπὸ τοῦ καιροῦ τῶν ἁγίων ἀποστόλων, καὶ καθ' ἑξῆς ἄχρις ἡμῶν, κατὰ τὴν παράδοσιν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ καὶ Θεοῦ, ἐπίστευσε καὶ φρονεῖ περὶ τοῦ ἁγιωτάτου μυστηρίου τῆς εὐχαριστίας, παρεῖναι ἐν αὐτῷ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀληθῶς καὶ πραγματικῶς, ὥστε δηλονότι μετὰ τὸν ἁγιασμὸν τοῦ ἄρτου καὶ τοῦ οἴνου μεταποιεῖσθαι καὶ μεταβάλλε-

σθαι τὸν μὲν ἄρτον, εἰς αὐτὸ τὸ ἀληθὲς καὶ ἐκ τῆς παρθένου γεννηθὲν σῶμα τοῦ Χριστοῦ, τὸν δὲ οἶνον εἰς αὐτὸ τὸ ἀληθὲς καὶ ἐπὶ τοῦ σταυροῦ ἐκχυθὲν τοῦ αὐτοῦ Κυρίου καὶ Σωτῆρος Θεοῦ αἷμα, καὶ οὐκέτι μένειν τὴν οὐσίαν τοῦ ἄρτου καὶ τοῦ οἴνου ἀλλ' εἶναι ἀληθῶς καὶ πραγματικῶς, αὐτὸ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου ἐν τοῖς φαινομένοις εἴδεσι τοῦ ἄρτου καὶ τοῦ οἴνου, προσέτι καὶ ἐν ἑκάστῃ μερίδι τοῦ ἁγιασθέντος ἄρτου καὶ οἴνου, μὴ εἶναι μέρος τοῦ σώματος, καὶ τοῦ αἵματος τοῦ Χριστοῦ, ἀλλ' ὅλον ὁλικῶς τὸν Δεσπότην Χριστὸν κατ' οὐσίαν, μετὰ ψυχῆς δηλονότι καὶ θεότητος, ἤτοι τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον· τὸ αὐτὸ γὰρ σῶμα τοῦ Χριστοῦ ὑπάρχει καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν τῷ μυστηρίῳ τῆς εὐχαριστίας, οὐχ ὅτι ἐκεῖνο κατέρχεται ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος καὶ ὁ οἶνος μεταβάλλονται εἰς αὐτὸ τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου οὐσιωδῶς, καὶ πάρεστι τὸ δεσποτικὸν σῶμα καὶ αἷμα, ἀληθείᾳ καὶ πράγματι ἐν τῷ μυστηρίῳ ἀοράτως, ὅθεν καὶ πολλῶν γινομένων ἐν τῇ οἰκουμένῃ ἱερουργιῶν, μὴ γίνεσθαι Χριστοὺς πολλοὺς καὶ πολλὰ σώματα Χριστοῦ, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Χριστὸν παρεῖναι ὡς εἴρηται, ἀληθῶς καὶ πραγματικῶς ἐν πάσαις ταῖς κατὰ μέρος τῶν πιστῶν ἐκκλησίαις, καὶ ἓν εἶναι τὸ σῶμα αὐτοῦ καὶ τὸ αἷμα αὐτοῦ οὐσιωδῶς ἐν πολλοῖς τόποις, καὶ οὐ πολλά, πιστευόμενόν τε καὶ λατρευτικῶς προσκυνούμενον· αὐτόχρημα καὶ γὰρ τὸ τεθεωμένον ἐκεῖνο δεσποτικὸν σῶμα πάρεστιν, ὅτου χάριν λατρεία τε κέκληται καὶ λατρευτικῶς προσκυνεῖται· καὶ μεταδίδοσθαι τὸ αὐτὸ σῶμα καὶ αἷμα πᾶσι τοῖς προσιοῦσι καὶ μεταλαμβάνουσιν, ἱερωμένοις καὶ λαϊκοῖς, δι' ἀμφοτέρων τῶν εἰδῶν, πλὴν τοῖς μὲν εὐσεβέσι καὶ ἀξίοις ἄφεσιν ἁμαρτιῶν, καὶ ἁγιασμόν, καὶ ζωὴν αἰώνιον προξενεῖν, τοῖς δὲ ἀσεβῶς καὶ ἀναξίως λαμβάνουσιν αὐτὸ γίνεσθαι εἰς κατάκρισιν καὶ κόλασιν αἰώνιον. Ἀλλὰ πολλῶν αἱρετικῶν κατὰ καιροὺς ἀναφανέντων καὶ ἀρνουμένων τὴν ἐν τῷ μυστηρίῳ οὐσιώδη καὶ πραγματικὴν μεταβολὴν τοῦ ἄρτου καὶ τοῦ οἴνου εἰς τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου, καὶ τῶν ἱερῶν διδασκάλων τῆς

Ἐκκλησίας κατ' αὐτῶν ὡς τὸ εἰκὸς ἀγωνισαμένων, καὶ αὖθις τῶν αἱρετικῶν ὁμωνυμίαις καὶ σοφίσμασι χρωμένων, πρὸς ἀπάτην τῶν ἁπλουστέρων, ἡ Ἐκκλησία τέλος πάντων, πρὸς σαφεστέραν παράστασιν τῆς ἐν τῷ μυστηρίῳ ἀληθείας, κατὰ τὴν ἰδίαν αὐτῆς ἐξουσίαν, καὶ συνήθειαν, τῇ ὑφηγήσει τοῦ παναγίου Πνεύματος ἐχρήσατο λέξιν τὴν μετουσίωσιν, οὐκ ἄλλο τι δηλοῦσα δι' αὐτῆς, ἀλλ' αὐτὸ ἐκεῖνο, ὅπερ καὶ ἡ μεταβολὴ ἐν τῷ μυστηρίῳ παρίστησιν, ἐχρήσατο, καὶ ταύτῃ ἀπήλλακται τῶν ὁμωνυμιῶν, καὶ ὑπέρκειται πάντων τῶν κατὰ τοῦ μυστηρίου αἱρετικῶν σοφισμάτων, οὐκ ἐκ τῶν Λατίνων δανεισθεῖσα ταύτην, ἀλλ' ἐξ ἐκείνων [τῶν] γνησίων ὀρθοδόξων διδασκάλων πλουτήσασα, πρὸ χρόνων πολυαριθμήτων, ὡς πάρεστιν ἰδίως ἀπὸ τῶν συγγραμμάτων ἐκείνων, τοῦ ὑπερασπιστοῦ τῆς εὐσεβείας κὺρ Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως, ἐνώπιον βασιλέων ὀρθοδόξων καὶ πατριαρχῶν εὐσεβῶν καὶ τῆς ἱερᾶς συγκλήτου, καὶ διδασκάλων τῆς καθ' ἡμᾶς Ἐκκλησίας διὰ τῆς αὐτῆς λέξεως, ὡς προεγνωσμένης καὶ ἀποδεχομένης ὑπὸ τῆς Ἐκκλησίας, ἐναγωνισαμένου, περὶ τοῦ ἱεροῦ μυστηρίου, ἥν τινα λέξιν ἔκτοτε ἀδιστάκτως πρεσβεύει ἀπὸ περάτων ἕως περάτων, καὶ οὐδεὶς ἀντιφερόμενος ἐφάνη τῇ χρήσει ταύτῃ τῆς Ἐκκλησίας, πλὴν τῶν αἱρετικῶν, ἀλλὰ πάντες, μιᾷ συρροίᾳ καὶ συμπνοίᾳ τοῦ ἁγίου Πνεύματος, μέχρι τῆς δεῦρο συνομολογοῦσί τε καὶ διδάσκουσι ταύτην ἀνενδοιάστως, εἰλικρινεῖ καὶ εὐσεβεῖ τῇ συνειδήσει· καὶ τοῦτο δῆλόν που καὶ αὐτόπιστον ἐκ τῶν πολλῶν καὶ διαφόρων συγγραμμάτων, τῶν μεθύστερων σοφῶν καὶ ἐπισήμων διδασκάλων τῆς Ἐκκλησίας Μαξίμου τοῦ Μουργουνίου ἐπισκόπου Κυθήρων, Μελετίου τοῦ Πηγᾶ πατριάρχου Ἀλεξανδρείας, Γαβριὴλ τοῦ Φιλαδελφείας, Γεωργίου τοῦ Κορεσίου καὶ θεολόγου τῆς Ἐκκλησίας, καὶ Νεκταρίου Ἱεροσολύμων πατριάρχου, καὶ ἄλλων ἐγκρίτων διδασκάλων, οὓς ὀνομαστὶ καταλέγειν διὰ τὸ πλῆθος παραιτούμεθα· ἐφ' οἷς, καὶ τὰ παρὰ τοῦ μακαρίτου διδασκάλου τῆς Ἐκκλησίας Μελετίου τοῦ Συρίγου διαπονηθέντα βιβλία κατὰ ταῦτα τρανοποιοῦσι τὴν αὐτὴν λέξιν καὶ τὴν δι' αὐτοῦ

διδασκομένην ἔννοιαν, τό τε ἐπιγραφόμενον δηλ. Ὀρθόδοξος Ὁμολογία, ὅπερ καὶ ὑπὸ τῆς ἱερᾶς συνόδου τοῦ Οἰκουμενικοῦ Θρόνου κεκύρωται, συναινούντων καὶ τῶν λοιπῶν ἁγιωτάτων πατριαρχῶν συναποφηναμένων τε καὶ συνεπισφραγισαμένων ταῖς ἰδίαις ὑπογραφαῖς, καὶ ὑπ' Ἐκκλησίας κεκήρυκται τὸ ὀρθόδοξον ἔχον καὶ ἀνεπίληπτον, ὡσαύτως καὶ ἕτερον τοῦ αὐτοῦ, ὅπερ ἀντίρρησιν διεξοδικωτάτην περιέχει κατὰ τῶν κυριλλωνύμων κεφαλαίων καὶ ἁπλῶς κατὰ τῆς τῶν Καλουίνων αἱρέσεως· νῦν δὲ οὐκ οἶδ' ὅπως ἐνεφανίσθησαν σχέδιά τινα ἐν προσχήματι μὲν δοκοῦντα μάχεσθαι τῇ λέξει τῆς μετουσιώσεως, ὡς δῆθεν καινῇ καὶ μὴ ἀρχαίᾳ οὔσῃ, τῇ ἀληθείᾳ δὲ στρατεύονται κατ' αὐτῆς τῆς ὁλοκληρίας τοῦ μυστηρίου, καθότι ἀρνοῦνται, εἰ καὶ ὑποκεκαλυμμένως, τὴν πραγματικὴν καὶ οὐσιώδη τοῦ Σωτῆρος ἐν αὐτῷ παρουσίαν· εἰ γὰρ καὶ λέγουσι τὰ τετράδια ταῦτα μεταβολήν, καὶ πραγματικὴν καὶ ἀληθινὴν ταύτην ὀνομάζουσιν, ἀλλὰ διὰ τῶν ἐν αὐτοῖς ἐμφαινομένων σοφισμάτων καὶ ὑποκρίσεων ἐκ μέσου ποιοῦνται τὴν κυρίως ὑπὸ τῶν ὀρθοδόξων ὁμολογουμένην καὶ πιστευομένην εὐσεβῶς μεταβολήν, καὶ ἄλλως ἢ ὡς ἔχει ἡ δόξα τῆς Ἐκκλησίας ταύτην ἑρμηνεύουσιν· οὐ συνάγεται καὶ γὰρ δι' αὐτῶν τὸ ἀληθινὸν τοῦ Χριστοῦ κατ' οὐσίαν σῶμα καὶ αἷμα τὸν ὁρώμενον καὶ ἐσθιόμενον ἄρτον καὶ οἶνον ἤδη ἁγιασθέντα, ἀλλὰ τὸν νοούμενον πνευματικῶς, ἢ μᾶλλον εἰπεῖν φανταζόμενον, ὅπερ πάσης ἀσεβείας ἀνάπλεον, ὡς ἡ ἐπὶ Παρθενίου τοῦ Γέροντος πατριάρχου Κωνσταντινουπόλεως κατὰ τῆς τοιαύτης αἱρετικῆς δόξης συγκροτηθεῖσα σύνοδος ταῖς αὐταῖς λέξεσι τὴν βλασφημίαν ταύτην ἐστηλίτευσε. Τούτου χάριν ἡ μετριότης ἡμῶν συνοδικῶς διασκεψαμένη μετὰ τοῦ ἁγιωτάτου πατριάρχου τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης κυρίου Δοσιθέου, καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι πάντων ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ τιμιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ εὐγενεστάτων ἀρχόντων τῆς πολιτείας, καὶ λοιπῶν ἐλλογίμων ἀνδρῶν, καὶ σπουδῇ γραμ-

μάτων ἐγγυμνασθέντων ἐγκρίτων τε χριστιανῶν καὶ ὀρθοδόξων εὐσεβῶν, περὶ τῆς ὑποθέσεως ταύτης, καὶ τὸ ὀρθόδοξον τῆς Ἐκκλησίας φρόνημα συστῆσαι προνοηθέντες, συνομολογοῦμεν τὴν λέξιν ταύτην, ἤτοι τὴν μετουσίωσιν μήτε ἀλλοτρίαν εἶναι, μήτε ἑτεροδίδακτον, μήτε εἰσφρήσασαν εἰς τὴν Ἀνατολικὴν Ἐκκλησίαν κακοδόξως ἔκ τινων ἑτεροδόξων, ἀλλ' οἰκείαν καὶ γνησίαν τῆς καθ' ἡμᾶς διδασκαλίας, καὶ ὑπὸ τῶν εὐσεβῶν διδασκάλων τῆς Ἐκκλησίας ὀρθοδόξως γραφεῖσαν καὶ ἐκφωνηθεῖσαν, μήτε ἀπάδουσαν τῇ δόξῃ τῆς Ἐκκλησίας, ὡς παρεξηγοῦσι τὰ εἰρημένα τετράδια, μήτε διαφέρουσαν τῆς πρεσβευομένης ἐν τοῖς μυστηρίοις μεταβολῆς, μήτε παρηλλαγμένον φύουσαν νόημα ταύτης· εἰ γὰρ ἐναλλαγὴν καὶ διαφορὰν ἐποίει τοῦ νοήματος, οὐκ ἂν οἱ ὀρθόδοξοι ταύτην διδάσκαλοι, σοφοὶ καὶ ἐπιστήμονες ὄντες καὶ καλῶς εἰδότες διακρίνειν τὰ πράγματα, ὡς ἀδιάφορον τέως ἐδέχοντο καὶ ταὐτοδύναμον τῇ μεταβολῇ, μάλιστα δὲ περιαιροῦντες, ὡς εἴρηται, ἀπὸ τῆς τοῦ ἱεροῦ μυστηρίου διδασκαλίας, πᾶσαν αἱρετικῶν κακουργίαν καὶ φαλτορρημοσύνην, καὶ ὕπουλον κακόνοιαν καὶ κακοδοξίαν καὶ συγγραφήν, ταύτην τὴν λέξιν ὡς ἀποσοβοῦσαν τὰ συρρετώδη τῶν κακοδόξων διδάγματα καὶ ἐπιστομίζουσαν τοὺς αἱρεσιῶντας διὰ τῆς ἄνωθεν τοῦ Πνεύματος συναντιλήψεως ἐπὶ τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν, ἐξέδωκαν ἀριδηλότερον καὶ πασιφανέστερον τὴν περὶ τοῦ μυστηρίου δόξαν τῆς καθολικῆς Ἐκκλησίας διατρανῶσαι βουλόμενοι. Ἀνθ' ὧν καὶ ἀποδεχόμεθα ταύτην, καὶ διαβεβαιοῦμεν ὡς εὐσεβοφρόνως νοοῦμέν τε καὶ διδάσκομεν, πιστεύοντες ἀδιστάκτως, ὅτι ὁ προκείμενος ἐν τῷ θυσιαστηρίῳ ἄρτος καὶ ὁ οἶνος μεταβάλλονται κατ' οὐσίαν μετὰ τὰ κυριακὰ λόγια καὶ τὸν ἁγιασμὸν εἰς αὐτὸ ἐκεῖνο τὸ ἀληθὲς σῶμα καὶ αἷμα τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καθάπερ πλατύτερον ἀνωτέρω εἰρήκαμεν, καὶ τοῦτο αὐτὸ εἶναι τὸ σημαινόμενον ὑπὸ τῆς μετουσιώσεως, καὶ οὐδὲν ἄλλο παρηλλαγμένον τῆς ἀρχαίας δόξης τῆς ἁγίας ἡμῶν Ἐκκλησίας· τὰ δὲ ὁπωσδήποτε ἀναφανέντα τετράδια ὡς ὕπουλα καὶ ἐν ὑποκρίσει τὴν αὐτὴν δόξαν τῆς Ἐκκλησίας

παραβλάπτοντα διόλου ἀνατρέπομεν, καὶ ἀποβάλλομεν, καὶ μακρὰν ἀποπέμπομεν τῆς ὀρθοδόξου ἡμῶν Ἐκκλησίας, καὶ ἀκυροῦμεν ταῦτα, καὶ ἄπρακτα καὶ ἀνίσχυρα καθιστῶμεν, καὶ πάντας τοὺς ὀρθοδόξους ἀποτρέπομεν τοῦ ἀποδέχεσθαι ταῦτα καὶ τἀναντία φρονεῖν διὰ τῆς αὐτῆς διδασκαλίας τῇ εὐσεβεῖ δόξῃ τῆς Ἐκκλησίας καὶ διισχυρίζεσθαι καὶ δεφεντεύειν αὐτὰ κακοδόξως καὶ κακοτρόπως. καὶ διακελευόμεθα μηδένα τῶν χριστιανῶν ἄδειαν ἔχειν ἀνὰ χεῖρας λαμβάνειν τὰ τοιαῦτα, καὶ ἀναγινώσκειν καθ' ἑαυτὸν, καὶ ἑτέρους διδάσκειν τὰ αὐτὰ παντάπασιν· ἀλλὰ εἰς τοὐπιὸν, ὅσοι ἂν ὀψέποτε ἀναφανεῖεν φρονοῦντες ἢ λέγοντες ἢ γράφοντες τὰ αὐτὰ καὶ ἑτέρους διδάσκοντες, κοινῶς ἢ ἰδίως, ἢ ἀρχιερεῖς ὄντες, εἴτε ἱερεῖς καὶ ἱερομόναχοι, ἢ ἱεροδιάκονοι, ἢ κληρικοὶ καὶ ὀφφικιάλιοι τῆς καθολικῆς Ἐκκλησίας, οἱ τοιοῦτοι παραχρῆμα χωρίς τινος ἀνακρίσεως καὶ ἀναψηλαφισμοῦ καὶ ἀναβολῆς καθυποβάλλεσθαι ταῖς ἐκκλησιαστικαῖς ποιναῖς ἀποτόμως, καὶ ἀνυπερθέτως ἐκπίπτειν τῶν ὧν ἔλαχον βαθμῶν καὶ τάξεων, συνοδικῇ καθαιρέσει ἀπορραπίζεσθαι τοῦ ἐκκλησιαστικοῦ πληρώματος διὰ κοινῆς ἀποκηρύξεως καὶ δημοσίας τοῦ ἀναθέματος ἐκφωνήσεως· κοινολαῖται δέ τινες ὄντες καὶ ἁπλῶς τῆς κοσμικῆς τάξεως, τῷ ἀναθέματι καταδικάζεσθαι, καὶ παραπέμπεσθαι τῇ ἀπωλείᾳ καὶ καταδίκῃ τοῦ αἰωνίου πυρός. Ὅσοι δ' ἀποτολμήσωσι παραβᾶται φανῆναι ταύτης τῆς συνοδικῆς καὶ ἐκκλησιαστικῆς ὀρθοδόξου ἀποφάσεως, ἀντέχεσθαι δὲ βουληθῶσι τῶν ἀποβληθέντων αὐτῶν καὶ ἀποδοκιμασθέντων τετραδίων, ἀπέναντι τῆς καθολικῆς ὀρθοδόξου Ἐκκλησίας, καὶ τοῖς ταὐτὰ φρονοῦσι χαρίζεσθαι καὶ διεκδικεῖν πως, καὶ συντρέχειν καὶ βοηθεῖν λόγοις ἢ ἔργοις, ἱερωμένοι ὄντες καθ'ὁποιονοῦν βαθμὸν καὶ τάξιν ἢ καὶ λαϊκοὶ παντοίας καταστάσεως ἀπὸ μικροῦ ἕως μεγάλου ἀφωρισμένοι εἴησαν ἀπὸ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένοι, καὶ ἀσυγχώρητοι, καὶ ἄλυτοι μετὰ θάνατον καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ ἡ μερὶς αὐτῶν εἴη μετὰ τοῦ προδότου Ἰούδα καὶ τῶν ἐξ ἀρχῆς ἀναφανέντων αἱρεσιαρχῶν καὶ τὴν Ἐκκλησίαν

τοῦ Χριστοῦ συνδιαταραξάντων καὶ αὐτῶν τῶν σταυρωσάντων τὸν Κύριον, καὶ ἔνοχοι τοῦ πυρὸς τῆς γεέννης, ταῖς τε πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνοι, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι. Ὅθεν εἰς ἔνδειξιν καὶ παράστασιν τῆς ὀρθοδόξου ἡμῶν ὁμολογίας περὶ τοῦ σεπτοῦ καὶ σωτηριώδους μυστηρίου τῆς εὐχαριστίας καὶ τῆς ὀρθῶς καὶ ἀνεπιλήπτως διδασκούσης ταύτην λέξεως τῆς διαληφθείσης μετουσιώσεως ἐγράφη καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν καὶ συστατικὸν γράμμα κατησφαλισμένον συνοδικῶς ταῖς ὑπογραφαῖς τῶν ἁγιωτάτων πατριαρχῶν, ἱερωτάτων μητροπολιτῶν, καὶ ἁγιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ λοιπῶν ἐλλογίμων καὶ τιμίων ἀνδρῶν, καὶ κατεστρώθη καὶ ἐν τῷδε τῷ ἱερῷ νέῳ κώδηκι τῆς Μεγάλης Ἐκκλησίας. ‚αχγα'.

† Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Δοσίθεος ἐλέῳ Θεοῦ Πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ συναινῶ ἐν ἅπασιν.

† ὁ Ἐφέσου Θεοφάνης· — † ὁ Κυζίκου Κύριλλος· — † ὁ Χαλκηδόνος Γαβριήλ· — † ὁ Ῥόδου Παρθένιος· — † (. . . . .) — † ὁ Δρύστρας Ἀθανάσιος· — † ὁ Χίου Γρηγόριος· — † ὁ πρώην Λακεδαιμονίας Θεοδώρητος· (;) — † ὁ Ῥαιδεστοῦ Παχώμιος· — † ὁ Μ. οἰκονόμος Γεώργιος ἱερεύς· — † ὁ . . . . παπᾶ Κωνσταντίς· — † ὁ Μ. λογοθέτης Ἰωάννης· — † ὁ Μ. χαρτοφύλαξ Ἀλέξανδρος· — † ὁ Μ. ἐκκλησιάρχης Ῥαλάκης· — † ὁ δικαιοφύλαξ Σπανδωνῆς. — † ὁ λογοθέτης Χουρμούζιος· — † ὁ ῥήτωρ Μανουήλ· — † Κωνσταντῖνος Τζουκῆς· — † Δράκος Εὐπραγιώτης· — † Ἀρίσταρχος· — † Δημητράκης Ῥάζος· — † Θωμᾶς Τζουκῆς· — † Ἀναστάσιος καπικεχαγιᾶς· — † Θεοδωράκης Κερμ[άκης]· — † ὁ Διαμαντῆς τοῦ Παρασκευᾶ· — † ὁ Σταμάτης τοῦ Τριαντάφυλλου.

Σημ. Μετεγράφη ἀπὸ πατριαρχικοῦ κώδηκος. Μιμνήσκεται δὲ τῆς συναθροίσεως ἢ συνόδου ταύτης ὁ ἐκδοὺς τὴν ἐκχυδαϊσθεῖσαν Ἐκκλησιαστικὴν Ἱστορίαν τοῦ Μελετίου Ἀθηνῶν, τόμ. Γ', σελ. 484, ἣν παραδίδωσιν ἡμῖν ὡς οὐ τοσοῦτον πρὸς ὀρθοτομίαν τοῦ λόγου συναθροισθεῖσαν, ὅσον πρὸς καταφρόνησιν τοῦ Ἰωάννου Καρυοφύλλου, «ζητούντων τινῶν ἐκβαλεῖν αὐτὸν τοῦ ἐκκλησιαστικοῦ ὀφφικίου τοῦ Μ. Λογοθέτου».

ΛΖ΄.

ΓΑΒΡΙΗΛ ΤΟΥ ΑΠΟ ΧΑΛΚΗΔΟΝΟΣ

Γράμμα συνοδικὸν κατὰ τῆς μεταφράσεως τῶν Ἁγίων Γραφῶν.

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Τὸ ζητεῖν ἐπανορθοῦν τὰ ἀρχῆθεν διαταχθέντα ἐν τῷ ἱερῷ τῆς Ἐκκλησίας καταστήματι, καλῶς τε ἐπικριθέντα τοῖς κατὰ διαφόρους καιροὺς χρηματίσασι θεοφόροις πατρᾶσι, καὶ μέχρι τῆς δεῦρο παραδεχθέντα, τολμηρόν ἐστι λίαν, καὶ εἰς ἐσχάτην ἀναίδειαν ἐξενηνεγμένον· ἀνθ' ὅτου ὀφείλομεν πάντες οἱ εὐσεβεῖς καὶ ὀρθόδοξοι μετὰ πάσης προσοχῆς καὶ εὐλαβείας ἀπαρατρέπτους φυλάττειν τὰς ἐκκλησιαστικὰς παραδόσεις, καὶ τάξεις, καὶ μηδαμῶς παρασαλεύειν αὐτάς, μήτε μὴν ὅλως νεωτερίζειν ἐν τοῖς ἀρχαιοπαραδότοις, καὶ παρακρούειν ἀναιδῶς τό: μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου· ταύτῃ τοι καὶ ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία τὰ ἀρχαιοπαράδοτα ἔθη κρατύνουσα πρόρριζον ἀποσπᾷ πᾶσαν καινοφανῆ περιττότητα, τοῖς ἐξ ἀρχῆς τεθεῖσι καὶ παραδοθεῖσιν ἀπαρασαλεύτως ἐμμένουσα. Ἐπειδὴ τοιγαροῦν καὶ τὰ ἐπιτετραμμένα κανονικῶς ἀναγινώσκεσθαι τοῖς ὀρθοδόξοις χριστιανοῖς ἱερὰ βιβλία τῆς Ἐκκλησίας, τά τε τῆς παλαιᾶς φημι διαθήκης, καὶ τὰ τῆς καινῆς ἄνωθεν καὶ ἐξ ἀρχῆς εἰς ἑλληνικὴν φράσιν καὶ διάλεκτον ἐξεδόθησαν παρὰ τῶν συγγραψάντων αὐτὰ ἱερῶν ἀνδρῶν, καὶ ἀπὸ μιᾶς ἀρχῆς, ἐκ τοῦ καιροῦ δηλονότι τῶν ἁγίων ἀποστόλων μέχρι τοῦ νῦν οὕτως ἀναγινώσκονται ἑλληνικῇ διαλέκτῳ, καθὰ συνεγράφησαν καὶ ἐξεδόθησαν ἐν ταῖς κατὰ τὰ ἡμέτερα κλίματα ἁπανταχοῦ ἁγίαις ἐκκλησίαις, πρὸ χρόνων δὲ ἱκανῶν ὑπό τινος ἱερομονάχου Μαξίμου Καλλιουπολίτου τολμηρῶς κατ' ἰδίαν δόκησιν μετεφράσθησαν εἰς

...lation of Gospels, Rev. made by ...inus of Gallipoli,

κοινὴν καὶ πεζὴν διάλεκτον τό τε ἱερὸν εὐαγγέλιον, καὶ ὁ ἀπόστολος, καὶ ἡ ἀποκάλυψις τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, ἥτις μετάφρασις τῶν ἱερῶν τούτων βιβλίων εἰς τὴν πεζὴν διάλεκτον ἀπηγορεύθη, καὶ ἐκωλύθησαν ἀναγινώσκεσθαι τὰ οὕτω μεταφρασθέντα βιβλία διὰ πατριαρχικῶν καὶ συνοδικῶν γραμμάτων ὑπὸ τοῦ κατ' ἐκεῖνο καιροῦ πατριαρχεύοντος οἰκουμενικοῦ πατριάρχου τοῦ τῆς μακαρίας λήξεως γέροντος κὺρ Κυρίλλου καὶ τῆς περὶ αὐτὸν ἐνδημούσης ἐν Κωνσταντινουπόλει ἱερᾶς τῶν ἀρχιερέων συνόδου, ἅτε περιττῆς οὔσης, καὶ ἀνωφελοῦς τῆς τοιαύτης κατὰ λέξιν μεταφράσεως· ἡ γὰρ ἔννοια, καὶ τὸ βάθος τῶν νοημάτων τῶν ἱερῶν Γραφῶν οὐ πρόχειρός ἐστι[1], οὐδὲ εὐκατάληπτος καὶ αὐτοῖς τοῖς ἐπισταμένοις τὴν ἑλληνικὴν διάλεκτον, πολλοῦ γε καὶ δεῖ τῷ ἁπλῷ λαῷ· τῷ δὲ βουλομένῳ χριστιανῷ[2] ἀναγινώσκειν τὰ τῆς Ἐκκλησίας ἱερὰ βιβλία, ἡ ἀνάγνωσις τούτων ἑλληνιστὶ ἐκτεθειμένων, εἰ μετ' εὐλαβείας γίγνοιτο[3], καίτοι τοῦ βάθους τῶν νοημάτων ἀγνοουμένου[4], ἁγιασμοῦ πρόξενος τῷ ἀναγινώσκοντι καθίσταται κατὰ τὴν ὑποτύπωσιν[5] τῆς ἐκκλησιαστικῆς διδασκαλίας, ὥστε περιττὴ καὶ ἀνωφελὴς ἡ εἰς κοινὴν διάλεκτον μετάφρασις τῶν ἱερῶν Γραφῶν· ἄλλως τε οὐδὲ ἔξεστι τῷ τυχόντι νεωτερίζειν ἐν τῇ

1. Τὸ γράμμα τοῦτο ἐξεδόθη ὑπὸ Σαμουὴλ Κυπρίου τοῦ πρώην Μεσημβρίας ἐν «Ἀντιρρήσει Ματθαίου Κυζίκου περὶ τῆς εἰς τὸ χυδαῖον ἰδίωμα μεταφράσεως τῶν ἱερῶν Γραφῶν»· ἐν Κωνσταντινουπόλει. 1841, σελ. νδ'—νϛ', ὅπου σημειοῦται καὶ ἔτος ἐκδόσεως τὸ 1704, διαφοραὶ δέ τινες γραφῆς ἀπαντῶνται ἀλλοιοῦσαι τὸ κείμενον τοῦ κώδηκος Φωτίου τοῦ Κυπρίου, ἀφ' οὗ καὶ μετεγράφη· σελ. 579—581. Ἐνταῦθα τὸ ἐκδιδόμενον παρὰ Σαμουὴλ κείμενον γράφει: τῶν ἱερῶν Γραφῶν, χωρὶς ἐξηγητῶν θείων Πατέρων τῆς Ἐκκλησίας οὐδὲ αὐτοῖς τοῖς ἐπισταμένοις τὴν ἑλληνικὴν διάλεκτον πρόχειρός ἐστι καὶ εὐκατάληπτος.—Καὶ ἀλλαχοῦ δὲ συνεπληρώσαμεν χάσματά τινα καὶ ἀσαφῆ μέρη παραλαμβάνοντες ἀπὸ τοῦ ἐκδεδομένου.

2. τοῖς δέ γε βουλομένοις, ἔχει τὸ παρὰ Σαμουὴλ κείμενον.

3. διὰ τῶν ἐξηγητῶν θείων Πατέρων· ὁ Σαμουήλ.

4. λείπει τοῦτο τὸ ἐντὸς ὑποστιγμῶν ἀπὸ τοῦ παρὰ Σαμουὴλ κειμένου.

5. καὶ διάταξιν· ὁ Σαμουήλ.

Ἐκκλησίᾳ, καὶ μεταλλάττειν τὰ πατροπαράδοτα[6]· ἤδη δὲ πάλιν κατὰ τὸν παρόντα χρόνον ἱερομόναχός τις Σεραφεὶμ ὀνόματι Μιτυληναῖος[7] ἐτόλμησεν ἰδίᾳ αὐτονομίᾳ ἐκδοῦναι ἐκείνην τὴν εἰς κοινὴν μετάφρασιν τοῦ Μαξίμου, τὴν κατὰ τὸ ἱερὸν εὐαγγέλιον, καὶ τὸν ἀπόστολον, καὶ τὴν ἀποκάλυψιν τοῦ ἁγίου Ἰωάννου, καὶ μεταπυπώσας εἰς μικρότερον μῆκος[8] τὰ ἱερὰ ταῦτα βιβλία ἐξέδωκε[9] διασπείρας τοῖς βουλομένοις ἀγοράζειν αὐτά[10]. Τούτου χάριν καὶ ἡμεῖς Θεοῦ ἐλέει καὶ χάριτι τὴν προστασίαν τῆς πατριαρχικῆς περιωπῆς, καὶ πνευματικὴν ποιμαντορίαν τοῦ χριστωνύμου πληρώματος ἐμπιστευθέντες, καὶ χρέος ἔχοντες φυλάττειν ἀπαρασάλευτον τὴν ἀρχαιοπαράδοτον τῆς Ἐκκλησίας κατάστασιν, ἀπαγορεύομεν τοῖς ὀρθοδόξοις χριστιανοῖς τὴν γενομένην ὑπὸ τοῦ διαληφθέντος Σεραφεὶμ ἱερομονάχου Μιτυληναίου κατ' ἰδίαν τόλμην ἔκδοσιν ἐν κοινῇ δια·

6. ἀπὸ τοῦ: *ἐν τῇ Ἐκκλησίᾳ* μέχρι τοῦ *ἤδη* λείπει.

7. φρονηματισθείς, ὁ Σ.

8. διὰ λεπτῆς καὶ μακρᾶς στάμπας, ὁ Σ.

9. τὸ βιβλίον, χωρὶς τοῦ κειμένου, μόνον τὴν ἐξήγησιν ἐξέδωκε, διασπείρας κτλπ.

10. Ἐν τῷ παρὰ Σαμουὴλ Κυπρίῳ γράμματι τοῦ πατριάρχου Γαβριήλ, στελλομένῳ πρὸς τὸν μητροπολίτην Σμύρνης φέρονται καὶ ταῦτα: Ἀλλὰ καί τις ἄλλος πρὸ καιροῦ ἱκανοῦ τῶν τὰ πάντα ἀνακυκώντων Λατίνων Ἰησουϊτῶν, Φραγκῖσκος τοὔνομα, καθοπλισθεὶς κατὰ τῆς καθ' ἡμᾶς ἁγίας καὶ ὀρθοδόξου ἀποστολικῆς Ἐκκλησίας τῆς Ἀνατολικῆς, εἰσέφρησε φρενοβλαβῶς ὁ διεφθαρμένος, ὡς ὄφις δηλητήριος ἐξεμέσαι τὸν ἰὸν πειραθείς, καὶ δὴ βιβλιάριόν τι συγγραψάμενος παρερμηνείαις ταῖς συνήθεσιν αὐτῷ, καὶ ὅλως ἀντιστρόφοις ἐξηγήσεσι τῶν προφητικῶν ἀπάντων, γραφικῶν τε καὶ πατρικῶν καὶ διδασκαλικῶν ῥήσεων, τὸ περὶ τοῦ ἀνυποστάτου πυρός, καὶ παρ' αὐτοῖς φρονουμένου ἐπισφαλῶς καθαρτηρίου, ὑφάσμασι τῆς ἀράχνης ματαιολογῶν συνίστησι δόγμα. Πολλὰ δὲ τούτων τυπωσάμενος τεύχη, πανταχοῦ ἐν τοῖς καθ' ἡμᾶς μέρεσι διέσπειρεν, εἰς ἀπάτην καὶ ὑποσκελισμὸν τῶν ἁπλουστέρων θρεμμάτων τῆς Ἀνατολικῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας· ὅπερ βιβλίον ἰδόντες καὶ ἀναγνόντες, συνοδικῇ ἐπικρίσει κατέγνωμέν τε καὶ ἐβδελυξάμεθα, ὡς ἔμπλεον ἀδολεσχίας, φλυαρίας τε καὶ ψεύδους, καὶ ἐννοιῶν ἀντεστραμμένων, μηδαμῶς ἔχον ὀρθήν τινα καὶ ὑγιῆ ἔννοιαν, οὔτε γοῦν ἴχνος καὶ σκιὰν ἀληθείας.

λέκτῳ τοῦ ἱεροῦ εὐαγγελίου, καὶ τοῦ ἀποστόλου, καὶ τῆς ἀποκαλύψεως τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, στοιχοῦντες τοῖς ἴχνεσι τῶν προγενεστέρων ἱερῶν ἀνδρῶν, καὶ ἡγητόρων τῆς Ἐκκλησίας. Καὶ δὴ γράφοντες γνώμῃ κοινῇ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἐντελλόμεθα, καὶ παραγγέλλομεν πᾶσιν ἡμῖν τοῖς φιλευσεβέσι, καὶ ὀρθοδόξοις χριστιανοῖς ἵνα μηδεὶς οὔτε τῶν ἱερωμένων, οὔτε τῶν λαϊκῶν ἀγοράζῃ καὶ παραλαμβάνῃ, καὶ ἀναγινώσκῃ τὸ οὕτως ἐκδοθὲν ὑπὸ τοῦ Σεραφεὶμ ἱερομονάχου Μιτυληναίου κατὰ τὴν εἰς κοινὴν διάλεκτον μετάφρασιν τοῦ ποτὲ Μαξίμου Καλλιουπολίτου βιβλίον, περιέχον ἐν ἑνὶ τόμῳ τὸ ἱερὸν εὐαγγέλιον, καὶ τὸν ἀπόστολον, καὶ τὴν ἀποκάλυψιν τοῦ ἁγίου Ἰωάννου. Οὕτω γενέσθω ἐξ ἀποφάσεως ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ· ὑμεῖς δὲ ὡς εὐσταθῆ καὶ ὑπήκοα τέκνα τῆς πνευματικῆς ἡμῶν μητρὸς, ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας ποιήσατε ὡς γράφομεν ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις, καὶ ἡ εὐχή, καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη ὑμῖν.

ΛΗ΄.

ΤΟΥ ΑΥΤΟΥ ΓΑΒΡΙΗΛ

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ὁ τῆς οἰκονομίας τρόπος οὐδενὶ τῶν συνετῶν ἀπήρεσε πώποτε, κατὰ τὸν μέγαν τῆς Ἀλεξανδρείας Κύριλλον. Ἔνθεν τοι καὶ οἱ τῆς χριστιανικῆς ποίμνης πρόβολοι οὐ διέλιπον ἄνωθεν, ὡς τῆς τῶν πιστῶν σωτηρίας εἴπέρ τι ἄλλο φροντίζοντες, οἰκονομεῖν διαφόρως τὰ κατὰ καιροὺς τῆς ἀκριβείας μικρὸν ἀποδέοντα. Ἐπειδὴ

τοιγαροῦν ἀνηνέχθη ἡμῖν περί τινος συνοικεσίου μέλλοντος αὐτόθι γενέσθαι, ὅπερ ζ΄ μὲν βαθμοῦ ὑπάρχει ἐξ αἵματος· τὸ αὐτὸ δὲ καὶ ε΄ βαθμοῦ εὑρίσκεται ἀπὸ τοῦ ἁγίου βαπτισματος, κατὰ τοὺς βαθμολογοῦντας τὰ συνοικέσια· ὁ γὰρ Ζανῆς τοῦ Μικέ φασι βούλεται λαβεῖν εἰς γυναῖκα αὐτοῦ τὴν τῆς δισεξαδέλφης αὐτοῦ Φράγγας τοὔνομα θυγατέρα Μπελοῦν ὀνόματι, οὗτινος Ζαννῆ αὖθις ὁ πάππος Στρατῆς ἀνεδέξατο ἀπὸ τοῦ ἁγίου βαπτίσματος τὴν Κατερίναν καλουμένην, πρὸς πατρὸς μάμμην τῆς Μπελοῦς. Ὅθεν εὐλαβούμενοι ἀπαρτίσαι τὸν γάμον, προσέδραμον ἱκετικῶς τῇ Ἐκκλησίᾳ, μεθ' ὑπερβαλλούσης δεήσεως, καὶ θερμῆς παρακλήσεως, θεραπείας ἀξιωθῆναι δεηθέντες, οὐκ ὀλίγας τῶν ἀναγκαίων περιστάσεων προβάλλοντες, δυσωπεῖν εὐπροσώπως δυναμένας ἐφελκύσαι τὸν τῆς Ἐκκλησίας ἔλεον· ὧν ἕνεκα τὴν δέησιν αὐτῶν φιλανθρώπως ἀποδεξάμενοι, λόγῳ συγκαταβάσεως τὸ τοιοῦτον αὐτοῖς συνοικέσιον, οὐ μὴν δὲ καὶ ἄλλοις τοῖς τυχοῦσι, γενέσθαι συνεχωρήσαμεν, τὸ μὲν εἰς τοὺς ἀρχαίους ἀποβλέψαντες χρόνους, καθ' οὓς τὸ τοῦ ἑβδόμου βαθμοῦ ἐξ αἵματος συνοικέσιον φθάσαν γενέσθαι οὐκ ἐχωρίζετο· ἄλλως τε καὶ ὕστερον ὑπὸ τῆς Ἐκκλησίας ἔσθ' ὅτε ᾠκονόμηται γίνεσθαι. Τὸ δὲ τοῦ νομικοῦ ῥητοῦ στοχαζόμενοι, ὡρισμένα μόνα τινὰ πρόσωπα κωλύοντος, καὶ φάσκοντος οὑτωσί: οὐ δύναμαι λαβεῖν ἣν ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀνεδεξάμην, οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα, ἀλλ' οὐδὲ ὁ υἱός μου, περαιτέρω μεδὲν προστιθεμένου. Κἀντεῦθεν καὶ τοῖς πλείοσιν ἔδοξεν, ἐν τούτοις καὶ μόνοις τοῖς προσώποις παρατηρεῖν τοὺς κεκωλυμένους βαθμούς, ἐν τοῖς συνδεδεμένοις τῇ σχέσει τοῦ βαπτίσματος, ὡς ἐν Η΄ κεφαλαίῳ τοῦ Β στοιχείου παρὰ Ματθαίῳ τῷ Βλαστάρει, σαφῶς καθορᾶται. Τούτου χάριν καὶ ἡμεῖς, διά τε τὰ εἰρημένα, καὶ διὰ τὴν τοῦ γένους καὶ τῶν προσώπων στεναχωρίαν, ἐν τοῖς δὲ μάλιστα τοῖς καιροῖς, ἐν οἷς ἱκανῶς πιέζεται τὸ χριστώνυμον πλήρωμα, συνεχωρήσαμεν ἀπαραιτήτως γενέσθαι. Καὶ δὴ γράφομεν ἀποφαινόμενοι, τῇ δυνάμει καὶ ἐξουσίᾳ τοῦ ἁγίου Πνεύματος, ἵνα ὁ διαληφθεὶς Ζανῆς τοῦ Μικὲ ἔχῃ ἄδειαν

...i son of Mike ...s to marry Be... daughter of his ...l cousin Franga. ...'s grandfather, ..., was godfather ...atrina, patern... grandmother of ...u.

...ti, godf. to Katrina
...ké.
...Zanni ... Franga
... Belou

λαβεῖν εἰς γυναῖκα αὐτοῦ τὴν Μπελοῦν, θυγατέρα τῆς Φράγγας, τὴν καὶ ἐγγονὴν τῆς Κατερίνας, καὶ στεφανωθῆναι ἐκείνην ἐκκλησιαστικῶς μηδενὸς ἐμποδίζοντος, ὑπάρχῃ δὲ τὸ αὐτὸ συνοικέσιον εὐλογημένον παρὰ Θεοῦ, καὶ συγκεχωρημένον, καὶ ἔχῃ τὸ κῦρος, ὑπ' οὐδενὸς ἐναντιούμενον ἢ ἀντιλεγόμενον, ἱερωμένου ἢ λαϊκοῦ ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. ͵αψδ΄.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Φωτίου Κυπρίου σελ. 174—176.

ΛΘ΄.

ΤΟΥ ΑΥΤΟΥ ΓΑΒΡΙΗΛ

Συνοικεσίου συγχώρησις ἐκ θείου βαπτίσματος ἐκ πλαγίου κωλυομένου.—(πόνημα Κριτίου).

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε μητροπολῖτα Λήμνου, καὶ ὑπέρτιμε, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, ἐντιμότατοι κληρικοὶ καὶ εὐλαβέστατοι ἱερεῖς, καὶ χρήσιμοι γέροντες τῆς μητροπόλεως ταύτης, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Τὸ ἐξεῖναι τῇ ἐκκλησιαστικῇ προστασίᾳ οἰκονομικῶς διεξάγειν κατὰ καιροὺς τὰ πράγματα παρὰ τῷ χριστωνύμῳ πληρώματι, ὅπως μή τις ὄλεθρος ψυχικὸς γένηται, ὁμολογούμενόν ἐστι καὶ ἀναμφίβολον. Ἔνθεντοι καὶ οἱ τῆς ἱερᾶς τοῦ Χριστοῦ ποίμνης πρόβολοι, οὐ διέλιπον ἄνωθεν, ὡς τῆς τῶν πιστῶν σωτηρίας ὑπέρ τι ἄλλο φροντίζοντες, οἰκονομεῖν διαφόρως τὰ καθ' ἕκαστον καιρὸν τῆς ἀκριβείας μικρὸν ἀποδέοντα, καὶ ἐξομαλίζειν αὐτὰ κατὰ τὸν ἐνδεχόμενον τρόπον, τοὺς καιροὺς ἀποστολικῶς ἐξαγοραζόμενοι, καὶ μηδενὶ τῶν συνε-

τῶν ὁ τῆς οἰκονομίας τρόπος ἀπήρεσε πώποτε, ὡς ὁ μέγας τῆς Ἀλεξανδρείας Κύριλλος φάσκει ῥητῶς. Καὶ τούτου παραστατικόν ἐστι μάλιστα τὸ ἀποστολικὸν ἱερὸν λόγιον, τό: τοῖς πᾶσιν ἐγενόμην τὰ πάντα ἀποφαινόμενον, ἵνα πάντως τινὰς κερδήσω· τῆς οἰκονομίας ἄντικρυς, ὡς ἀναγκαίας, ἐγκρινομένης ἅπασιν, ἡνίκα δηλαδὴ τὰ οἰκονομικῶς γινόμενα τῇ εὐσεβείᾳ οὐ λυμαίνεται. Ἐπειδὴ τοιγαροῦν καὶ τὰ νῦν ἀνηνέχθη ἡμῖν περί τινος συνοικεσίου μέλλοντος αὐτόθι τελεσθῆναι, ὅπερ ἔχει φασὶ τοῦτον τὸν τρόπον· ἡ Κουμούσενα γυνὴ τοῦ χατζῆ Γεωργούδη, ἐβάπτισε τὸν παπᾶ Παλαιολόγον, υἱὸν τοῦ Καντακουζηνοῦ ἔχοντα ἀδελφὸν Καραμαλὴν ὀνόματι, ὅστις βούλεται λαβεῖν εἰς γυναῖκα αὐτοῦ μίαν τῶν θυγατέρων τῆς ῥηθείσης Κουμούσενας, Ἀλεφαντινούδαν καλουμένην· εὐλαβούμενοι δὲ ἀπαρτῆσαι τὸν γάμον προσέδραμον τῇ Ἐκκλησίᾳ μετὰ θερμῆς παρακλήσεως, καὶ ὑπερβαλλούσης δεήσεως, μὴ ἀποτραπῆναι αὐτοῖς τὴν τοῦ γάμου ἔκβασιν, οὐκ ὀλίγας τῶν ἀναγκαίων περιστάσεων προβαλλόμενοι, δυσωπουσῶν εὐπροσώπως χορηγηθῆναι αὐτοῖς τὸν τῆς Ἐκκλησίας ἔλεον· ὧν ἕνεκα τὴν δέησιν αὐτῶν φιλανθρώπως ἀποδεξάμενοι, καὶ διασκεψάμενοι τὴν ὑπόθεσιν κατελάβομεν συγχωρηθὲν τὸ τοιοῦτον τοῖς διέπειν πάλαι λαχοῦσι τὸ χριστώνυμον πλήρωμα, καθάπου σεσημειωμένον σώζεται ἐν ἐκκλησιαστικοῖς ὑπομνήμασιν, ἐπὶ τῶν ἡμερῶν τοῦ κὺρ Νεοφύτου πατριάρχου συνοδικῶς προκαθημένου, καὶ συνεδριαζόντων αὐτῷ τοῦ τε μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κὺρ Θεοφάνους, καὶ τῶν παρευρεθέντων τότε ἀρχιερέων· τὰ γὰρ ἐκ τοῦ θείου, φασί, βαπτίσματος πρόσωπα ἐκεῖνα μόνα κωλύεσθαι, ὅσα ὁ νόμος ῥητῶς διεκώλυσεν, ἅπερ ἐστὶ τὸ μὴ δύνασθαι λαβεῖν τινὰ ἣν ἐκ τοῦ ἁγίου βαπτίσματος ἀνεδέξατο, οὔτε τὴν αὐτῆς μητέρα ἢ θυγατέρα, οὔτε τὸν υἱὸν αὐτοῦ· τὰ παρὰ ταῦτα δὲ ἀπαρατηρήτως εἰς γάμον συνάπτεσθαι, ὅστις διορισμὸς οὗτος καὶ παρὰ Ματθαίῳ τῷ Βλαστάρει ἐν τῷ Β στοιχείῳ φέρεται. Ἄλλως τε καὶ εἰ δέοι φυλαχθῆναι τὴν διὰ τοῦ βαπτίσματος πνευματικὴν σχέσιν τῆς οἰκειώσεως, τοῦτο σώζεται ὀρθῶς μεταξὺ τοῦ ἀναδό-

relating to marri[age] prohibited thro' [sp]iritual relationship.

1. Hadji Georgoudi = 2. Koumousena wife of H.G: was godmother to

3. Alephantinouda. 4. Palaiologos - who had a brother 5. Kamali

χου καὶ τῶν ἀπ' αὐτοῦ καταγομένων παίδων, καὶ τοῦ ἀναδεχθέντος ὑπ' αὐτοῦ καὶ τῶν ἐξ αὐτοῦ γεννωμένων, ὧν ἡ συγγένεια τηρεῖται μέχρι τοῦ ζ' βαθμοῦ, καὶ λύεται ἐπὶ τὸν ὄγδοον, ὥσπερ καὶ ἡ ἐξ αἵματος· τὰ δὲ ἀδέλφια τοῦ ἀναδεχθέντος, ἤτοι τοῦ βαπτιστικοῦ, ὡς πλάγια λογίζονται, καθὼς τοῖς πλείοσι κέκριται. Τούτου χάριν καὶ ἡμεῖς, ἐλέει καὶ χάριτι Θεοῦ, τὴν προστασίαν τῆς πατριαρχικῆς περιωπῆς ἐμπιστευθέντες, οὐδὲν παραβλέπειν ἀκυβέρνητον ἀνεχόμεθα, ἀλλὰ τὰ πάντα προσφόρως διεξάγεσθαι φροντίζομεν. Καὶ δὴ λόγῳ συγκαταβάσεως, κατὰ τὰ παραδείγματα τῶν πρὸ ἡμῶν καθηγεμόνων τῆς Ἐκκλησίας, οὐκ ἀνεκτὸν ἡγησάμεθα παραλιπεῖν ἀτημέλητον τὸ διαληφθὲν συνοικέσιον. Ὅθεν καὶ γράφοντες ἀποφαινόμεθα τῇ δυνάμει καὶ ἐξουσίᾳ τοῦ παναγίου Πνεύματος, ἵνα ὁ ῥηθεὶς Καραμαλὴς ἔχῃ ἄδειαν στεφανωθῆναι τὴν Ἀλεφαντινούδαν θυγατέρα τῆς Κουμούσενας, καὶ συζευχθῆναι αὐτῇ γαμικῶς διὰ τῆς ἱερᾶς εὐλογίας, κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, ἀκωλύτως καὶ ἀπαρεμποδίστως, τὸ δὲ συνοικέσιον αὐτὸ ὑπάρχῃ εὐλογημένον καὶ συγκεχωρημένον, καὶ ἔχῃ τὸ κῦρος, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος, ἢ μωμοσκοποῦντος ἀκαιρολόγως, ἱερωμένου, ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ, ἐξ ἀποφάσεως. ,αψε'.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου σελ. 245—246.

Μ'.

ΤΟΥ ΑΥΤΟΥ ΓΑΒΡΙΗΛ

Ἔκδοσις τῷ Ἱεροσολύμων ἐπὶ τῷ μετατίθεσθαι εἰς τὸ πατριαρχεῖον αὐτὸ ὁ Καισαρείας τοῦ θρόνου ἐκείνου καὶ οὐδεὶς ἄλλος δύνασθαι γενέσθαι.

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Καὶ ἄνωθεν ἡ τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, ὁ οἰκου-

μενικὸς, ἀποστολικὸς, ἁγιώτατος τῆς Κωνσταντινουπόλεως θρόνος τὰ τῆς κηδεμονίας ἀνήκοντα πρὸς τὰς ἄλλας ἐκκλησίας φιλοστόργως ἀπεπλήρου, καὶ ἀνελάμβανε τὰς αὐτῶν χρείας καὶ ἀτελείας, συστάσεις τε καὶ ἐπαυξήσεις· πολλῷ δὲ μᾶλλον ὀφείλει ἐπαγρυπνεῖν αὐταῖς, καὶ κήδεσθαι, καὶ τὴν προσήκουσαν ποιεῖσθαι πρόνοιαν, ὥστε μὴ τοῖς ἐπισκήπτουσι δεινοῖς καὶ χαλεποῖς κατατριβῆναι, ἀλλ' εὑρισκομένας διὰ τῆς προσηκούσης ἀντιλήψεως καὶ βοηθείας, ῥώμην καὶ δύναμιν ἰσχύσαι πρὸς τὰς ἐπισυμβαινούσας δυσχερείας ἀντεξανίστασθαι, καὶ τὸν οἰκεῖον διασῶσαι κόσμον, εἰς δόξαν Θεοῦ τοῦ τῇ ἐξ ὕψους εὐμενείᾳ διασώζοντος καὶ διατηροῦντος αὐτὰς, καὶ εἰς σωτηρίαν τοῦ κατ' αὐτὰς χριστωνύμου λαοῦ· καὶ δῆτα οὐ μόνον φιλαδελφίας λόγῳ κινουμένη ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μ. Ἐκκλησία, ἀλλὰ καὶ τῆς χρείας οὕτω πειθούσης, καὶ ἔτι μείζονα προσλαμβάνεται προστασίαν καὶ ὧν ἐκεῖναι, διά τινα περίστασιν, στεροῦνται πνευματικῶν βοηθημάτων, ταῦτα ἀξιώσει προφανεῖ πολλάκις καὶ διαθέσει πνευματικῇ περιποιεῖται, καὶ δεομέναις χεῖρα βοηθείας ὀρεγνῦσα συνθάλπει καὶ συνεγείρει. Ὅθεν ἐπειδὴ καὶ ὁ μακαριώτατος, καὶ σοφώτατος ἡμέτερος ἀδελφὸς καὶ συλλειτουργὸς, πατριάρχης Ἱεροσολύμων κὺρ Δοσίθεος πρὸς τῷ τέλει τοῦ βίου γενόμενος, κατὰ τὴν ἐν τῇ βασιλευούσῃ ταύτῃ πόλει διατριβὴν, τῶν τε ἄλλων προσηκόντων αὐτῷ πνευματικῶν ἐφοδίων οὐκ ἠμέλησε, καὶ δὴ καὶ τῆς ἰδίας ἐκκλησίας λόγον πεποιηκὼς, ἀγράφως τε καὶ ἐγγράφως, ὡς ἀντικρὺ τουτουῒ τοῦ ἱεροῦ κώδηκος φαίνεται τὴν ἰδίαν γνώμην παραδηλώσας, παρεκάλεσε τὴν καθ' ἡμᾶς ἱερὰν σύνοδον τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἵνα μὴ ἡ ἐν Ἱεροσολύμοις ἐκκλησία ἐπὶ μακρὸν χρόνον διαγένηται χηρεύσασα καὶ ἀπροστάτευτος, καὶ κινδυνεύσῃ διὰ τοῦτο πολλοῖς τισιν ἐνδεχομένοις ὑποβληθῆναι δεινοῖς, καὶ μεθ' ὅσης ἠξίωσε προθυμίας ἀναλάβεσθαι τὴν πρόνοιαν τοῦ προβιβασμοῦ καὶ τὴν προμήθειαν τῆς ἀποκαταστάσεως τοῦ προστάτου καὶ κηδεμόνος αὐτῆς ἐμμελῶς τοῦτο προσδιορίσας, ἵνα μὴ ἀλλαχόθεν παρεισχωρήσῃ τι πρόσωπον ἄγνωστον, ἀλλ' ἐξ αὐτῆς τῆς ἐν Ἱερο-

σολύμοις ἐκκλησίας, ἐκλεχθῇ ποιμὴν αὐτῆς· καὶ τὰ αὐτὰ δὲ ταῦτα ὁ παρὼν χρόνος μονονοὺ φωνὴν ἀφιεὶς ἀναπείθει καὶ ἀπαιτεῖ· τῇ ἀξιώσει τῆς αὐτοῦ μακαριότητος πεισθέντες ἔτι ζῶντος, καὶ μετὰ τὴν ἀποβίωσιν αὐτοῦ, ἐν Πνεύματι ἁγίῳ, προτροπῇ καὶ ἀδείᾳ τοῦ παναγιωτάτου καὶ σεβασμιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Γαβριὴλ, συνελθόντες κατὰ τὸν ἐν Κωνσταντινουπόλει πάνσεπτον ναὸν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου τῆς πατριαρχικῆς οἰκουμενικῆς καθέδρας, ψήφων κανονικῶν προβαλλομένων, εἰς εὕρεσιν καὶ ἐκλογὴν ἁρμοδιωτέρου τε καὶ ἀξιολογωτέρου προσώπου, εἰς τὸ ἀναδειχθῆναι τὴν πνευματικὴν καὶ πατριαρχικὴν προστασίαν τῆς διαληφθείσης ἀποστολικῆς πατριαρχικῆς τῶν Ἱεροσολύμων καθέδρας, πρῶτον μὲν ἐθέμεθα τὸν πανιερώτατον καὶ λογιώτατον μητροπολίτην Καισαρείας τῆς ἐν Παλαιστίνῃ κὺρ Χρύσανθον· δεύτερον δὲ τὸν πανιερώτατον μητροπολίτην Πτολεμαΐδος κὺρ Ἰωάσαφ· καὶ τρίτον τὸν πανοσιώτατον καὶ λογιώτατον ἀρχιμανδρίτην τοῦ αὐτοῦ θρόνου τῶν Ἱεροσολύμων κὺρ Νεόφυτον. Ὅθεν εἰς ἔνδειξιν κατεστρώθη καὶ τὰ ὀνόματα αὐτῶν ἐν τῷδε τῷ ἱερῷ κώδηκι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει ͵αψζ΄. Μηνὶ φεβρουαρίῳ. Ἰνδικτιῶνος ΙΕ΄.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Φωτίου Κυπρίου, (σελ. 113—114). Βλέπε περὶ τοῦ Χρυσάνθου Ἱεροσολύμων : *Γρηγορίου Παλαμᾶ ἀρχιμ. Ἱεροσολυμιάδα*· σελ. φξβ΄-φξη΄. Ἐξελέγη δὲ πατριάρχης ὁ Χρύσανθος τῇ 6 φεβρουαρίου 1707.

ΜΑ΄.

ΤΟΥ ΑΥΤΟΥ ΓΑΒΡΙΗΛ

Ὑπόμνημα διεξοδικώτατον ἅμα καὶ τεχνικώτατον γεγονὸς ἐπὶ τῆς πατριαρχίας τοῦ μακαρίτου Ἱεροσολύμων Χρυσάνθου, καὶ δηλοποιοῦν τὰς αἰτίας, δι' ἃς ὁ ἐν Κωνσταντινουπόλει θρόνος μετὰ τῆς περὶ αὐτὸν συνόδου ἀντελάβετο ἀδελφικῇ ἀγάπῃ τοῦ θρόνου τῶν Ἱεροσολύμων, καὶ πεποίηκε τὰς ψήφους τοῦ αὐτοῦ Χρυσάνθου μετὰ τὴν ἀποβίωσιν τοῦ μακαρίτου Δοσιθέου ἐνταῦθα ἐν Κωνσταντινουπόλει· φαίνεται δὲ τὸ παρὸν πόνημα εἶναι τοῦ μακαρίτου ἐξ ἀπορρήτων πρώτου Ἀλεξάνδρου, ἐκ τῆς τοῦ λόγου δεινότητος καὶ τοῦ κάλλους τῶν νοημάτων, ἐγένετο δὲ εἰς εἶδος γράμματος σιγιλλιώδους καὶ τοῖς πᾶσιν ἐξαγγελτικοῦ.

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἡ ἑνιαία πηγὴ τῆς ζωῆς, ἡ μοναδικὴ τῆς ἀγαθότητος οὐσία, ἡ ἀρχικωτάτη τῶν ὄντων ἀρχὴ καὶ αἰτία, ἡ τὸ εἶναι εἰς τὸ εὖ εἶναι τοῖς οὖσι χορηγοῦσα δι' ἄκραν ἀγαθότητα, ὁ ἐν τρισὶ προσώποις ἀδιαιρέτως ὑμνούμενος Θεὸς ἡμῶν, ἐν εὐρύθμῳ ἀριθμῷ τὴν ἐκκλησιαστικὴν ἱεραρχίαν συνιστῶν, ἐν αὐτῇ ὅμως τῇ πληθύϊ σώζει τὸ ἑνιαῖον αὐτῆς, θέλει γὰρ τὴν λογικὴν σωτηρίαν ἡμῶν οὐχ ἑτέρως γίγνεσθαι δυναμένην, εἰ μὴ διὰ τῆς πρὸς αὐτὸν ὡς ἐφικτὸν ὁμοιώσεως καὶ ἑνώσεως τῶν σωζομένων, ἐχομένως τὰ μέρη τῆς Ἐκκλησίας ἑνοποιεῖ πρὸς ἄλληλα, καὶ διὰ τῆς ἀγάπης εἰς ὁμόνουν καὶ σύμπνουν συμφυΐαν τὴν κατ' αὐτὴν ὁλομέλειαν συνάπτει καὶ συναπαρτίζει· καὶ δὴ καὶ ἑαυτῷ τῷ πρὸς αὐτὸν ἀνατεινομένῳ

καὶ ἡμᾶς ἀνατείνοντι τῶν καλῶν ἔρωτι αὐτὴν ἑνίζει καὶ συμπτύσσων ὑπερφυῶς τὰς διαιρέσεις καὶ τὰς ἑτερότητας εἰς ἑνοειδῆ καὶ θείαν ἀποτελειοῖ ζωὴν, ἕξιν τε καὶ ἐνέργειαν· ὅτου χάριν καὶ ὁ ὑπερούσιος λόγος τοῦ ἀνάρχου πατρὸς ὁ θεόφυτος βλαστὸς τῆς πηγαίας καὶ θεογόνου θεότητος, ὁ διὰ τὴν ἡμετέραν ἀνόρθωσιν σάρκα φορέσας, καὶ διὰ τοῦ ἰδίου θανάτου τὴν εἰς φθορὰν ἀπορρυεῖσαν φύσιν ἀναζωογονήσας, πολλοὺς ἀναλαμβάνει μαθητὰς, καὶ πολλοῖς μέρεσι κατακαλλύνει τὴν αὐτοῦ Ἐκκλησίαν· ἀλλ' αὖ πᾶσαν διάστασιν καὶ διαίρεσιν ἀποκρίνων αὐτοὺς ἑνίζει, καὶ ἑαυτῷ καὶ ἀλλήλοις τῷ λόγῳ τῆς ἀγάπης ἑνοειδῆ τελειότητα συναπαρτίζει· ἐν τούτῳ, γάρ φησι, γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταὶ ἐστὲ, ἐὰν ἀγαπᾶτε ἀλλήλους. Ἔνθεν τοι τὴν ἀγάπην ὥσπερ μεγάτιμον παρακαταθήκην, καὶ πολυτελῆ κλῆρον, καὶ πάντων κειμηλίων ὑπερτέραν πρὸς ἀλλήλους διατηροῦντες οἱ ἀπόστολοι, ἀλληλοδιαδόχῳ μεταδόσει καὶ μεταλήψει τοῖς μετ' αὐτοὺς μέχρι καὶ εἰς ἡμᾶς οἱονεὶ ἀρραγῆ καὶ ἀδιάλυτον σύνδεσμον παρεπέμψαντο· καὶ μὴν καὶ οἱ πρὸ ἡμῶν προστατεύσαντες τῶν κατὰ τὴν ὑφήλιον ἁγίων ἐκκλησιῶν, διὰ τῆς ἐν ἁγίῳ Πνεύματι ἀγάπης εἰς μίαν σύμπνοιαν καὶ συμφυΐαν πνευματικῶς ἑνούμενοι ἀλλήλων ἀντελαμβάνοντο, καὶ τὰς ἀνακυπτούσας χρείας τὰ βάρη πασῶν πάντες ἀντισηκοῦν οὐκ ὤκνουν, ἀλλ' ὅλῳ σθένει τοῖς χρήζουσιν ἀρρωγὴν καὶ βοήθειαν προθύμως παρέχοντες διετέλουν, καὶ καταπονουμένῳ ἀδελφῷ ἐπικουρίας ὀρέγοντες χεῖρα, τὸν δεσμὸν τῆς ἑνώσεως ἄρρηκτον καὶ ἀδιάσπαστον συνεφύλαττον· καὶ πάντων δὲ ἄριστα ὁ τῶν ἄλλων ὑπερκείμενος ἁγιώτατος ἀποστολικὸς, οἰκουμενικὸς οὑτοσὶ θρόνος διακαοῦς φιλαδελφίας ἐπιδείξεσι τὸν ἀπὸ σπλάγχνων ἀπονέμων οἶκτον ταῖς ἀνὰ ἀνὰ μέρος παροικίαις κατὰ διαφόρους καιροὺς καὶ τρόπους λαμπρὰν ἀποδοῦναι ἐπικουρίαν, καὶ τῇ ἀπωθήσει τῶν ἐπιόντων δεινῶν βαθεῖαν προμνηστεύσασθαι γαλήνην ἀνενδότως ἐπεμελεῖτο. Καὶ δῆτα οἱ τοὺς οἴακας τῆς Μεγάλης Ἐκκλησίας πρὸ ἡμῶν διιθύναντες ἁγιώτατοι πατριάρχαι, μάλιστα κατὰ ταυτηνὶ τοῦ χρόνου τὴν ἐσχατιὰν τῶν ἀποστολικῶν πατριαρχικῶν θρόνων τῶν κατὰ πόλεις Ἀλεξανδρείας καὶ Ἀντιο-

χείας καὶ Ἱεροσολύμων εἰς ἀδελφικὴν ἀντίληψιν ἀπὸ τοῦ καιροῦ καὶ τῶν πραγμάτων παροτρυνόμενοι καὶ τῆς ἐν τῇ καθόλου Ἐκκλησίᾳ συμφυΐας καὶ ὁμονοίας μέγιστον λόγον ποιούμενοι, καὶ ἐξαίσιον ἀεὶ φροντίδα καταβάλλοντες, τῇ μετὰ προθυμίας καὶ διακαοῦς διαθέσεως προμηθείᾳ καὶ βοηθείᾳ, πᾶν μέτρον ἀγάπης ἀπεπληρώσαντο· ἀμέλει καὶ ἡ μετριότης ἡμῶν τῇ ἐξ ὕψους προνοίᾳ καὶ χάριτι, τὴν Μεγάλην Ἐκκλησίαν ταχθεῖσα πηδαλιουχεῖν, καὶ διὰ τοῦτο παντὸς τοῦ χριστωνύμου πληρώματος ὀφείλουσα πνευματικῶς προνοεῖσθαι, φροντίζει μὲν συντόνως, ὅπως πάντα τὰ ἐν τῇ τοῦ Χριστοῦ ἁγίᾳ Ἐκκλησίᾳ τοῖς κατ' αὐτὴν ὑπαντιάζοντα κάλλιστα διιθυνόμενα, καὶ τῷ θείῳ θελήματι ταλαντευόμενα καὶ ζυγοστατούμενα, εὐπαράδεκτα γένηται τῷ Κυρίῳ, συντονώτατα δὲ τὴν σπουδὴν ἐπὶ τῇ διηνεκεῖ διαμονῇ τῆς ἐν αὐτῇ συμπνοίας καὶ ἑνότητος καὶ ὁλοκληρίας ἐπανατείνηται, δῆθεν οὐδενὸς φειδομένη, πάντα πόνον ἀνατλῶσα, νυσταγμὸν τοῖς βλεφάροις οὐ λαμβάνουσα, ἀλλὰ διόλου νήφουσα καὶ ἐπαγρυπνοῦσα, τὰ μὲν εἰς διάστασιν καὶ διάσπασιν καὶ διαφθορὰν τείνειν ὑπονοούμενα τῷ θώρακι τοῦ Πνεύματος φραγνυμένη παντὶ σθένει διείργει καὶ ἀποκρούεται· τὰ δὲ τὴν ξυμφυΐαν συνιστῶντα πάσῃ προνοίᾳ καὶ προμηθείᾳ περιποιεῖται καὶ περιθάλπει, ἀρίστης εὐεξίας παραίτιον, καὶ τῶν ἀγαθῶν πηγὴν τὴν ἐν Πνεύματι συνάφειαν, καὶ ὁμοφροσύνην, καὶ ἀγάπην, καὶ ἐπὶ ταύτῃ μιᾷ καὶ μόνῃ ἐρηρίσθαι τὴν τοῦ Χριστοῦ ἁγίαν Ἐκκλησίαν, καλῶς εἰδυῖα καὶ διδάσκουσα, ὥστε εὐδοκοῦντος οὕτω τοῦ Θεοῦ πύλας ᾅδου αὐτῆς οὐ κατισχῦσαι. Ἐπειδὴ τοίνυν ὁ ἐν μακαρίᾳ τῇ λήξει ἁγιώτατος πατριάρχης Ἱεροσολύμων κὺρ Δοσίθεος, διὰ πολλῶν χρόνων θεαρέστως τοῦ τῆδε ἀποστολικοῦ θρόνου προστατεύσας, καὶ ἀρετῇ καὶ σοφίᾳ διαπρέψας, καὶ πολλαῖς μὲν περιστάσεσι διὰ τὰς τῶν ἀντιδοξούντων ἐπιβουλὰς πολλάκις ἐνσχεθείς, πολλῇ δὲ τῇ ὕψους εὐμενείᾳ καὶ τῷ πλούτῳ τῶν ἀρετῶν, αἷς ἐκεκόσμητο, πάντων τῶν ἀντικειμένων ὑπέρτερος ἀναφανείς, καὶ ἀρρενωπῷ καὶ γενναίῳ φρονήματι μυρίους καμάτους ὑποστησάμενος, τῷ μὲν ῥηθέντι θρόνῳ ταῖς ἀξιαγάστοις

αὐτοῦ μερίμναις καὶ πράξεσι μεγάλην ὠφέλειαν καὶ ἐπίδοσιν, μεγάλην δὲ εὐδοξίαν καὶ εὔκλειαν ἑαυτῷ περιῆψε· καὶ τοῦ τρόπου δέ, καὶ τοῦ λόγου τῇ διδασκαλίᾳ τῷ χριστωνύμῳ πληρώματι οὐκ ὀλίγην προκοπὴν καὶ ἐπίδοσιν προξενήσας ἀθανάτου καὶ ἀοιδίμου μνήμης ἠξίωται. Ἀλλὰ τῶν ἐν τῷ δε τῷ βίῳ ἐπικήρων ὄντων, γήρᾳ προβεβηκώς, κατὰ τὴν ἐν τῇ βασιλευούσῃ ταύτῃ πόλει διατριβήν, χαλεπῇ νόσῳ τρυχωθείς, καὶ πρὸς τῷ τέλει τοῦ βίου γενόμενος, ἑαυτοῦ τε μεγάλην ἐποιήσατο πρόνοιαν, τὰ ἀπὸ μέσης ψυχῆς εἰς εὐλάβειαν ἐκκεχυμένος, πάνθ' ὁπόσα παρὰ τῶν ἐκδημούντων τῶν ὧδε, ἡ καθ' ἡμᾶς ἀμώμητος ἁγιστεία ψυχωφελῶς ἀπαιτεῖ, μετὰ διαπύρου κατανύξεως ἐκτελέσας, ἀρίστην τῇ θεαρέστῳ αὐτοῦ πολιτείᾳ ἐπέθετο σφραγῖδα. Συνάμα δὲ τῆς ἀγαθῆς καταστάσεως καὶ κυβερνήσεως τοῦ ἐν Ἱεροσολύμοις ἀποστολικοῦ θρόνου προμήθειαν ποιούμενος, διὰ κωδικέλλου τῇ ἰδίᾳ ὑπογραφῇ κατησφαλισμένου, τὴν ἑαυτοῦ προμεμελετημένην γνώμην καθαρῶς ἐνεφάνισε τῇ καθ' ἡμᾶς ἁγίᾳ συνόδῳ, καὶ τὰ εἰς σύστασιν αὐτοῦ συντείνοντα μετὰ μεγάλου ζήλου παρεδήλωσεν, ἀξιώσας ἡμᾶς καὶ ἐνόρκως παρακαλέσας, ὅπως, οὕτω τῷ κρείττονι δόξαντος, μετὰ τὴν αὐτοῦ ἀποβίωσιν ἥκιστα ξυγχωρηθῇ γενέσθαι ἀλλοτρίου προσώπου παρεισχώρησις, ἀλλὰ μηδεμιᾶς παρερπυσάσης ὑπερθέσεως, ἐκ τῶν τελούντων ὑπὸ τὸν θρόνον Ἱεροσολύμων ὁ ἁρμοδιώτατος καὶ ἱκανώτατος ἐκλεγεὶς τῆς προστασίας αὐτοῦ ἐπιλάβηται. Ὅθεν μετὰ τὴν ἐκείνου εἰς τὰς αἰωνίους μονὰς μετάστασιν, αὐτίκα ποιμένα καὶ προστάτην ἀπαιτούσης τῆς νῦν ἐν Ἱεροσολύμοις ἁγίας Ἐκκλησίας, διὰ τὴν ἀπωτάτω διάστασιν τοῦ ἐν αὐτοῖς ἱεροῦ συλλόγου, καὶ τὴν εἰς ἀποκατάστασιν καὶ προβιβασμὸν ἑτέρου τινός, τό γε νῦν ἔχον ὑπὸ τῆς ἐν Ἱεροσολύμοις ἱεραρχικῆς συνόδου ὅτι τάχιστα, ὡς ἀπαιτεῖ ἡ χρεία, ἀδυναμίαν καὶ ἀμηχανίαν, ἔγνωμεν οὐκ εἰς ἀναβολὰς ἀποταμιευθῆναι τὸ πρᾶγμα, ἀλλὰ τῷ λόγῳ τῆς καθόλου συμπνοίας καὶ συμφυΐας, καὶ τῷ ἔρωτι τῆς ἀδιαιρέτου συναφείας, καὶ τῆς ἐν ἁγίῳ Πνεύματι ἑνότητος τῆς καθολικῆς Ἐκκλησίας προσαναφλεγόμενοι πρόνοιαν αὐτίκα ποιή-

σασθαι, προειλόμεθα τοῦ ἐν ἀγάπῃ καὶ ἀδελφότητι ἡμῖν ἡνωμένου ἀποστολικοῦ θρόνου, τοῦ καὶ μονονουχὶ χεῖρας ἀνατείνοντος καὶ γεγονωτέρα τῇ φωνῇ τήν δε τὴν παρ' ἡμῶν βοήθειαν καὶ ἐπικουρίαν προσλιπαροῦντος, ἵνα μή, ὡς εἴπομεν, διὰ τὴν τῶν τόπων μακρὰν διάστασιν, καὶ τὰς εἰωθυίας τῇ παρολκῇ τοῦ χρόνου προσεπιφύεσθαι ἀνωμαλίας ἀπρόσφυλόν τι συμβῇ καὶ ἀπαίσιον, καὶ βλάβην αὐτῷ ἐπενέγκῃ ἀθεράπευτον· πρὸς δὲ καὶ τὴν προσήκουσαν ἀνέκαθεν τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ, πρὸς τὰς λοιπὰς κηδεμονίαν ἀνελλειπῶς πληροῦντες, καὶ πνευματικῆς ἀγάπης τὸ καθῆκον ἀποδιδόντες, ἔτι δὲ καὶ τοῦ καιροῦ τὴν ἐπηωρημένην ἀνάγκην ἰώμενοι, κατὰ τὴν ἐν τῷ ῥηθέντι κωδικέλλῳ γενομένην προτροπήν, ἐπὶ ἐκλογῇ ἀξίου προσώπου τοῦ ἀναδεξομένου τοὺς οἴακας τῆς ἐν Ἱεροσολύμοις ἀποστολικῆς καθέδρας, νόμιμον καὶ κανονικὴν σύνοδον συνεστήσαμεν, ἐν ᾗ προκαθημένης τῆς ἡμετέρας μετριότητος, καὶ τῇ ἐπικλήσει τοῦ παναγίου Πνεύματος διευθετούσῃ αὐτήν, καὶ παρεδρεύοντος αὐτῇ τοῦ μακαριωτάτου πατριάρχου πρώην Ἀντιοχείας καὶ προέδρου Κύπρου κὺρ Ἀθανασίου, καὶ συμπαρόντων τῶν παρατυχόντων ὧδε ἱερωτάτων μητροπολιτῶν, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ ὁμογνωμονοῦντος καὶ συνάδοντος τοῦ ἐκλαμπροτάτου, ἐξοχωτάτου, καὶ σοφωτάτου αὐθέντου, πρώην μεγάλου λογοθέτου τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐξ ἀπορρήτων τῆς κραταιᾶς βασιλείας κυρίου Ἀλεξάνδρου, τοῦ κατὰ Πνεῦμα ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, συναινοῦντος δὲ καὶ τοῦ κλήρου παντός, καὶ πάντων τῶν ἀρχόντων, καὶ τῶν παρευρεθέντων ἐνταῦθα ὁσιωτάτων πνευματικῶν καὶ πατέρων τοῦ αὐτοῦ θρόνου τῶν Ἱεροσολύμων, καὶ τῶν ἐπιτρόπων τοῦ Ζωοδόχου Τάφου συνευφημούντων, γενομένης συνοδικῶς σκέψεως περὶ ἐκλογῆς ἀξιολόγου προσώπου ἐκ τῶν ἤδη τελούντων ὑπὸ τὸν θρόνον Ἱεροσολύμων, ἔδοξε τῶν λοιπῶν προέχειν καὶ πολλῷ τῷ μέσῳ ὑπερτερεῖν ὁ ἱερώτατος καὶ σοφολογιώτατος μητροπολίτης Καισαρείας τῆς Παλαιστίνης κὺρ Χρύσανθος, ἀνὴρ ἐξ ἁπαλῆς ἡλικίας τὸν μονήρη βίον ἀνῃρημέ-

νος, καὶ ἐν κόλποις τῆς ἐν Ἱεροσολύμοις ἁγίας ἐκκλησίας ἐντεθραμμένος, καὶ διὰ πολλῶν χρόνων ἐνισχυμένος πράξει καὶ θεωρίᾳ, καὶ μὴ μόνον τῇ θύραθεν φιλοσοφίᾳ, ἀλλὰ καὶ τῇ καθ' ἡμᾶς θεοσόφῳ παιδείᾳ κεκοσμημένος, καὶ ἱκανώτατος τοῦτο μὲν τῷ καθ'αὑτὸν βίῳ ὑπογραμμὸς γενέσθαι χριστιανικῆς διαγωγῆς τοῖς ὑπ'αὐτὸν, τοῦτο δὲ τῇ τοῦ λόγου σάλπιγγι τρανῶς διακηρῦξαι τὰς θείας Γραφάς· γενναῖος τὸ φρόνημα, πρᾶος τὸ ἦθος, προσηνὴς τὸν τρόπον, προσέτι διὰ μακροῦ χρόνου ὑπουργήσας τῷ Ζωοδόχῳ Τάφῳ, καὶ ὁτὲ μὲν τῷ ἀοιδίμῳ πατριάρχῃ κὺρ Δοσιθέῳ τῷ καὶ θείῳ αὐτοῦ παρακολουθῶν, καὶ ταῖς ἐκείνου πνευματικαῖς ὑποθήκαις ὑπέχων τὰ ὦτα, καὶ διὰ τὸ γῆρας ἀσθενοῦντα νεανικῶς ὑποστηρίζων· ὁτὲ δὲ τῆς ὁδοιπορίας τοὺς καμάτους εἰς ἑαυτὸν ἀναλαμβάνων, καὶ πόνοις ἰδίοις ταῖς ἀνάγκαις τῶν ἀδελφῶν ψυχαγωγίαν εὑρισκόμενος, καὶ ἵνα συλλήβδην εἴπω μετὰ τοῦ σκεύους τῆς ἐκλογῆς, ἀνεπίληπτος, κόσμιος, διδακτικὸς, σώφρων, νηφάλιος, πρὸς δὲ καὶ δυνάμενος συμφυλάξαι καὶ περιφρουρῆσαι τὸν κόσμον καὶ τὴν καλλονὴν τῆς ἐκεῖ ἐκκλησίας, ἔτι δὲ καὶ πάσαις ὑπηρετῆσαι ταῖς χρείαις, κἀπὶ τὸ κρεῖττον ἀνορθῶσαι τὰ μετὰ χεῖρας, καὶ ἑνὶ ἔπει κατὰ πάντα ἄξιος ἀναδέξασθαι ταύτην τὴν προστασίαν. Διὸ καὶ τοῖς παρευρεθεῖσιν ἱερωτάτοις μητροπολίταις τοῖς ἀγαπητοῖς ἡμῶν ἀδελφοῖς καὶ συλλειτουργοῖς δεδώκαμεν ἄδειαν ψήφους κανονικὰς προβαλέσθαι, κατὰ τὴν ἔκπαλαι ἐκκλησιαστικὴν διατύπωσιν, ὧν καὶ τῇ χάριτι τοῦ παναγίου Πνεύματος γεγενημένων, καὶ δῆτα συνευφημούντων, καὶ πνευματικῶς συναγαλλιωμένων, καὶ τῷ Κυρίῳ αἴνους ἀναφερόντων ἁπάντων, ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης κὺρ Χρύσανθος ἀπὸ τῆς ἁγιωτάτης μητροπόλεως Καισαρείας, λόγῳ μεταθέσεως προεβιβάσθη εἰς τὸν πατριαρχικὸν ἀποστολικὸν τῶν Ἱεροσολύμων θρόνον, καὶ κοινῇ ἐκλογῇ καὶ ὁμογνώμονι ψήφῳ, ἀποκατέστη γνήσιος αὐτοῦ πατριάρχης· ἡ δὲ μετριότης ἡμῶν τῇ ἐξ ὕψους χάριτι ταῦτα καλῶς εὐθετήσασα καὶ τοῦδε προνενόηται, ἵνα εἰς ἀνεξίτηλον μνήμην τὸ γεγονὸς ὁσίως καὶ ἐννόμως ἅπασι παραδηλώσῃ, καὶ εἰς τὸν ἔπειτα χρόνον παραπέμψῃ· εὔλογον γὰρ τὰ

καλῶς οἰκονομηθέντα καὶ θεαρέστως χωρήσαντα καὶ τελεσθέντα, ἅτε δεσμοῖς ἀρραγέσι, τὸ ἑνιαῖον τῆς καθόλου Ἐκκλησίας συντηροῦντα μετὰ καὶ τοῦ τὰ ἀνέκαθεν ὁρισθέντα ἑκάστῳ θρόνῳ προνόμια, ἀπαρατρέπτως καὶ ἀπαραχαράκτως συμφυλαχθῆναι, καὶ διηνεκὲς ὁμονοίας ἅμα καὶ εὐταξίας ὑπόμνημα, διὰ τοῦ παρόντος συνοδικοῦ σιγιλλιώδους γράμματος, τοῖς μεθ' ἡμᾶς πᾶσιν ὀρθοδόξοις ἐκτεθεῖσθαι καὶ συνδιατετηρῆσθαι· ὑμᾶς δὲ πατρικῶς καὶ φιλοστόργως παροτρύνει, ὅπως τῷ μακαριωτάτῳ καὶ σοφολογιωτάτῳ πατριάρχῃ τῶν Ἱεροσολύμων κὺρ Χρυσάνθῳ, τῷ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ, τὴν ὀφειλομένην εὐλάβειαν καὶ εὐπείθειαν καὶ ὑποταγὴν ἀπονέμητε, ὑπείκοντες τῆς μακαριότητος αὐτοῦ τοῖς ἐπιτάγμασι, καὶ τῇ πρὸς αὐτὸν ἀγάπῃ καὶ ὑποκλίσει πρὸς ἀλλήλους διαμιλλώμενοι, καὶ μὴν καὶ κατὰ πάντα συντρέχοντες καὶ συνεργοῦντες αὐτῷ, καὶ οἱ μὲν ὡς ἀδελφοί, οἱ δὲ ὡς τέκνα πνευματικὰ τοῦ ἐν Χριστῷ ἀδελφοῦ καὶ πατρὸς ὑμῶν ὅλῃ ψυχῇ περιεχόμενοι, ἵνα ἐν μὲν τῇ ἐπιδημίᾳ ταύτῃ τοῦ προσκαίρου βίου ὁ ἁγιώτατος ἐκεῖνος θρόνος ἐν ἠρεμίᾳ καὶ ἀγαλλιάσει διατελῇ καὶ πνευματικαῖς χάρισιν ἀνθῇ, καὶ ἡμᾶς εὐφραίνῃ διὰ τῆς ἐν Χριστῷ Ἰησοῦ ἑνότητος· ἐν δὲ τῷ μέλλοντι καὶ ἀκηράτῳ αἰῶνι ἅπαντες νοερῶς ἑνοποιηθέντες τῷ ἐν τρισὶν ὑποστάσεσιν ἑνιαίῳ Θεῷ, τῆς ἀκαταλήπτου μακαριότητος ἀπολαύωμεν εἰς αἰῶνα τὸν ἅπαντα. Ὅθεν τὸ παρὸν συνοδικὸν σιγιλλιῶδες γράμμα κατεγράφη ἐν τῷ πατριαρχικῷ κώδηκι, καὶ ἀπαραλλάκτως ἐπεδόθη τῇ αὐτοῦ μακαριότητι, ἵνα κἀν τῷ ἐν Ἱεροσολύμοις ἱερῷ κώδηκι διασώζηται.

Ἐν ἔτει σωτηρίῳ ͵αψζ΄. Μηνὶ φεβρουαρίῳ. Ἰνδικτιῶνος ΙΕ΄.

Σημ. Κεῖται τὸ παρὸν ὑπόμνημα ἐν σελίσιν 25—29 τοῦ κώδηκος τοῦ Κριτίου.

ΜΒ'.

ΤΟΥ ΑΥΤΟΥ ΓΑΒΡΙΗΛ

Συνοικεσίου γράμμα συγχωρητικὸν ἐπὶ συγγενείᾳ ἀπὸ βαπτίσματος ἐκ πλαγίου.

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Θεοφιλέστατε ἐπίσκοπε Εὐρυσθένης, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ, καὶ εὐλαβέστατοι ἱερεῖς τῆς χώρας Μεγάλης Βρύσης, καὶ γέροντες χρήσιμοι, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ. Ἀνηνέχθη ἡμῖν ὅτι ὁ Θεοδωρῆς Μακρῆς ἐβάπτισε τὸν υἱὸν τοῦ παπᾶ Παναγιώτου Ἰωάννην, ὅστις παπᾶ Παναγιώτης ἔχει καὶ ἄλλον υἱὸν Γεώργιον ὀνόματι, ὑπὸ ἄλλου ἀναδόχου βαπτισθέντα, ὅστις Γεώργιος ἔχει θυγατέρα Σταματοῦ, ἥνπερ ἔφθασε λαβεῖν εἰς γυναῖκα, χωρίς τινος περιεργείας, ὁ υἱὸς τοῦ Θεοδωρῆ Μακρῆ, Ἀλεξανδρῆς, καὶ παιδοποιήσαντες ὕστερον ἔγνωσαν, ὡς τὸ τοιοῦτον συνοικέσιον κεκώλυται παρὰ τῆς Ἐκκλησίας, ἀνθ' ὧν στενοχωρούμενοι, καὶ τὴν γαμικὴν συνάφειαν μὴ διαλύσαι δυνάμενοι, προσέδραμον μετὰ δακρύων τῷ ἐλέει τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, δεόμενοι τυχεῖν ἐνδεχομένης θεραπείας τινὸς, ὡς ἀπὸ πηγῆς ἀεννάου τῶν πολυειδῶν δωρεῶν τοῦ παναγίου Πνεύματος· ὧν τινων τὴν μακρὰν δέησιν φιλανθρώπως ἀποδεξάμενοι, κατενεύσαμεν διὰ τῆς ἐκκλησιαστικῆς ἡμερότητος ἐλέους αὐτοὺς ἀξιῶσαι, ἐπειδὴ τὸ σφάλμα αὐτῶν οὐκ ἔστιν ἀνίατον, ἀλλὰ δεκτικὸν θεραπείας διὰ τῆς ἐκκλησιαστικῆς χάριτος καὶ δυνάμεως· δοκεῖ γὰρ τὸ συνοικέσιον αὐτὸ παράνομον κατὰ τοὺς μεμαθηκότας συμπλέκειν τὰ τέκνα τοῦ ἀναδόχου καὶ τὰ βαπτιστικὰ τοῦ αὐτοῦ· ἐπὶ δὲ τούτοις καὶ τὰ ἀδέλφια τῶν βαπτιστικῶν, καὶ σχεδιάζειν συγγένειαν ἀνυπόστατον, ἀλλὰ τοῦτο οὔτε κανονικόν

ἐστιν, οὔτε παραγγελία νομική τις, ἀλλ' ἐφεύρημα τῶν τυχόντων ἐπινοίαις τῶν αὐτῶν σφαλεραῖς, καὶ οὐκ ἔστιν ἀνάγκη προσέχειν ἀπαραιτήτως παραλογισμοῖς τῶν τυχόντων, ἀλλὰ καθαρὰν τὴν ἀκρίβειαν φυλάττειν τῶν νομικῶν καὶ κανονικῶν ἐνταλμάτων, ὅσα περὶ συνοικεσίου γέγραπται, καὶ τὴν πνευματικὴν συγγένειαν ἀποφαίνεται μεταξὺ τῶν τέκνων καὶ τῶν βαπτιστικῶν τοῦ ἀναδόχου· τὰ γὰρ ἄλλα ὡς πλάγια κρίνονται. Ὅθεν καὶ ὁ διαληφθεὶς Ἀλεξανδρῆς οὐδεμίαν συγγένειαν ἔχειν λογίζεται μετὰ τοῦ Γεωργίου καὶ τῆς θυγατρὸς ἐκείνου. Τούτου χάριν ἡ μετριότης ἡμῶν εὐκρινῶς διακρίνασα καὶ ἐνωτισθεῖσα τὰ ἀναγκαίως ἐνταλθέντα καὶ διορισθέντα παρὰ τοῖς ἱεροῖς νόμοις τε καὶ κανόσι, καὶ γράφουσα ἀποφαίνεται τῇ δυνάμει, καὶ ἐξουσίᾳ, καὶ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, ἵνα τὸ συνοικέσιον αὐτὸ μένῃ ἀδιαχώριστον καὶ ἀδιάσειστον, καὶ ἔχωσιν ἄδειαν συνοικεῖν καλῶς καὶ εὐλόγως, ὁ Ἀλεξανδρῆς μετὰ τῆς Σταματοῦς, ὡς ἀνδρόγυνον ἀνέγκλητον καὶ ἀνεπίψογον, καὶ εἴησαν εὐλογημένοι ἀπὸ Θεοῦ καὶ συγκεχωρημένοι, καὶ ἀνώτεροι παντὸς ἐπιτιμίου. Οὕτω γενέσθω καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου, σελ. 250, ὅπου κεῖται ἄνευ χρονολογίας, μετὰ τῆς ὑποσημειώσεως «ἐπὶ τῶν ἡμερῶν Γαβριὴλ πατριάρχου».

ΜΓ΄.

ΤΟΥ ΑΥΤΟΥ ΓΑΒΡΙΗΛ

Ζητήματα προβληθέντα παρὰ τοῦ πρώην Ἀχρειδῶν προέδρου Βοδενῶν καὶ ἀπόκρισις περὶ τῶν αὐτῶν.

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Πρῶτον μὲν ὅτι τινὲς αὐτόθι ἄνθρωποί εἰσιν ἀμαθεῖς λίαν, ὡς φαίνεται, καὶ ἀπαίδευτοι οὐ μόνον κανονικῶν καὶ πατρικῶν παραδόσεων, ἀλλὰ καὶ αὐτῶν τῶν ἁπλῶν γραμμάτων, οἱ ὁποῖοι μὴ ἠξεύροντες τελεῖν τὴν ἀκρίβειαν τῶν ἱερῶν μυστηρίων νομίζουσιν ὅτι ἡ ἱερὰ ἐξομολόγησις νὰ προτιμᾶται ἀπὸ τὴν φρικτὴν τελετὴν τῆς θείας λειτουργίας, καὶ δι' ἐκεῖνον τὸν ἄνθρωπον ὁποῦ ἐν ὥρᾳ τοῦ θανάτου ἤθελε μεταλάβῃ δίχα ἐξομολογήσεως, νὰ μὴν ὠφελῆται ποσῶς, ὡς λέγουσι, καὶ κρίνουσι νὰ ὠφελῆται περισσότερον ὁ ἐξομολογησάμενος, καὶ μὴ μεταλαβὼν τὰ μυστήρια, παρὰ ἐκεῖνον ὁποῦ μεταλάβῃ χωρὶς τῆς ἐξομολογήσεως· καὶ ἐρωτᾷς ἂν συμφέρῃ ὁ ἀνεξομολόγητος ἄνθρωπος ἐν ὥρᾳ θανάτου νὰ μεταλάβῃ, ἢ ὄχι; Δεύτερον ὅτι οἱ τὸ μοναχικὸν σχῆμα ἐνδυόμενοι εἰς τὸ τέλος τῆς ζωῆς τους, νὰ ἀποτυγχάνωσι τελείως τῆς ἐλπίδος, καὶ νὰ μὴ καρποφορῶνται, οὔτε νὰ ἔχουν χάριν τινὰ διὰ τὴν ἐν ὑστέροις ἀπόκρισιν. Τρίτον, ὅτι οἱ περιάγοντες πνευματικοὶ πατέρες εἰς τὰ μέρη αὐτά, καὶ ἐξομολογοῦντες τοὺς προσερχομένους χριστιανοὺς δὲν τοὺς κανονίζουσι κατὰ τὰ ἁμαρτήματα ὅπου ἐκάμασιν ὡς ἄνθρωποι, καθὼς ἑρμηνεύουσι καὶ παραγγέλλουσιν οἱ πνευματικοὶ πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας μας, ἀλλὰ μόνον τοὺς λέγουν νὰ κάμουν ἀποχὴν, καὶ τὰ προημαρτημένα εἴτε εἰσὶ θανάσιμα εἴτε καὶ οὔ, τὰ συγχωροῦσιν ὅλα ἀδιακρίτως καὶ ἐξ ἴσου, καὶ μεταδίδουσι τὰ θεῖα δῶρα ἀναξίως

ἐκείνους τοὺς χριστιανοὺς χωρὶς τοὺς πρέποντας κανονισμούς. Τέταρτον, ὅτι νηστείαν τετράδος καὶ παρασκευῆς ὅλου τοῦ χρόνου παντελῶς δὲν φυλάττουσιν, ὅπου εἶναι ἀποστολικὴ ἐπιταγὴ καὶ κανονικὴ νομοθεσία, ἀλλὰ καταλύουσιν ἀνεμποδίστως τὰ ὀψάρια, καὶ δίδουσι ἄδειαν εἰς τὸν κοινὸν λαὸν καὶ νὰ μὴ νηστεύουσι Πέμπτον δὲ καὶ τελευταῖον, ὅτι εἰς τοσαύτην ἀποκοτίαν καὶ φοβερὰν αὐθάδειαν ἐξέπεσάν τινες ἱερεῖς, ὁποῦ τελοῦσι τὴν ἱερὰν μυσταγωγίαν, ἔπειτα ψαλλομένου τοῦ κοινωνικοῦ ὕμνου δὲν μεταλαμβάνουσι τοῦ θείου σώματος καὶ αἵματος τοῦ νῦν, οὔτε ὕστερον ἐκκενοῦσι τὸ ἅγιον ποτήριον κατὰ τὴν ἀρχαίαν τῆς Ἐκκλησίας παράδοσιν, ἀλλ' ἐὰν εὕρωσι μετὰ τὴν ἀπόλυσιν ἄλλον τινὰ ἱερέα, τὸ δίδουσιν ἐκείνῳ εἰς μετάληψιν· εἰ δὲ μὴ τὸ σκεπάζουσι, καὶ τὸ φυλάττουσι καθὼς εἶναι ἕως τὴν αὔριον, καὶ πάλιν λειτουργοῦσιν οἱ ἀθεόφοβοι μὲ αὐτὰ τὰ ἴδια καὶ τέλεια ἅγια. Λοιπὸν κατὰ τὰν αἴτησίν σου ἰδοὺ ὁποῦ τῆς θείας συνεργούσης ἐμπνεύσεως ἐρχόμεθα νὰ διαλύσωμεν, καὶ νὰ ἀκριβολογήσωμεν τὰς ἀμφιβολίας σου περὶ ὧν ἔχεις ζητημάτων καὶ ἐρωτήσεων, ὄχι ἀπὸ γνώμης καὶ ὑπολήψεως ἡμετέρας, ἀλλ' ἀπ' ἐκεῖνα ὁποῦ ἐμάθομεν καὶ ἐβεβαιώθημεν ἀπὸ κανόνας τῶν οἰκουμενικῶν συνόδων, καὶ ἀπὸ ἑρμηνευτικὰ ῥητὰ τῶν θεολόγων διδασκάλων καὶ πνευματοφόρων ἀνδρῶν τῆς ἁγίας ἀποστολικῆς καὶ καθολικῆς ἀνατολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἐπειδὴ καὶ εἰς τὰ τοιαῦτα ὑψηλὰ καὶ μυστηριώδη πράγματα εἶναι μέγας ὁ κίνδυνος εἰς ἐκεῖνον ὁποῦ νὰ λαλήσῃ ἢ νὰ εἴπῃ λόγον ἴδιον, ἢ ἄλλο τι ἔξω τῶν ὀρθῶν παραδόσεων καὶ πατρικῶν διατάξεων· ὅθεν κατὰ τοῦτον τὸν κανόνα θέλομεν δώσει καὶ τὰς ἀποκρίσεις.

§

Λοιπὸν εἰς τὸ πρῶτόν σου ἐρώτημα τό: ἐὰν προτιμᾶται ἡ ἁγία ἐξομολόγησις τῆς ἱερᾶς λειτουργίας, ἀπολογούμεθα νὰ γνωρίζῃς οὕτως, ὅτι ἡ ἐξομολόγησις καὶ ἡ τελετὴ τῶν ἀχράντων μυστηρίων εἶναι καὶ τὰ δύο ὑπὲρ φύσιν ἀνθρωπίνην καὶ ἔννοιαν, θεῖκὰ μυστήρια· ἐπειδὴ καὶ ὁ μὲν πνευματικὸς πατὴρ ἔχει παρὰ Θεοῦ

ἐξουσίαν νὰ δένῃ καὶ νὰ λύνῃ ἐπὶ τῆς γῆς ἀνθρώπων ὁμοιοπαθῶν ἁμαρτήματα, τὸ ὁποῖον εἶναι ἴδιον ἔργον τῆς ἐξουσίας μὲν τοῦ παντοδυνάμου καὶ δημιουργοῦ τῶν ἁπάντων Θεοῦ, καὶ δῶρον μεγαλώτατον καὶ ἀπερινόητον δι' ἀρχιερατικοῦ ἐντάλματος ἀνδράσι πνευματικοῖς, ἐμπείροις τε καὶ πεπαιδευμένοις εἰς τὰ τοιαῦτα, ἀλλὰ δὴ καὶ ἐναρέτοις ἐμπεπιστευμένον, οἱ ὁποῖοι χρεωστοῦσιν ἀναγκαίως νὰ τὸ ἐνεργοῦσι μὲ πολλὴν προσοχὴν κατὰ τὴν πνευματικὴν ἐπιστήμην ὁποῦ διδάσκουσιν οἱ θεοφόροι πατέρες, οἱ διδαχθέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος, ὡσὰν ὁποῦ δὲν ἰατρεύουν θνητὰ καὶ πρόσκαιρα ἀνθρώπων σώματα, ἀλλὰ ψυχὰς ἀΰλους καὶ ἀθανάτους, γινώσκοντες ὅτι μιᾶς ψυχῆς κατὰ κυριακὸν λόγιον οὐδὲ ὁ κόσμος ὅλος δύναται νὰ γένῃ ἀντάλλαγμα· ἡ δὲ φρικτὴ καὶ ἀπόρρητος τελετὴ τῆς ἀναιμάκτου θυσίας, τῆς ὁποίας μεταλαμβάνοντες θεοποιοῦνται οἱ ἄνθρωποι ἔχει ἄλλην μυστικωτέραν ὑπεροχὴν καὶ κρυφιότητα, ἐπειδὴ καὶ μετὰ τὰ κυριακὰ λόγια δι' ἐντεύξεως τοῦ ἱερέως ἐπιφοιτᾷ καὶ ἔρχεται ἡ χάρις τοῦ παναγίου Πνεύματος καὶ τελειοῖ τὰ προκείμενα δῶρα ἀρρήτως καὶ ὑπὲρ ἔννοιαν· καὶ διὰ τοῦτο ἔχει χρέος ἀναγκαῖον ὁ ἱερεὺς ἐκεῖνος ὅταν θέλῃ νὰ λειτουργήσῃ νὰ εἶναι ὅλος καθαρὸς καὶ ἀμόλυντος ἀπὸ παντὸς εἴδους ἁμαρτημάτων, ψυχικῶν τε καὶ σωματικῶν, καὶ εἰ δυνατὸν καὶ αὐτῶν τῶν κατὰ διάνοιαν ἐνεργουμένων διὰ νὰ παραστέκηται τῷ καθαρῷ Θεῷ μὲ καθαρότητα, ἡ ὁποία κάθαρσις μὲ ἄλλον τρόπον δὲν τελειοῦται, παρὰ διὰ μέσου τῆς ἁγίας ἐξομολογήσεως, καθὼς διετάχθημεν νὰ ἐξομολογούμεθα μεταξύ μας τὰ παραπτώματα ἡμῶν· καὶ διὰ τοῦτο φυλάττεται αὐτὴ ἡ ἀναγκαία καὶ σωτήριος συνήθεια εἰς τὰς ἁπανταχοῦ τοῦ Χριστοῦ Ἐκκλησίας· μάλιστα οἱ ἱερεῖς ὁποῦ συγχνὰ λειτουργοῦσιν ὀφείλουσιν ἀπαραιτήτως νὰ ἐξομολογοῦσι καὶ διὰ τὸν παραμικρόν τους λογιασμὸν διὰ νὰ ποιοῦσι τὸ θεῖον ἔργον μὲ συνείδησιν καθαράν. Καὶ λοιπὸν κατὰ τοῦτο καὶ μόνον ἡ ἁγία ἐξομολόγησις ὡς προενεργουμένη λέγεται νὰ προηγῆται τῆς ἱερᾶς λειτουργίας, ὄχι πῶς προτιμᾶται κατ' ἀξίαν καὶ ὑπερέχουσα· καὶ αὕτη εἶναι ἡ περὶ τοῦ ἐρωτήματος τούτου ἀληθὴς

γνῶσις καὶ ὀρθὴ ἔννοια. Τὸ δὲ ἐὰν ὠφελῆται περισσότερον ὁ ἐξομολογηθεὶς καὶ ἀποθανὼν χωρὶς μεταλήψεως· ὁ δὲ μεταλαβὼν χωρὶς ἐξομολογήσεως καὶ ἀποθανὼν νὰ εἶναι τελείως ἀμέτοχος τῆς τοιαύτης σωτηριώδους χάριτος: ἤξευρε ὅτι ταῦτα τὰ ἐρωτήματα ἔχουν καὶ διαφόρους ἐξηγήσεις καὶ ἑρμηνείας, κατὰ διαφόρους δηλονότι πολιτείας καὶ προαιρέσεις τῶν ἀνθρώπων, τὰς ὁποίας διαφορὰς πρέπει νὰ γνωρίζουν καὶ νὰ ἠξεύρουν πολλὰ καλὰ οἱ πνευματικοὶ πατέρες, μάλιστα οἱ ποιμένες καὶ προστάται πασῶν τῶν ἐκκλησιῶν καὶ ἐπαρχιῶν· διότι εἶναί τινες χριστιανοὶ ἄξιοι μεταλήψεως ἐν ὥρᾳ θανάτου, καὶ εἶναι πάλιν ἄλλοι ἀνάξιοι καὶ ὑστερούμενοι τοῦ τοιούτου ἐφοδίου δώρου· καὶ ἄξιοι μὲν κρίνονται ἐκεῖνοι, ὅσοι ἐπὶ ζωῆς τους ἐμαρτυροῦντο εὐλαβεῖς τινες ὄντες εἰς τὰ θεῖα, καὶ χριστιανικῆς πολιτείας ἄνθρωποι, καὶ ἐσύχναζον εἰς τὴν ἐκκλησίαν, ἐξομολογούμενοι μετὰ πόθου καὶ μεταλαμβάνοντες τὰ θεῖα δῶρα τετράκις τὸν χρόνον τὸ ὀλιγώτρρον· τοὺς τοιούτους ἂν τοὺς τύχῃ ἐν τῷ μεταξὺ ἐξαφνικὸν πάθος καὶ δεθῇ ἡ γλῶσσά τους, ἂν ἔτι ζῶσι καὶ πνεέωσι, καὶ χωρὶς ἐξομολογήσεως ἡ Ἐκκλησία τοὺς μεταδίδει μετ' εὐσπλαγχνίας τὴν θείαν κοινωνίαν, ὡς προδεδικασμένους καὶ πιστούς, διότι ὁ δεσμὸς συνέβη βίαιος, καὶ ὄχι ἐκ προαιρέσεως. Ἐκείνους δὲ πάλιν ὅπου ἐπὶ ζωῆς τους οὔτε ἐπόθησαν, οὔτε ἐζήτησαν τὴν τοιαύτην σωτηρίαν, ἀλλὰ διεπέρασαν καὶ ἔζησαν ἀνευλαβῶς καὶ ἀσώτως, μὴ ἐξομολογηθέντες ποτὲ, μήτε κοινωνήσαντες, ἂν τοὺς ἔλθῃ ἀναισθησίας πάθος, καὶ εἶναι εἰς ἡμᾶς ἀναμφιβόλως ἐγνωσμένον, ὅτι ἕως τὴν ὥραν τοῦ πάθους τῆς ἀναισθησίας ἔμειναν ἀδιόρθωτοι, τοὺς τοιούτους ὡς ἀναξίους, καὶ ἀπ' αὐτῆς τῆς θείας χάριτος ἀποδεδοκιμασμένους μὲ εὔλογον καὶ δικαίαν αἰτίαν τοὺς ἀποστρέφεται καὶ ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία καὶ τοὺς ὑστερεῖ τὴν ἁγίαν κοινωνίαν ἐκείνην, ὁποῦ ποτέ τους δὲν ἐζήτησαν, κρίνουσα τὴν τοσαύτην ἐγκατάλειψιν ἀπὸ θείας ὀργῆς φανερώτατα, ὡσὰν ὁποῦ εὑρέθησαν ἀμετανόητοι καὶ ἀδιόρθωτοι εἰς τὴν ὥραν τοῦ θανάτου τους, ὥστε κατὰ ἀλήθειαν, καὶ ἂν μεταλάβουν οἱ τοιοῦτοι, οὐδὲν ὠφελοῦνται,

μάλιστα κρῖμα ἐσθίουσιν ὅτι πῦρ καταναλίσκον ἐστὶ τοῖς ἀναξίοις ὁ Θεός. Εἶναι ἀκόμη καὶ ἄλλης τάξεως ἄνθρωποι ὅπου ἔκαμαν πολλὰ θανάσιμα καὶ ἀρνησίθεα ἁμαρτήματα, ὡσὰν φόνους, ἀκολασίας καὶ ἀδικίας ἔργα καὶ τὰ λοιπὰ, ἀμὴ, ἐπειδὴ ὕστερον μετενόησαν ἐκ καρδίας, καὶ ἐξωμολογήθησαν, καὶ ἐδέχθησαν σκληροὺς καὶ κοπιαστικοὺς κανόνας ἀπὸ τοὺς πνευματικοὺς, καὶ ἔδειξαν ὑπομονὴν ἄκραν καὶ ταπείνωσιν διάγοντες ἀκοινώνητοι μέχρι καιροῦ ὡρισμένου, τοὺς τοιούτους ἐν τῷ μεταξὺ ἂν τοὺς ἔλθῃ θάνατος, ἡ Ἐκκλησία δὲν περιμένει τὸν διωρισμένον ἐκεῖνον καιρὸν, ἀλλ' ἀνεμποδίστως τοὺς μεταδίδει τὰ θεῖα δῶρα, ὡς εὑρισκομένους εἰς μετάνοιαν, καὶ ἀγῶνα παιδείας, καὶ πλέον δὲν ἀνερευνᾷ παρέκει τὸ ἄπειρον τοῦ Θεοῦ ἔλεος. Εἰ δέ τινες εὑρεθῶσι, τῶν ὁποίων ἡ πολιτεία κατὰ ἀκρίβειαν ἡμῖν ἐστιν ἀγνώριστος, οὔτε καὶ ἐὰν εἰς τὴν ὥραν ἐκείνην τῆς ἀναισθησίας καὶ τοῦ τέλους ἂν ἐμετενόησαν δὲν τὸ ἠξεύρομεν, τοῖς τοιούτοις συγχωροῦμεν τὴν τῶν ἀχράντων μυστηρίων μετάληψιν ἀφίνοντες τὴν κρίσιν εἰς τὴν θείαν πρόγνωσιν· ἀλλὰ καὶ ἁπλῶς πάντας τοὺς ζητοῦντας ἐν ὥρᾳ θανάτου τὸ θεῖον τοῦτο δῶρον, εἴτε διὰ λόγου, εἴτε διὰ σχήματος, ἢ νεύματος, δὲν τοὺς ἀποστεροῦμεν, πλὴν τῶν αὐτοχειρὶ ἑαυτοὺς θανατωσάντων, ἐὰν μὴ φθάσωσιν ἐξομολογηθέντες ἐν μετανοίᾳ. Διὰ τοῦτο ἐπειδὴ καὶ εἰς τὰ μέρη αὐτὰ δὲν εὑρίσκονται πνευματικοὶ ἱερομόναχοι, χρέος ἔχουσιν οἱ ἀρχιερεῖς καὶ ποιμένες νὰ κάμωσι κατὰ τόπους ἄλλην οἰκονομίαν καὶ θεραπείαν νὰ διαλέξουν ἀπὸ τοὺς πρεσβυτέρους ἱερεῖς τῶν χωρίων τοὺς πλέον εὐλαβεστέρους καὶ εἰς διαγωγὴν καὶ πολιτείαν καθαρωτέρους, καὶ τοὺς δώσουν ἄδειαν ἐν καιρῷ ἀνάγκης, ἢ καὶ πάντοτε, νὰ ἐξομολογοῦν τοὺς χριστιανοὺς καὶ νὰ τοὺς μεταλαμβάνουν, πλὴν μὲ τὴν ὀρθὴν ἔρευναν καὶ κανονικὴν ἀκρίβειαν, διὰ νὰ μὴν ἀποθνήσκουν οἱ πιστοὶ ἀμεταλάβητοι μὴ ἐξομογούμενοι, ὅτι περὶ τῆς τοιαύτης στερήσεως ἔχουν νὰ δώσουν οἱ ποιμένες τῶν ἐκκλησιῶν λόγον ἀναπολόγητον τῷ ἀδεκάστῳ κριτῇ ἐν ἡμέρᾳ κρίσεως· καὶ ταῦτα μὲν λογιάζομεν νὰ εἶναι ἀρκετὰ περὶ τοῦ πρώτου ζητήματος.

§

Εἰς τὸ δεύτερόν σου ἐρώτημα ἀπολογούμεθά σοι τοῦτο, ὅτι ἐκεῖνοι ὁποῦ ἀγνοοῦντες λέγουσι πῶς: ὅσοι ἐνδύονται τὸ μοναχικὸν σχῆμα ἐν τέλει τῆς ζωῆς τους δὲν ὠφελοῦνται μετὰ θάνατον, ἀλλὰ μεταβαίνουσιν ἐντεῦθεν χωρὶς τοῦ τοιούτου ψυχωφελοῦς καρποῦ, μωραίνουσιν ὡς ἀμαθεῖς, καὶ δὲν ἠξεύρουν τελείως τί λαλοῦσι και τί φρονοῦσι, διότι ὅποιος κατὰ θεῖον σκοπὸν καὶ ἐν ἀληθείᾳ θέλει νὰ ἐνδυθῇ τὸ μοναχικὸν σχῆμα, εἶναι ἀνάγκη νὰ προγνωρίζῃ πῶς κάμνει παραίτησιν τελείαν τοῦ κόσμου καὶ πῶς θέλει νὰ νεκρώσῃ τὴν σάρκα, καὶ ὅλα της τὰ πάθη, καὶ τὰς ἐπιθυμίας, καὶ ἀπ' ἐκείνης τῆς ὥρας νὰ παραδίδῃ τὸν ἑαυτόν του εἰς ἐγκράτειαν, ὑπομονήν τε καὶ σκληραγωγίαν καὶ τὰ λοιπὰ τῆς ἀρετῆς ἔργα· καὶ οὖν διὰ τὸ ἐπίπονον, δυσκατόρθωτόν τε καὶ ἐπικίνδυνον τοῦ ἐγχειρήματος, μήποτε καὶ ἀφ' οὗ ἐνδυθῇ τὸ μοναχικὸν σχῆμα ἐκεῖνος ὁ ἄνθρωπος, ὕστερον φανῇ ἀδύνατος καὶ γένῃ μετάμελος καὶ παραιτηθεὶς πέσῃ εἰς κρίμα ἀναπολόγητον, ὡς ἐμπαίκτης ὑποσχέσεων ὧν πρὸς Θεὸν ἐποίησεν, ὥρισαν οἱ θεοφόροι πατέρες εἰς τὸν πέμπτον κανόνα τῆς Α΄ καὶ Β΄ συστάσης συνόδου ἐνταῦθα εἰς Κωνσταντινούπολιν, νὰ μὴ γίνεται ἡ τοιαύτη ὑποταγή, οὔτε νὰ ἐνδύεται ὁ τυχὼν τὸ σχῆμα τοῦ μοναχοῦ, ἀλλὰ νὰ περιμένῃ ὁ τοιοῦτος χρόνους τρεῖς σωστοὺς ἐγκαρτερῶν εἰς ἀγῶνα καὶ ἐγκράτειαν, καί, ἀφ' οὗ τελειώσῃ τὴν διορίαν δοκίμως, τότε νὰ ἀξιοῦται καὶ τοῦ μοναχικοῦ σχήματος· μάλιστα διὰ μερικούς τινας ὁποῦ ἤθελαν νὰ φανῇ ἔχοντες θεῖον ἔρωτα καὶ θερμὴν προθυμίαν ἐξ ἀρχῆς, καὶ προκόπτοντες καθ' ἡμ[έρα]ν εἰς τὰ ἔργα τῆς ἀρετῆς ὡσὰν ὁποῦ ἔδειξαν φανερὰ σημάδια πῶς ἔχουν νὰ εὐδοκιμήσουν εἰς τὸ μέλλον, καὶ νὰ φθάσουν εἰς τελειότητα, ὁρίζουσι καὶ τοῦτο κανονικῶς οἱ πατέρες νὰ εἶναι ἱκανὸς εἰς αὐτοὺς πρὸς δοκιμασίαν καὶ ὁ ἑξαμηνιαῖος χρόνος διὰ νὰ ἀξιοῦνται τὸ μοναχικὸν σχῆμα πρὸ τῆς διορίας τῶν τριῶν χρόνων· ὥστε ἀκόλουθον εἶναι, ἐκεῖνοι ὁποῦ ἀσκοῦνται τὰ ἔργα τῆς ἀρετῆς, ἂν τοὺς ἔλθῃ ἀσθένεια καὶ ἐνδυθοῦν

τὸ τοῦ μοναχοῦ σχῆμα, ἐν τέλει θανάτου ἀναμφιβόλως νὰ ἀποδημοῦσι καρποφορημένοι καὶ μετὰ πολλῆς χάριτος καὶ παρρησίας· ἀλλὰ καὶ ἁπλῶς τοὺς ἐν ὅλῃ τῷ προτέρᾳ αὐτῶν ζωῇ περὶ τούτου μηδόλως φροντίσαντας ἢ διανοηθέντας, ἐν δὲ τῷ τέλει καὶ τῇ ὥρᾳ τοῦ θανάτου εἰς πόθον τούτου ἐλθόντας καὶ ζητήσαντας αὐτὸ λαβεῖν κατὰ θείαν φώτισιν καὶ ὁδηγίαν, οὐδὲ τοὺς τοιούτους, λέγω, ἡ Ἐκκλησία τοῦ Θεοῦ ὑστερεῖ τοῦ ἀγγελικοῦ τούτου σχήματος κατὰ τὸ ἐν ᾧ εὕρω σε καὶ κρινῶ σε, καὶ κατὰ τὸ κυριακὸν θεῖον λόγιον, «τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω», τὸ ὁποῖον τοῦτο βεβαιοῖ καὶ ἡ ἀρχαία παράδοσις καὶ τὸ ἔθος καὶ ἡ πρᾶξις τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, καθὼς καὶ τὰ ἐν ταῖς ἐκκλησιαστικαῖς ἱστορίαις ἀναγινωσκόμενα παραδείγματα παριστῶσιν· οἱ δὲ ἄλλως φρονοῦντες, ὡς ἀπὸ κοιλίαν λαλοῦντες, εἶναι λανθασμένοι καὶ σφάλλουσιν, ἐναντιούμενοι εἰς τὴν γνώμην καὶ διδασκαλίαν τῆς Ἐκκλησίας.

ζ

Εἰς δὲ τὸ τρίτον ζήτημα, τουτέστι διὰ τοὺς πνευματικοὺς τοὺς ἀδιακρίτως ἐξομολογοῦντας καὶ συγχωροῦντας τοῖς ἀνθρώποις ἐξ ἴσου πᾶν ἁμάρτημα, τόσον τὰ μεγάλα καὶ θανάσιμα, ὅσον τὰ μικρὰ καὶ ἐλαφρὰ μὲ λόγον μόνον, καὶ ὑπόσχεσιν ἀποχῆς· ἤξευρε ὅτι εἶναι κάποια ὁμοιότης μεταξὺ ἰατρῶν τῶν σωμάτων καὶ ἰατρῶν τῶν ψυχῶν· διότι οἱ κοσμικοὶ ἰατροί, ὅσοι ἠξεύρουν τὴν τέχνην καλά, δὲν κρίνουν πρῶτον καὶ γνωρίζουν τὰ πάθη, ἔπειτα κατ' ἐκεῖνα, καὶ καθὼς τοὺς ἑρμηνεύουν οἱ κανόνες τῆς τέχνης των, οὕτως ἰατρεύουν καὶ θεραπεύουν τοὺς ἀρρώστους ὑγιῶς· ἔτζι καὶ οἱ πνευματικοὶ πατέρες, οἱ ἰατροὶ τῶν ψυχῶν, πλὴν κατὰ ἀσύγκριτον τρόπον, ἔχουσι χρέος νὰ ἐξομολογοῦν καὶ νὰ ἰατρεύουν τὰ ψυχικὰ τῶν ἀνθρώπων ἁμαρτήματα, ὄχι καθὼς τοὺς φανῇ, καὶ εὑρίσκουν μὲ τὴν ἀνθρωπίνην τους ὑπόληψιν, ἀλλὰ καθὼς ἑρμηνεύουσι καὶ διατάττουσιν οἱ πνευματοφόροι τῆς Ἐκκλησίας μας διδάσκαλοι· διότι εἶναι καὶ ἁμάρτημα ἐλαφρὸν συγχωρήσεως ἄξιον, ἀμὴ εἶναι καὶ ἁμάρτημα, ὁποῦ χρειάζεται μετὰ τὴν ἐξομολόγησιν κόπους καὶ

ἱδρῶτας πολλοὺς καὶ σφοδρὰ κανονίσματα, καὶ δάκρυα μακροῦ καιροῦ, καὶ πολὺν ἀγῶνα, ἕως οὗ νὰ ἐξαλειφθῇ καὶ νὰ συγχωρηθῇ ὁ ἁμαρτωλὸς καὶ ὑπεύθυνος· διότι ἡ ἀληθὴς ἀποχὴ καὶ μετάνοια εἶναι ἀρχὴ καὶ ὁδὸς πρὸς σωτηρίαν, μὰ ὄχι αὐτὴ ἡ τελεία κάθαρσις καὶ ἄφεσις τῶν ἁμαρτημάτων. Πῶς λοιπὸν αὐτοὶ οἱ αὐτοκέφαλοι πνευματικοὶ μὲ ψιλὴν ἀποχὴν συγχωροῦσιν εὐκόλως ἁμαρτήματα μεγάλα, φανερὸν εἶναι καὶ βέβαιον, ὅτι οὔτε ἐκεῖνοι ὁποῦ ἐξομολογοῦνται μὲ τέτοιον τρόπον ἀπολαμβάνουσι καμίαν λύτρωσιν ἁμαρτημάτων καὶ ἄφεσιν, οὔτε οἱ ἐξομολογοῦντες πνευματικοὶ κατορθώνουν καμίαν ψυχικὴν καὶ μυστικὴν διόρθωσιν, μάλιστα γίνονται κοινωνοὶ εἰς ἁμαρτίας ἀλλοτρίων, καὶ θέλουν κατακριθῇ μεγάλως ἐν ἡμέρᾳ κρίσεως, ὡς πλανῶντες καὶ πλανώμενοι, καὶ ψυχὰς ἀπολλύοντες· ἀνάγκη λοιπὸν οἱ τοιοῦτοι ἀδόκιμοι καὶ ἀχρεῖοι πνευματικοὶ νὰ ἐπιτιμηθοῦν σφοδρῶς, καθὼς καὶ δι' ἡμετέρου συνοδικοῦ γράμματος θέλουν ἐτασθῇ καὶ ἐλεγχθῇ ἀρκετῶς· ἀλλὰ καὶ οἱ κατὰ τόπους ἀρχιερεῖς τοὺς τοιούτους, ὡς παρόντας, πρέπει νὰ τοὺς διατάξουν διὰ ζώσης φωνῆς, καὶ νὰ τοὺς παιδεύσουν νὰ παύσουν ἀπὸ τὴν ψυχώλεθρον αὐτὴν ἀταξίαν, καὶ νὰ μὴ φθείρουν πλέον τὸν λαὸν τοῦ Θεοῦ μὲ τὸν ἀπατηλὸν καὶ θανάσιμον αὐτὸν τρόπον, ὅτι ἔχουν νὰ δώσουν λόγον τῷ Θεῷ, ὡς προείπομεν, διὰ τὴν ἀπώλειαν τῶν τοσούτων ψυχῶν, καὶ νὰ φροντίσουν νὰ ἐνεργῆται ἡ ἐξομολόγησις κατὰ τὴν ἐκκλησιαστικὴν διάταξιν καὶ συνήθειαν, κανονιζόμενοι οἱ ἐξομολογούμενοι κατὰ τὰ ἁμαρτήματά τους· ὅτι ἀλλέως οἱ ἁμαρτάνοντες ἐφ' ὅσον ζῶσιν ἀμετανόητοι, ἢ διάγουσιν ἐν ἀνέσει καὶ ἀμεριμνίᾳ, νὰ σωθοῦσιν εἶναι ἀδύνατον· ἔτζι κηρύττουσιν αἱ πνευματικαὶ διδασκαλίαι καὶ κατηχήσεις τῶν θεολόγων τῆς Ἐκκλησίας μας.

δ

Τὸ δὲ τέταρτον ζήτημα, τὸ διὰ τὴν νηστείαν τῆς τετράδος καὶ τῆς παρασκευῆς διαλαμβάνον, τοῦτο πολυλογίαν οὐ παραδέχεται, ὅτι εἶναι φανερὸν τοῖς πᾶσι καὶ γνώριμον. Ἐπειδὴ καὶ εἶναι διαταγὴ αὐτῶν τῶν πανευφήμων τοῦ Κυρίου ἀποστόλων, οἱ ὁποῖοι

εἰς τὸν ΞΘ΄ κανόνα τους προστάζουσι ῥητῶς οὕτως: «εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ Πάσχα οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευὴν, καθαιρείσθω, ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω»· ἰδοὺ λοιπὸν ὁποῦ συνηρίθμησαν τὰς τετράδας καὶ παρασκευὰς ὅλου τοῦ χρόνου ὁμοῦ μὲ τὴν μεγάλην τεσσαρακοστὴν, ὡσὰν νὰ εἶναι νηστείαις ἰσότιμαις χωρὶς τῶν σεσημειωμένων ἑβδομάδων τοῦ ἀρτζιβουρίου, τῆς διακαινησίμου καὶ τῆς πρὸ τῶν ἁγίων Πάντων κυριακῆς. Ποῖος οὖν ἀσεβὴς καὶ ἀλιτήριος ἄνθρωπος δύναται νὰ καταλύσῃ καὶ νὰ ἀνατρέψῃ νηστείαν ὁποῦ ἐστηρίχθη μὲ ἀποστολικὸν κανόνα, καὶ ὕστερον νὰ ὀνομάζεται χριστιανός; Τοῦτο εἶναι ἀδύνατον, ὅτι ὁ ἀθετῶν τοὺς μαθητὰς τοῦ Κυρίου παρακούει καὶ ἀθετεῖ αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Χρεία εἶναι λοιπὸν νὰ μάθῃ ἅπας ὁ κοινὸς λαὸς πόσην παρανομίαν ποιοῦσιν οἱ μὴ νηστεύοντες τετράδα καὶ παρασκευὴν μὲ ξηροφαγίαν, ὡς ἑρμηνεύουσιν οἱ διδάσκαλοι, καὶ ὅτι διὰ τὴν παράβασιν ταύτην καὶ οἱ διδάσκοντες, καὶ οἱ ὑπακούοντες θέλουν πέσει εἰς βαθύτατον βάραθρον τῆς θείας ὀργῆς καὶ φοβερᾶς κολάσεως.

ς

Ἂς ἔλθωμεν καθεξῆς τώρα καὶ εἰς τὸ πέμπτον καὶ τελευταῖον ἄθεον ὅλως καὶ ἀποτρόπαιον ἔργον, ὁποῦ τελοῦσιν οἱ θεοπαῖγκται καὶ ἐπάρατοι ἐκεῖνοι ἀνάξιοι ἱερεῖς τοῦ Θεοῦ τοῦ ὑψίστου, ἀλλ' αἰσχύνης τῆς ἐσχάτης καὶ κατακρίσεως, ἐπειδὴ καὶ τολμῶσιν οἱ μιαροὶ καὶ ἀκάθαρτοι, καὶ προσεγγίζουν εἰς τὰ φρικτὰ καὶ ἀπόρρητα, καὶ ἐκτελοῦσιν αὐθαδῶς τὴν ἱερὰν λειτουργίαν, ἔπειτα τῷ καιρῷ τῆς κοινωνήσεως μένουσιν ἀκοινώνητοι, καὶ ἐὰν μετὰ τὴν ἀπόλυσιν εὕρωσιν ἄλλον ἱερέα δίδουσιν ἐκείνῳ τὸ ἅγιον ποτήριον εἰς μετάληψιν, εἰ δὲ, τὸ κρύπτουσιν ὡς εὑρίσκεται, καὶ τῇ ἐπαύριον λειτουργοῦσι πάλιν μὲ τὰ ἴδια τέλεια ἅγια· ὢ φρίξον ἥλιε· καὶ τίς εἶδεν, ἢ τίς ἤκουσέ ποτε γινόμενα τοιαῦτα ἀσεβείας καὶ παρανομίας ἔργα εἰς ταῖς καθαραῖς καὶ ἁγίαις τοῦ Χριστοῦ

ἐκκλησίαις! καὶ ἄρα ἂν τοὺς ἐρωτήσῃ τινὰς νὰ μάθῃ διατί λειτουργοῦντες οὐ μεταλαμβάνουσι κατὰ τὴν πατροπαράδοτον συνήθειαν τῆς Ἐκκλησίας, τί ἤθελαν νὰ εἰποῦν, ἢ τί ἄλλο ἔχουν νὰ ἀπολογηθοῦν, πάρεξ, ὅτι δὲν εἶναι ἄξιοι, καὶ ἀνίσως διὰ τὴν μετάληψιν δὲν ἦσαν ἄξιοι, ὡς ἀκάθαρτοι καὶ μεμιασμένοι, πῶς τολμοῦν καὶ λειτουργοῦν, πῶς πλησιάζουν ἁπλῶς εἰς τὴν ἱερὰν τράπεζαν, δὲν φοβοῦνται νὰ μὴν σχισθῇ ἡ γῆ καὶ τοὺς καταπίῃ ὡς τὸν Δαθὰν καὶ Ἀβειρών, ἢ νὰ μὴν κατέβῃ πῦρ ἐξ οὐρανοῦ καὶ τοὺς κατακαύσῃ· τοῦτο τους τὸ ἔργον ὑπερβαίνει τὰ ἄλλα παράλογα, διὰ τὸ ὁποῖον εἶναι ἄξιοι τελείας καθαιρέσεως καὶ ἀποχωρισμοῦ τῆς χριστιανικῆς ὁμηγύρεως, ἀνίσως καὶ ἀκούσαντες νουθεσίας καὶ παραγγελίας ἐκκλησιαστικὰς δὲν καταργήσουν αὐταῖς ταῖς σφαλεραῖς δόξαις, ὁποῦ ἔχουν εἰς ταῖς μωραῖς ὑπόληψαις καὶ ταῖς προρρηθείσαις ζήτησες τῶν ἐρωτήσεων, οὔτε φροντίσωσι νὰ καταπεισθῶσιν εἰς ταῖς ἑρμηνείαις καὶ σαφήνειαις, ὁποῦ ἀνωτέρω εἰς τὸ καθ' ἓν ἐρώτημα διεξοδικῶς ἀπελογήθημεν καὶ ἐφανερώσαμεν. Περὶ ὧν καὶ γράμμα ἡμέτερον πατριαρχικὸν συνοδικόν, μὲ γνώμην καὶ σκέψιν τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, πέμπομεν κατὰ τὸ παρὸν ἀφορίζον καὶ ἐπιτιμῶν ἀορίστως τοὺς ἀτακτοῦντας. Ὅταν δὲ μάθωμεν κατ' ὄνομα τοὺς μὴ δεχομένους τὴν ἐκκλησιαστικὴν παραίνεσιν, τότε θέλομεν τοὺς καθήρῃ ὡς ἀποστάτας καὶ ἀντιθέους, καὶ νὰ τοὺς ἀπορρίψωμεν εἰς τὴν μέλλουσαν καταδίκην τῆς δικαιοκρισίας τοῦ Θεοῦ· πλὴν κατὰ τὸ παρὸν καὶ ἡ ἀδελφότης σου κατὰ τὸν θεῖον ζῆλόν σου ὀνείδισον, ἔλεγξον, ἐπιτίμησον, καὶ καθ' ὅσον δύνασαι ἀγωνίσου πρὸς ὠφέλειαν τῶν χριστιανῶν, ἵνα ἔχῃς τὸν μισθὸν πεπληρωμένον, καὶ χάριν ἀξίαν παρὰ τοῦ πρώτου ποιμάντορος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅστις δῴη σοι τὴν ἑαυτοῦ εἰρήνην διὰ τὴν ἀγαθήν σου προαίρεσιν καὶ ἐπιμέλειαν, ὁποῦ ἔχεις διὰ τὴν κοινὴν σωτηρίαν τοῦ ὑπὸ τὴν προεδρείαν σου χριστωνύμου πληρώματος, καὶ διαβιώῃς ἐρρωμένως ψυχῇ τε καὶ σώματι. ‚αψε΄. Ἀπριλλίου α΄. Ἰνδικτιῶνος ΙΓ΄.

Σημ. Ἐξεδόθη τὸ πρῶτον ὑπὸ Μ. Ἰ. Γεδεὼν ἐν *Ἐκκλησιαστικῇ Ἀληθείᾳ* τόμ. Γ', σελ. 361—364, μεταγραφὲν ἀπὸ τοῦ κώδηκος τοῦ Φωτίου Κυπρίου.

ΜΓ'.

ΚΥΠΡΙΑΝΟΥ ΤΟΥ ΑΠΟ ΚΑΙΣΑΡΕΙΑΣ

Βεβαιωτήριον διαθήκης ἐπὶ τοῦ πατριάρχου Κυπριανοῦ γεγονός.

Κυπριανὸς ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Ἱερώτατε μητροπολῖτα Οὐγγροβλαχίας, ὑπέρτιμε, καὶ ἔξαρχε Πλαγηνῶν, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ, καὶ ὁσιώτατοι καθηγούμενοι τῶν αὐτόθι ἱερῶν καὶ σεβασμίων μοναστηρίων, καὶ εὐλαβέστατοι ἱερεῖς, καὶ χρήσιμοι ἄρχοντες, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ, εὐχὴ δὲ καὶ εὐλογία καὶ συγχώρησις παρ' ἡμῶν. Τετραχῶς ἄρα ἡ φρόνησις θεωρεῖσθαι πέφυκε, καὶ γὰρ φρονίμου ἴδιον πρῶτον τὸ κτήσασθαί τι· δεύτερον τὸ εἰδέναι φυλάξειν ὃ ὑπεκτήσατο· μᾶλλον δὲ κατὰ τὸν εἰπόντα σοφὸν, πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον· οὐ μόνον δὲ τὸ φυλάξαι τἀγαθὰ φρονίμῳ φροντὶς, ἵνα μὴ ὑπὸ τῆς ἀνωμαλίας τοῦ καιροῦ, ἢ ὑπό τινος ἀκορέστου χειρὸς ἀπόλλωνται· ἀλλὰ τρίτον καὶ τὸ αὔξησαι τὰ ἀγαθά· τέταρτον δὲ καὶ τὸ χρήσασθαι αὐτοῖς ὀρθῶς· τούτου οὖν οὕτως ἔχοντος, δεῖ τὸν ποιήσαντα ἢ ὑποκτησάμενόν τι προνοεῖσθαι τοῦ ποιηθέντος εἰς φυλακὴν καὶ συντήρησιν· γίνεται δὲ τοιαύτη φυλακὴ καὶ συντήρησις, εἴ γε τὸ πρᾶγμα τοῦθ' ὃ ὑπεκτησάμεθα προστασίᾳ τινὸς μείζονος καὶ ἱερωτέρου, φυλαχθησόμενον ὑποτάξωμεν. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ τιμιώτατος καὶ εὐγενέστατος ἐν ἄρχουσι μέγας

βόρνικος τῆς εὐλαμπροτάτης αὐθεντείας Οὐγγροβλαχίας κύριος Σερβάνος Καντακουζηνός, ὁ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς τῆς ἡμῶν μετριότητος, ἰδίᾳ φρονήσει κινηθείς, καὶ βουλόμενος διαθέσθαι τὰ κατ᾽αὐτὸν ἐν διαθήκῃ ἐνυπογράφῳ καὶ ἐμμαρτύρῳ, καὶ διορίσασθαι περὶ τῶν πραγμάτων αὐτοῦ, τῶν πατρικῶν δηλαδή, προπατορικῶν τε καὶ ἰδιοκτήτων, κινητῶν καὶ ἀκινήτων, ἀμπελώνων δηλαδή, μωσιῶν, καὶ τῶν λοιπῶν πάντων γενέσθαι μετὰ τὴν ἀποβίωσιν αὐτοῦ, κατὰ τὴν ἰδίαν αὐτοῦ γνώμην καὶ βούλησιν, ἅτε μὴ ἔχων τέκνα καὶ κληρονόμους, ἐδεήθη καὶ ἠξίωσε τὴν ἡμῶν μετριότητα κυρῶσαι καὶ ἐμπεδῶσαι τὴν διαθήκην αὐτοῦ, ἡμετέρῳ πατριαρχικῷ καὶ συνοδικῷ γράμματι, τοῦ εἶναι δηλονότι κεκυρωμένα καὶ ἀπαρασάλευτα μετὰ τὴν τελευτὴν αὐτοῦ τὰ ὅσα ἂν διορίσηται εἰς τὴν διαθήκην αὐτοῦ. Διὰ τοῦτο ἡ μετριότης ἡμῶν κατὰ τὸ ἔθος καὶ προνόμιον τῆς πατριαρχικῆς ἀξίας καὶ μεγαλειότητος, χρέος ἀπαραίτητον ἔχουσα ἐπικυροῦν καὶ ἐπιβεβαιοῦν τὰ πρὸς τῶν θεοσεβῶν καὶ φιλαρέτων ἀνδρῶν καλῶς καὶ εὐσεβῶς διενεργούμενα, καὶ τοῦ δικαίου λόγου ἐχόμενα, ἀπεδέξατο προσηνῶς καὶ τούτου τοῦ φιλοχρίστου ἄρχοντος τὴν αἴτησιν ταύτην, ὡς εὔλογον οὖσαν καὶ ἡμῖν ἀνήγγειλε, καὶ πρὸς ἀγαθὸν ἀφορῶσαν σκοπόν. Καὶ δὴ γράφουσα διὰ τοῦ παρόντος ἀποφαίνεται συνοδικῶς, μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαθήκη τοῦ αὐτοῦ εὐγενεστάτου καὶ φιλοθέου ἄρχοντος Σερβάνου Καντακουζηνοῦ, ἥτις ἐστὶ δικαία βούλησις αὐτοῦ καὶ ἔννομος. Ἕκαστος γὰρ κατὰ τοὺς θείους καὶ ἱεροὺς νόμους ἔχει ἄδειαν καὶ ἐξουσίαν διαθέσαι τὰ κατ᾽ αὐτὸν ὡς βούλεται, καὶ τὰ ἐν αὐτῇ παρ᾽αὐτοῦ διαταχθέντα καὶ διορισθέντα περὶ τῶν πραγμάτων καὶ κτημάτων αὐτοῦ κινητῶν τε καὶ ἀκινήτων, ἀμπελώνων, μωσιῶν, καὶ λοιπῶν πάντων, εἴτε προπατορικῶν αὐτοῦ, εἴτε πατρικῶν καὶ μητρικῶν, εἴτε ἰδιοκτήτων, ἔχωσι τὸ κῦρος μετὰ τὴν ἀποβίωσιν αὐτοῦ, μένοντα βεβαιωμένα καὶ ἀπαρασάλευτα ἐξάπαντος. Ὁποῖοι δ᾽ ἂν τολμήσωσι μετὰ τὴν τελευτὴν τοῦ ρηθέντος ἄρχοντος, ἐναν-

τιωθῆναι τῇ διαθήκῃ αὐτοῦ, καὶ τοῖς ἐν αὐτῇ διαταχθεῖσι καὶ διορισθεῖσιν ὑπ' αὐτοῦ, χεῖρα τε βαλεῖν πλεονέκτιδα καὶ λαβεῖν τι τῶν ὑπαρχόντων αὐτοῦ, ἢ ἄλλως διασεῖσαι καὶ παρασαλεῦσαι τὰ ἐν τῇ διαθήκῃ διορισθέντα, καθ' ὁποιονοῦν τρόπον τὴν ἐπιβουλὴν ποιησόμενος, ὁποίας ἂν ᾖ τάξεως, καὶ στάσεως, καὶ ὁποίου βαθμοῦ, ὁ τοιοῦτος ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον, καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος, καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν βεβαιωτικὸν γράμμα, καὶ ἐδόθη τῷ αὐτῷ ἄρχοντι, εἰς διηνεκῆ τὴν ἀσφάλειαν. ͵αψη'

Ἐν μηνὶ Μαρτίῳ. Ἰνδικτιῶνος Α'.

† Ὁ Ἡρακλείας καὶ Ραιδεστοῦ Νεόφυτος — † Ὁ Κυζίκου Κύριλλος — † Ὁ Νικομηδείας Παρθένιος — † Ὁ Χαλκηδόνος Κωνστάντιος — † Ὁ Τορνόβου Διονύσιος — † Ὁ Ἀδριανουπόλεως Ἀθανάσιος — † Ὁ Φιλιππουπόλεως Νεόφυτος — † Ὁ Ναυπάκτου καὶ Ἄρτης Νεόφυτος.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου· σελ. 53—54.

ΜΔ'.

ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΑΠΟ ΑΔΡΙΑΝΟΥΠΟΛΕΩΣ

Ἔλεγχος τῷ Μολδοβίας, ὡς χωρὶς ἐκδόσεως πατριαρχικῆς χειροτονηθέντι καὶ νουθεσία τοῦ πῶς δεῖ πολιτεύεσθαι.

Ἀθανάσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Ἱερώτατε μητροπολῖτα Μολδοβίας, ὑπέρτιμε καὶ ἔξαρχε Πλαγηνῶν, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλει-

τουγὲ κὺρ Γεδεὼν, χάρις εἴη σου τῇ ἱερότητι καὶ εἰρήνη ἀπὸ Θεοῦ. Διὰ τῆς παρούσης πατριαρχικῆς συνοδικῆς ἐπιστολῆς δύο τινὰ παριστάνομεν· τὸ μὲν τὸν προσήκοντα ἔλεγχον ἐκτιθέμενοι τοῦ τολμηθέντος αὐτῇ ἀτοπήματος, ἥτις μέλλουσα προβιβασθῆναι καὶ μετατεθῆναι ἐπὶ τὴν ἁγιωτάτην μητρόπολιν ταύτην Μολδοβίας οὐκ ἐφρόντισεν, οὔτε μὴν ἐστοχάσθη ὅλως ζητῆσαι ἄδειαν ἐντεῦθεν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἡμετέραν πατριαρχικὴν ἔκδοσιν, ὡς νενόμισται, καὶ διὰ τοῦτο προσήκει ὁ ἔλεγχος, καὶ μάλιστα ἵνα προσέχῃ καλῶς εἰς τὸ ἑξῆς ἐπὶ τῷ φυλάττειν ἀπαραβάτως τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ ὅρους. Γινωσκέτω λοιπὸν ὅτι μεγάλου καὶ ὑψηλοῦ καὶ σεβασμίου ὑπάρχοντος ὑπέρ τι ἄλλο ἐν τῇ ἱερᾷ ἐκκλησιαστικῇ καταστάσει τῶν ὀρθοδόξων χριστιανῶν τοῦ θείου τῷ ὄντι καὶ θεοδωρήτου τῆς ἀρχιερωσύνης ἀξιώματος, ὀφείλουσι κατὰ χρέος ἀπαραίτητον οἱ εἰς τοῦτο προσκαλούμενοι, καὶ τυχεῖν τούτου ἐφιέμενοι, στοχάζεσθαι μετὰ πολλῆς τῆς εὐλαβείας καὶ μεγάλης τῆς προσοχῆς, ὅπως προχωρήσῃ ὁ προβιβασμὸς αὐτῶν κατὰ τὴν ἐκκλησιαστικὴν θεσμοθεσίαν, καὶ τὴν τῶν ἱερῶν κανόνων καὶ θείων νόμων διακέλευσιν· τούτῳ καὶ γὰρ τῷ τρόπῳ γινόμενοι εἰσί τε καὶ γινώσκονται ὡς ἀληθῶς νόμιμοι καὶ κανονικοὶ προστάται καὶ γνήσιοι τῆς ἐνθέου ταύτης ἀρχιερατικῆς ἀξίας· ἄλλως γὰρ παραβλέποντες τὴν κανονικὴν διάταξιν, ἢ ὑποτύπωσιν, καὶ παρατήρησιν, καὶ ἀντιτακτοῦντες, καὶ ἀντιπράττοντες, δικαίῳ λόγῳ ὑπεύθυνοι γίνονται ὡς αὐτοκατάκριτοι. Ἕκαστος καὶ γὰρ ἐκ τῶν ἰδίων ἔργων ἢ δοξασθήσεται ἢ αἰσχυνθήσεται, ὁ ἐκκλησιαστικὸς νόμος τρανοποιῶν ἀποφαίνεται: τὸ γὰρ μέτρον τῆς ἀνταποδόσεως αὐτὸ ἐκεῖνο παρά τε θείοις καὶ ἀνθρωπίνοις νόμοις τὸ μέτρον τῶν πεπραγμένων ἐστί· καὶ ὁ μὲν τίμια καὶ δεδοξασμένα ἐργαζόμενος ἔργα, καὶ τὴν κανονικὴν καὶ ἐκκλησιαστικὴν θεσμοθεσίαν εὐλαβούμενος, ὅπερ καὶ ἱερωμένοις μᾶλλον τῶν ἄλλων ὀφείλεται, κατάλληλον καὶ ἁρμόδιον λήψεται τὸν μισθόν· ὁ δὲ τοὐναντίον διεστραμμένα καὶ ἀπᾴδοντα τοῖς ἐκκλησιαστικοῖς ὅροις τε καὶ κανόσιν ἐσχηκὼς τὰ ἐπιτηδεύματα ἐπιλήψιμός ἐστι καὶ

ἀνεύθυνος, ὁμότροπόν τε καὶ ὁμοειδῆ τὴν ἰσομετρίαν ἄξιός ἐστι λαμβάνειν τῆς ἀνταποδόσεως· καὶ ταῦτα μὲν περὶ τοῦ ἐλέγχου. Τὸ δὲ ἕτερόν ἐστι δηλοποιῆσαι τὴν γενομένην ἀθώωσιν αὐτῆς καὶ συγχώρησιν, ἥτις τοῦτον ἠκολούθησε τὸν τρόπον. Δοθείσης γὰρ παρὰ τῆς κραταιᾶς βασιλείας, Θεοῦ ἐλέει καὶ εὐδοκίᾳ, τοῦ σοφῶς καὶ συμφερόντως τὰ πάντα οἰκονομοῦντος καὶ διεξάγοντος, τῆς κατὰ τὴν αὐτόθι ἐκλαμπροτάτην τζάραν ἐξουσίας καὶ ἡγεμονίας τῷ νῦν ἐκλαμπροτάτῳ, ἐνδοξοτάτῳ, ὑψηλοτάτῳ, καὶ εὐσεβεστάτῳ αὐθέντι καὶ ἡγεμόνι, μεγαλοπρεπεστάτῳ καὶ τῷ ὄντι ἀξιαγάστῳ κυρίῳ κυρίῳ Ἰωάννῃ Νικολάῳ Μαυροκορδάτῳ βοεβόνδᾳ πάσης Μολδοβίας, τῷ κατὰ πνεῦμα υἱῷ ἀγαπητῷ καὶ περιποθήτῳ τῆς ἡμῶν μετριότητος, ἐμεσίτευσεν ἡ φιλευσεβὴς αὐτοῦ ἐκλαμπρότης, καὶ ἠξίωσεν ἡμᾶς, δι' ἔμφυτον αὐτοῦ καλοκἀγαθίαν καὶ ἱλαρότητα, χρηστήν τε καὶ φιλοικτίρμονα διάθεσιν καὶ προαίρεσιν, ὑπὲρ τῆς συγχωρήσεως αὐτῆς καὶ ἀθωώσεως· πρὸς δέ γε οἷα φιλευσεβὴς καὶ φιλόχριστος, εἰδήμων τε καὶ σοφὸς, καὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας μέλος ἐξαίρετον, καὶ πολλῷ τῷ μέτρῳ τῶν ἄλλων ὑπερανεστηκὼς διὰ τὰ ἐμπεφυκότα αὐτῷ πολυειδῆ προτερήματα καὶ αὐχήματα, ἐρῶν, καὶ ποθῶν, καὶ εὐλαβούμενος τὴν ἐκκλησιαστικὴν εὐταξίαν καὶ κανονικὴν ἀκρίβειαν, σπουδὴν καὶ προθυμίαν ἔδειξε παροτρύνων ἡμᾶς, οὐ σιωπῇ παρελθεῖν καὶ εἰς τὸ ἑξῆς τὸ τοιοῦτον, ἀλλὰ καὶ διὰ γράμματος ἐκκλησιαστικοῦ συνοδικοῦ κατασφαλίσαι, ὡς εἰκὸς, τὰ ἀρχῆθεν γνωμοδοτηθέντα καὶ κανονισθέντα ὑπό τε τῶν θεοσέπτων ἀποστόλων, καὶ τῶν μετ' ἐκείνους ἁγίων καὶ θεοφόρων πατέρων ἐν τῇ ἱερατικῇ καὶ ἐκκλησιαστικῇ καταστάσει, ἀνθ' ὧν τὴν ἔνδοξον καὶ εὐπρόσδεκτον μεσιτείαν καὶ ἀξίωσιν τῆς φιλευσεβοῦς αὐτοῦ ἐκλαμπρότητος προσηνῶς ἀποδεξάμενοι κατενεύσαμεν παρασχόντες αὐτῇ, γνώμῃ κοινῇ συνοδικῇ τῆς περὶ ἡμᾶς τῶν συναδελφῶν ἀρχιερέων ὁμηγύρεως, τὴν ἀθώωσιν καὶ συγχώρησιν. Ὅθεν καὶ ὡς συγγνώμην αὐτῇ δεδωκότες καὶ ἀθωώσαντες εὐθὺς ἐν ἀρχῇ τῆς ἀποστολῆς ἀγαπητὸν αὐτῇ ἀδελφὸν καὶ συλλειτουργὸν, γράφομεν, ὅπερ καθ' ἕτερον

τρόπον οὐκ ἂν αὐτῇ εὐχερῶς ἐπικολούθητε. Τούτων οὖν οὕτως ἐχόντων, πρὸς τῷ χάριτας αὐτὴν οὐ τὰς τυχούσας ὁμολογεῖν τῇ φιλευσεβεῖ αὐτοῦ ἐκλαμπρότητι, προσεχέτω καλῶς, ὅπως πολιτεύηται εἰς τὸ ἑξῆς εὐτάκτως καὶ ἐπαινετῶς καὶ θεαρέστως κατὰ τὸ ἱερὸν τῆς ἀρχιερωσύνης ἐπάγγελμα, φυλάττων καὶ τὴν προσήκουσαν αἰδῶ καὶ εὐλάβειαν πρὸς τὴν πνευματικὴν αὐτῆς μητέρα καὶ εὐεργέτιδα, καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν· ἀπελύθη δὲ, κατὰ τὸ ἐκκλησιαστικὸν ἔθος, καὶ ἡ νενομισμένη πρᾶξις τῆς κατ' αὐτὴν ἀρχιερατείας, ἥτις καὶ πέμπεται ἤδη πρὸς αὐτὴν, ἣν καὶ παραλαβοῦσα διὰ φροντίδος ἐχέτω ποιμαίνειν τὸ θεόθεν αὐτῇ ἐμπιστευθὲν λογικὸν τοῦ Χριστοῦ ποίμνιον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ὡς εὐαγγελικὸς ποιμὴν καὶ προστάτης, διὰ βίου πολυετοῦς καὶ σωτηριώδους. Ἡ δὲ τοῦ Θεοῦ χάρις, καὶ εὐχὴ, καὶ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ τῆς σῆς ἱερότητος.

,αψθ'. Νοεμβρίου κη'.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου· σελ. 163—165.

ΜΕ'.

ΤΟΥ ΑΥΤΟΥ ΑΘΑΝΑΣΙΟΥ

Διόρθωσις περὶ τῆς ἐν Μολδοβίᾳ φθασάσης γίνεσθαι ἀταξίας ἐν τῇ χειροτονίᾳ τοῦ μητροπολίτου τολμωμένης χωρὶς ἐκδόσεως καὶ ἀδείας πατριαρχικῆς καὶ συνοδικῆς διδομένης ἐντεῦθεν· ἐπὶ τῆς πρώτης αὐθεντείας Νικολάου βοεβόδα, διορίζουσα μηκέτι γίνεσθαι. Ἐτελέσθη δὲ ἐπὶ τῆς πατριαρχείας τοῦ μακαρίτου Ἀθανασίου Κρητός.

Ἀθανάσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Νόμοις ἱεροῖς, καὶ κανόσιν ἰθυνόμενα Θεοῦ χάριτι, τοῦ τὲ

σύμπαν δημιουργήσαντος, καὶ τῇ πανσόφῳ αὐτοῦ προνοίᾳ συντηροῦντος, ἀλλ' οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε, τὰ τῆς χριστιανικῆς ἡμῶν πολιτείας, καὶ πρό γε τούτων μάλιστα τὰ τῆς ἱερᾶς καταστάσεως διετάχθησαν ἄνωθεν, ὑπό τε τῶν ἱερωμένων τοῦ λόγου καὶ θεοκηρύκων ἀποστόλων, καὶ τῶν καθ' ἑξῆς ἁγίων καὶ θεοφόρων πατέρων καὶ διδασκάλων τῆς εὐσεβείας· διὸ καὶ πειθαρχεῖν ἀνάγκη καὶ ὑποτάσσεσθαι πάντα εὐσεβῆ καὶ ὀρθόδοξον, τοῖς ἐν Πνεύματι θείῳ συντελεσθεῖσιν ἐν τῷ σεπτῷ τῆς τοῦ Θεοῦ Ἐκκλησίας συστήματι, θείοις, φημὶ, τούτοις νόμοις καὶ ἱεροῖς κανόσι καὶ κανονικοῖς προνομίοις, εἰς συμπλήρωσιν καὶ ἀπαρτισμὸν τῆς ἐκκλησιαστικῆς ὁλομελείας, διεξαγωγήν τε καὶ ὁδοποίησιν, τὴν ποδηγετοῦσαν εἰς τὴν οὐρανίαν πολιτογραφίαν τοὺς ὀρθοδόξους, καὶ ἐπιμνηστεύουσα σφίσιν αὐτοῖς τῶν αἰωνίων ἀγαθῶν καὶ ἀπολαύσεων· οὐ μὴν ἀλλὰ, καὶ φροντίζειν αὐτῶν ὑπέρ τι ἄλλο ὀφείλομεν, καὶ ὅλῃ σπουδῇ καὶ προθυμίᾳ φυλάττειν, κατὰ χρέος ἀπαραίτητον, τὰ παρ' αὐτῶν θεσπιζόμενα· ἐπὶ τούτοις καὶ γὰρ ἵδρυται καὶ θεμελιοῦται ἡ πνευματικὴ οἰκοδομὴ τῆς ἐκκλησιαστικῆς εὐταξίας, καὶ δι' αὐτῶν συναρμολογεῖταί πως καὶ συναλληλλουχεῖται πάντως τὰ εἰδοποιοῦντα τὴν ἀγγελικὴν εὐσέβειαν καὶ τὴν ὁλοκληρίαν τοῦ πληρώματος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας. Ἀνθ' ὧν τὰ παρεωραμένα δήπου ἐᾶν, τὰ κανονικῶς γραφέντα καὶ κηρυχθέντα οὐκ ἀνεκτὸν τοῖς εὐσεβὲς κεκτημένοις τὸ φρόνημα, ἅτε μέγαν ἐπιφέρον τὸν κίνδυνον· ταῦτά τε καὶ τὰ ὅπως δήπως παρατραπέντα τῇ χρονικῇ περιπετείᾳ χρὴ τὸν ἐνόντα τρόπον εἰς τὸ εὔθετον ἀνακαλεῖν, και πρὸς τὸ ἐνεργεῖν διεγείρειν. Ἐπειδὴ τοιγαροῦν ἄνωθεν μὲν καὶ ἐξ ἀρχῆς, ὥσπερ ἐν ταῖς λοιπαῖς ἐπαρχίαις, οὕτω κἀν τῇ ἁγιωτάτῃ μητροπόλει Μολδοβίας, διετηρεῖτο καλῶς ἡ νενομισμένη τάξις, καὶ κανονικὴ διατύπωσις, καὶ ὅτε χρεία εἴη, καὶ ἔμελλε, καιροῦ καλοῦντος, χειροτονίαν γενέσθαι μητροπολίτου τῆς αὐτῆς μητροπόλεως, ἢ μετάθεσιν τῆς ἐκλογῆς, κατὰ τόπον ἐκεῖ γινομένης, καὶ ἀναφερομένης τῆς ὑποθέσεως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν, ἄδεια ἐδίδοτο, ἢ

έντεῦθεν παρ' αὐτῆς, διὰ πατριαρχικῆς ἐκδόσεως ἐκεῖσε ἀποστελλομένης, εἶθ' οὕτω συνετελεῖτο ἡ χειροτονία, ἢ ἡ μετάθεσις, ὡς νενόμισται. Ἐν τοῖς μεθ' ὕστερον δὲ χρόνοις, οὐκ οἶδ' ὅπως, παρεωράθη ἅπαξ καὶ δίς που ἡ ἔνθεσμος καὶ κανονικὴ αὕτη τάξις καὶ πρᾶξις, εἴτ' ἐξ ἀπροσεξίας καὶ ἀγνοίας τῶν μελλόντων χειροτονεῖσθαι, καὶ μετατίθεσθαι, εἴτ' ἐξ ἀμελείας, ἢ καὶ ἀπειρίας τῶν ἡγεμονευόντων· τὰ νῦν δὲ εὐδοκίᾳ τοῦ κρείττονος ἀναδεξάμενος παρὰ τῆς κραταιᾶς βασιλείας τὴν ἀρχὴν καὶ ἡγεμονίαν τῆς ἐκεῖ ἐνδοξοτάτης αὐθεντείας, ὁ ἐκλαμπρότατος, ἐνδοξότατος, ὑψηλότατος, εὐσεβέστατος αὐθέντης καὶ ἡγεμὼν μεγαλοπρεπέστατος, καὶ τῷ ὄντι ἀξιάγαστος, ὡς πολλοῖς καὶ ὑψηλοῖς προτερήμασι καὶ αὐχήμασι κεκοσμημένος ὤν, κύριος κύριος Ἰωάννης Νικόλαος Μαυροκορδάτος τῆς αὐτῆς χριστιανικῆς αὐθεντείας, ὁ καὶ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς καὶ περιπόθητος τῆς ἡμῶν μετριότητος, σκοπὸν ἔχων καὶ ἐφιέμενος χριστιανικῶς καὶ θεαρέστως ἡγεμονεύειν καὶ αὐθεντεῖν, ἀπαρχὰς τῆς εὐθέτου αὐτοῦ προαιρέσεως προσενήνοχεν, ὡς ἀπὸ ἀφετηρίας εὐτυχοῦς, ἐν ἀρχαῖς δηλονότι τῆς θεόθεν αὐτῷ δωρηθείσης ἡγεμονίας, ὅστις οὐ μόνον οὐκ ἠνέτχετο τῆς γενομένης τανῦν παρατροπῆς τῶν νομικῶν τε καὶ κανονικῶν διατάξεων, οἷα φιλευσεβὴς καὶ φιλόχριστος, καὶ κάλλιστον θρέμμα, καὶ μέλος γνησιώτατον καὶ ἐξαίρετον τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, λόγων τε παιδείας καὶ συνέσεως πλήρης· καὶ ζῆλον θεοσεβείας πλουτῶν, ἀλλὰ καὶ εἰς τὴν προτέραν εὐκατάστατον τῆς ἐκκλησιαστικῆς εὐταξίας ἐπαναγαγεῖν κατάστασιν ἔγνω, καὶ ἀνακαλέσαι εἰς μέσον τὴν κανονικὴν τάξιν τέως παρεωραθεῖσαν, προὐθυμήσατο. Κἀντεῦθεν καὶ ἠξίωσεν ἡμᾶς φροντίδα κατὰ χρέος ποιήσασθαι τῆς ἀξίας ἐπανορθώσεως τοῦ πράγματος, καὶ ἐπικυρῶσαι καὶ διὰ γράμματος ἐκκλησιαστικοῦ συνοδικοῦ τὰ ἀρχῆθεν γνωμοδοτηθέντα καὶ κανονισθέντα, ὡς εἴρηται. Τούτου χάριν, τὴν εὐλογωτάτην ταύτην ἀξίωσιν τῆς φιλευσεβοῦς αὐτοῦ ἐκλαμπρότητος, μετὰ πάσης περιχαρείας, πολλῆς δὲ εὐφημίας, καὶ παντοίων ἐγκωμίων, ἀποδεξάμενοι, τὸ δεόμενον διορθώσεως παριδεῖν οὐκ ἀπη-

ξιώσαμεν, ὡς περὶ παντὸς τὰ τῆς Ἐκκλησίας ποιούμενοι, καὶ ὡς ἔνεστι φροντίζοντες προθέσεσιν ὅλαις διαφυλάξαι ἀκαταπαύστως πάσης παρατροπῆς ἐπέκεινα τὴν ἱερὰν τῆς Ἐκκλησίας θεσμοθεσίαν, ἐν Θεῷ ἄνωθεν συναντιλαμβάνοντι. Καὶ δὴ κατὰ τοὺς ἱεροὺς ὅρους καὶ θεσμοὺς καὶ τὰς κανονικὰς διατάξεις τῆς ἁγίας τοῦ Χριστοῦ ἡμῶν Ἐκκλησίας, γράφομεν, καὶ ἀποφαινόμεθα, γνώμῃ κοινῇ, συνοδικῶς, τοῦ τε μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης κυρίου κυρίου Χρυσάνθου, τοῦ ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμετέρας μετριότητος, καὶ τῆς περὶ ἡμᾶς θεοσυλλέκτου τῶν συναδελφῶν ἀρχιερέων ὁμηγύρεως ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸ ἑξῆς, μηκέτι τολμηθῇ ἡ ὅπως δήπως παρεισφρήσασα ἀταξία, κατὰ τὰ εἰρημένα. Ἀλλ' ἡνίκα γίνεται χρεία χειροτονίας μητροπολίτου Μολδοβίας, ἢ μεταθέσεως, ἐκλεγομένου κατὰ τόπον τοῦ ἀναφανέντος ἀξίου καὶ ἁρμοδίου προσώπου εἰς τὸ ἀναδέξασθαι τὴν πνευματικὴν προστασίαν τοῦ κατὰ τὴν ἁγιωτάτην μητρόπολιν Μολδοβίας λογικοῦ ποιμνίου, ἀναγγέλλεσθαι τὴν ἐκλογὴν αὐτοῦ πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν, καὶ ἐξ αὐτῆς δίδοσθαι ἄδειαν, διὰ πατριαρχικῆς ἐκδόσεως τοῦ κατὰ καιροὺς οἰκουμενικοῦ πατριάρχου ἐκεῖσε ἀποστελλομένης, καὶ τότε ἐκτελεῖσθαι τὴν χειροτονίαν, ἢ τὴν μετάθεσιν, οὕτω δεῆσαν, τοῦ ἐκλεγομένου προσώπου ἐπὶ τὴν ἁγιωτάτην μητρόπολιν Μολδοβίας κατὰ τὴν ἐκκλησιαστικὴν καὶ κανονικὴν διατύπωσιν. Οὕτω γενέσθω ἐξ ἀποφάσεως, μηδενός τινός ποτε τὸ σύνολον τολμῶντος ἄλλως πως φέρεσθαι ἢ ἀντιλέγειν καὶ ἀντιπράττειν, καὶ ἀπ' ἐναντίας ὅλως χωρεῖν τῆς συνοδικῆς καὶ κοινῆς ταύτης ἀποφάσεως, ἱερωμένου ἢ λαϊκοῦ. Ὁ δὲ τολμήσων συγχίσαι καὶ ἀνατρέψαι τὴν ἔνθεσμον ταύτην καὶ κανονικὴν ἀπόφασιν καὶ διάταξιν ὁ τοιοῦτος ἕξει πάντως τὸ θεῖον ὄμμα ἀντίδικον. Ὅθεν εἰς ἔνδειξιν, καὶ διηνεκῆ ἀσφάλειαν, ἀπελύθη τὸ παρὸν πατριαρχικὸν συνοδικὸν ἐπιβεβαιωτήριον γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,

ὅπερ καὶ ἐν τῷ τῆς ἁγιωτάτης μητροπόλεως Μολδοβίας κώδηκι ἐγχαραχθήσεται, οὐκ ἀπεικότως, καὶ καταστρωθήσεται.

Ἐν ἔτει σωτηρίῳ ,αψθ΄.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος Φωτίου Κυπρίου, σελ. 87—91.

ΜϚ΄.

ΤΟΥ ΑΥΤΟΥ ΑΘΑΝΑΣΙΟΥ

Ἀθανάσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Γεραίρειν ἀεὶ προσφυῶς εἴωθε τὸ περιούσιον ὕψος τῆς Ἐκκλησίας τοὺς καλούς ποτε χρηματίσαντας, ἐν ᾗ ἐκληρώθησαν ἀξίᾳ καὶ τάξει, καὶ μετὰ ἀκριβοῦς δοκιμασίας ἀξίους ἀναφανέντας καὶ εὐαρέστους ἐν τῷ ἐμπιστευθέντι αὐτοῖς λειτουργήματι· τιμάς τε ἀπονέμειν αὐτοῖς, καὶ χαρισμάτων τρόπους τοῖς ἀξίοις ἀξίως ἐντίθησι, τοῖς ἀποστολικοῖς καθυπεῖκον ἐντάλμασι, τοῖς τὴν τιμὴν ἀποδιδόναι τρανῶς ἐντελλομένοις. Ἐπαινετοί τε καὶ γὰρ οἱ τοιοῦτοι δικαιοτρόπως, καὶ τῶν ἄλλων προτιμητέοι, καὶ οὐ τῆς τυχούσης δεξιώσεως, καὶ εὐδοξίας, καὶ κρείττονος ἐπιστάσεως παρὰ τῆς οἱασοῦν τεταγμένης ἐπικρατεστέρας δυνάμεως ἄξιοι. Ἄλλως τε καὶ τῆς καθ' ἡμᾶς ἀποστολικῆς καὶ καθολικῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας πηγαίας οὔσης καὶ ἀρχικῆς αἰτίας πάντων τῶν ἐκκλησιαστικῶν χαρισμάτων καὶ ἀξιωμάτων, οἱ βουλόμενοι τούτων τυχεῖν κατὰ μέρος ἁπανταχοῦ διατελοῦντες χριστιανοὶ, ἀναφέρειν αὐτὰ εἰώθασιν ἐπὶ τὴν κορυφαίαν ταύτης περιωπὴν, εἰς τὸ τελειοποιοῦν τὰ τοιαῦτα, καὶ ἐπικυροῦν ἀσφαλῶς, τῇ κατ' αὐτὴν οἰκουμενικῇ ἐκκλησιαστικῇ ἐξουσίᾳ. Ἐπειδὴ τοιγαροῦν καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Καλλιουπόλεως καὶ Μαδύτων κὺρ Ἱερε-

μίου, τοῦ ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ καλῶς καὶ συνετῶς διάγοντος ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ, ποιμαίνοντός τε καὶ διακυβερνῶντος τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν ποίμνιον εὐτάκτως καὶ θεαρέστως, καθὼς καὶ ὑπὸ τοῦ γέροντος αὐτοῦ ἱερωτάτου μητροπολίτου Ἡρακλείας καὶ Ραιδεστοῦ, προέδρου τῶν ὑπερτίμων καὶ ἐξάρχου πάσης Θράκης καὶ Μακεδονίας, ἐπιστοποιήθη ἡμῖν ἡ εὔτακτος καὶ ἐπαινετὴ διαγωγὴ καὶ πολιτεία τῆς αὐτοῦ θεοφιλίας, ἐγένετο ἀξίωσις καὶ ἱκεσία, ὅπως ἔχῃ ἄδειαν ὁ αὐτὸς θεοφιλέστατος ἐπίσκοπος Καλλιουπόλεως καὶ Μαδύτων κὺρ Ἱερεμίας, ἀμφιέννυσθαι σάκκον ἐν ταῖς ἱεραῖς τελεταῖς τῆς θείας μυσταγωγίας καὶ ἱερᾶς λειτουργίας. Τούτου χάριν τὴν ἀξίωσιν αὐτοῦ καὶ ἱκεσίαν παριδεῖν οὐκ ἀπηξιώσαμεν, ἀλλὰ φιλοτιμῆσαι αὐτὸν, ὡς ἄξιον καὶ εὐαγγελικὸν ποιμένα καὶ ἀρχιερέα, προσηνῶς κατενεύσαμεν. Εἰ γὰρ καὶ πατριαρχικὸν ἄμφιον ὁ σάκκος ὑπάρχει, ἀλλὰ διὰ τὴν τιμὴν τῆς ἀρχιερωσύνης, κατ' οὐσίαν μὴ διαφερούσης, καὶ μητροπολῖται τοῦτον ἐνδιδύσκεσθαι συνεχωρήθησαν, ἐπίσκοπος δὲ καὶ μητροπολίτης τῆς ἀξίας τῆς ἀρχιερωσύνης οὐκ ἐλαττοῦνται ἀλλήλων, εἰ καὶ, κατά τινα τάξιν ὑστερογενῆ, ὑπερτερεῖ ὁ μητροπολίτης τοῦ ἐπισκόπου, ὥσπερ οὐδὲ πατριάρχης μητροπολίτου· μία καὶ γὰρ ἡ ἀρχιερωσύνη ἐστὶ, καθ' ἣν καὶ ἐπίσκοποι ἐκέκληντο οἱ ἀρχιερεῖς, ὡς καὶ αὐτοὶ οἱ ἀπόστολοι καὶ μαθηταὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ καὶ Θεοῦ ἐπίσκοποι ὠνομάζοντο, ὧν διάδοχοι εἰσὶ καὶ ὀπαδοὶ, καὶ πατριάρχαι, καὶ μητροπολῖται, ἀρχιεπίσκοποί τε καὶ ἐπίσκοποι. Καὶ δὴ γράφοντες διὰ τοῦ παρόντος, καὶ ἐν ἁγίῳ ἀποφαινόμενοι Πνεύματι, ἄδειαν παρέχομεν τῷ ῥηθέντι ἐπισκόπῳ Καλλιουπόλεως καὶ Μαδύτων κὺρ Ἱερεμίᾳ, διὰ τὴν εὔτακτον αὐτοῦ καὶ ἐπαινετὴν πολιτείαν, ἀμφιέννυσθαι σάκκον, καὶ σεμνύνεσθαι τῇ περιβολῇ τούτου, ἐν ταῖς θείαις καὶ ἱεραῖς μυσταγωγίαις καὶ λειτουργίαις ἀνεμποδίστως, μηδενὸς ἀκαιρολογοῦντος, ἐν οἷς ἡ τῆς Ἐκκλησίας πρόνοια, διὰ τῆς πατριαρχικῆς ἀξίας καὶ μεγαλειότητος, ἐξοικονομεῖ κατὰ καιροὺς ἐπιβραβεύουσα τοῖς ἀξίοις [τὰς] φιλοτιμίας. Ὅθεν

εἰς ἔνδειξιν ἐδόθη τῇ αὐτοῦ θεοφιλίᾳ καὶ τὸ παρὸν τῆς ἡμῶν μετριότητος ἀδείας γράμμα. Ἐν ἔτει σωτηρίῳ ͵αψια΄.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Φωτίου Κυπρίου, σελ. 118—120.

ΜΖ΄.

ΙΕΡΕΜΙΟΥ ΤΟΥ ΑΠΟ ΚΑΙΣΑΡΕΙΑΣ

Λύσις κληρονομικῶν τινων ζητημάτων.

Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης κτλ. Ἐνταῦθα ἀνηνέχθη ἡμῖν αὐτόθεν ὅτι πολλαὶ μητέρες ἀποθνήσκουσιν ἐπὶ παισὶν, εἶτα ἀποθνήσκουσι καὶ τὰ παιδία· καὶ αὖθις πολλοὶ πατέρες ἐπὶ παισὶν ἀποθνήσκουσιν, εἶτα ἀποθνήσκουσι καὶ τὰ παιδία αὐτῶν· περὶ ὧν ἐρωτῶσι μέχρι πόσου διαστήματος καιροῦ τελευτώντων τῶν παίδων μετὰ τὸν θάνατον τοῦ πατρὸς ἢ τῆς μητρὸς αὐτῶν γίνεται ἡ τριμοιρία; ὡσαύτως ἐρωτῶσι καὶ περὶ τῶν πρὸ γάμου δωρεῶν εἰ προσφέρονται ἀποθανόντων τῶν γονέων, εἶτα καὶ τῶν παίδων; Πρὸς τούτοις, εἰ γονεῖς τοῦ ἀποθανόντος παιδὸς οὐκ εἰσὶν, ἄλλοι δὲ συγγενεῖς, τίνες κληρονομοῦσι; καὶ εἰ γίνεται καὶ τότε τριμοιρία; προσέτι γυναικὸς θανούσης ἐπὶ παίδων, ὁ ἀνὴρ ἐκείνης διδοὺς τοῖς ἐπιτρόποις τοῦ καταλειφθέντος ὀρφανοῦ παιδίου τὴν προῖκα τῆς γυναικὸς αὐτοῦ καὶ τὰς παρ' αὐτοῦ πρὸς ἐκείνην δωρεὰς ὀφείλει ἐπιστρέφειν καὶ ἀποδιδόναι καὶ ἃς ἔλαβεν αὐτὸς πρὸ γάμου δωρεάς; ἐπὶ τούτοις δὲ ἐρωτῶσιν, εἰ πατρὸς ἀποθανόντος ἐπὶ παιδὸς, εἶτα καὶ τὸ παιδίον ἀποθάνῃ καὶ γενομένης τριμοιρίας, πότερον, ἡ γυνὴ πρὸς τῇ προικὶ αὐτῆς καὶ ταῖς παρὰ τοῦ ἀνδρὸς

-τροποι, also to hand over the presents he received from his wife before marriage?

child dies, and a τριμοιρία take place, ought the ... to receive, besides her dowry, the presents ...

πρὸς αὐτὴν δωρεαῖς λαμβάνει καὶ ἅπερ ἐδωρήσατο αὐτὴ τῷ ἀνδρὶ αὐτῆς πρὸ γάμου ἢ οὐχί;—Τούτων οὖν οὕτω προβαλλομένων καὶ ἐρωτωμένων, γράφοντες συνοδικῶς ἀποφαινόμεθα ὅτι· πατρὸς ἢ μητρὸς ἐπὶ ἑνὶ παιδὶ ἀποθανόντων, εἶτα ἀποθάνῃ καὶ τὸ παιδίον ἀνήλικον καὶ πρὸ τοῦ ἐλθεῖν εἰς αὔξησιν ἡλικίας, τότε γίνεται ἡ τριμοιρία· καὶ τὸ μὲν ἓν μέρος δίδεται εἰς τὴν θανὴν καὶ τὰ μνημόσυνα τοῦ ἀποιχομένου, τὸ δὲ ἕτερον μέρος λαμβάνει τὸ ζῶν μέρος ἐκ τοῦ ἀνδρογύνου, ὁ πατὴρ τυχὸν ἢ ἡ μήτηρ, καὶ τὸ ἄλλο ὁ πάππος ἢ ἡ μάμμη τοῦ θανόντος παιδίου· ὅταν δὲ πατὴρ ἢ μήτηρ ἀποθάνῃ ἐπὶ παιδί, καὶ τὸ παιδίον αὐξηθὲν καὶ ἐλθὸν εἰς νόμου ἡλικίαν καὶ γενόμενον χρόνων δεκατεσσάρων ἀποθάνῃ, τηνικαῦτα τριμοιρίαν οὐ δέον γίνεσθαι· ἀλλὰ τὸ ζῶν μέρος, πατὴρ εἰ τύχοι ἢ μήτηρ, κληρονομεῖ τὸ τεθνηκὸς παιδίον· μητρὸς δὲ ἀποθανούσης ἐπὶ παίδων αἱ πρὸς τὴν γυναῖκα παρὰ τοῦ ἀνδρὸς πρὸ γάμου δωρεαὶ κληρονομία γίνεται τοῦ παιδὸς μετὰ τῆς λοιπῆς μητρικῆς αὐτοῦ περιουσίας. Εἶτα καὶ τοῦ παιδὸς θανόντος ἀνηλίκου ἢ ἐνηλίκου οἱ κληρονόμοι ἐκείνου, ὡς ἀνωτέρω διείληπται, κληρονομοῦσι πάντα· γονέων δὲ τοῦ τεθνεῶτος μὴ ὄντων, πατρὸς δηλονότι, ἢ μητρὸς, ἢ πάππου, ἢ μάμμης, ἢ καὶ προππάπου καὶ προμμάμης, τότε τριμοιρία οὐ γίνεται, ἀλλ' οἱ πλησιέστεροι καὶ οἱ ἐγγύτεροι συγγενεῖς κληρονόμοι γίνονται· ὁ δὲ ἀνὴρ, θανούσης τῆς γυναικὸς αὐτοῦ οὐκ ἐπιστρέφει οὐδ' ἀποδίδοσιν ἃς παρ' ἐκείνης ἔφθη λαβὼν πρὸ γάμου δωρεάς· πατρὸς δὲ ἀποθανόντος ἐπὶ παιδί, εἶτα καὶ τοῦ παιδὸς θανόντος καὶ τριμοιρίας γενομένης, ἡ γυνὴ οὐ λαμβάνει ἅπερ ἐδωρήσατο πρὸ γάμου τῷ ἀνδρὶ αὐτῆς, ἀλλὰ καὶ ταῦτα τὰ παρ' αὐτῆς τῷ ἀνδρὶ αὐτῆς δωρηθέντα πρὸ γάμου συναριθμοῦνται μετὰ τῆς λοιπῆς ἐκείνου περιουσίας· καὶ τριμοιρίας γενομένης τὸ μὲν ἓν μέρος δίδοται εἰς τὸν θάνατον καὶ τὰ μνημόσυνα τῶν ἀποιχομένων, τὸ δὲ ἕτερον μέρος λαμβάνει ἡ γυνὴ ἡ καὶ μήτηρ δηλονότι τοῦ καταλειφθέντος ἐκείνου παιδίου. Οὕτως οἱ θεῖοι καὶ ἱεροὶ νόμοι διακελεύουσι περὶ πάντων τῶν εἰρημένων ἀνωτέρω, οἷς ὑπείκειν καὶ πειθαρχεῖν δέον πάντας τοὺς

ἐπαγγελλομένους χριστιανοὺς εἶναι. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη[σαν] ὑμῖν. ἔτει ͵αψκα΄.

Σημ. Ἐξεδόθη τὸ πρῶτον ὑπὸ Μ.Ι. Γεδεών. Ἴδε « Ἀνέκδοτος ἐγκύκλιος Ἱερεμίου Γ΄, ἐν Κωνσταντινουπόλει. 1872». σελ. 8—19.

ΜΗ΄.

ΤΟΥ ΑΥΤΟΥ ΙΕΡΕΜΙΟΥ

Ὁ πατριάρχης Κωνσταντινουπόλεως Ἱερεμίας ὁ Γ΄ ἐξέδωκε γράμμα πρὸς τὴν ἐρώτησιν τῶν ρώσσων, ἀποκρινόμενος **δέχεσθαι τοὺς ἐκ τῆς αἱρέσεως τοῦ Λουθήρου καὶ Καλβίνου προσιόντας τῇ Ἐκκλησίᾳ μύρῳ μόνον ἁγίῳ χριομένους.**—βλ. τὴν ἐπιστολὴν ρωσσιστὶ μεθερμηνευομένην εν τῇ πλήρει Συλλογῇ τῶν νόμων τῆς αὐτοκρατορίας ταύτης, τόμ. Ε΄, ἄρθρ. 3225.

Σημ. Μνεία τούτων γίνεται παρ' Οἰκονόμῳ. Σωζόμενα Ἐκκλησιαστικὰ συγγράμματα Κ. Οἰκονόμου τοῦ ἐξ Οἰκονόμων· τόμ. Α΄, ἐν Ἀθήναις, 1862, σελ. 431, 476.

ΜΘ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Εἰς κληρονομίαν ζητήματα, καὶ διορισμὸς ἐκκλησιαστικὸς, δηλαδὴ, εἰς προῖκα μετὰ θάνατον γυναικὸς, εἰς τέκνα, εἰς ἀνδρόγυνον, εἰς τριμοιρίαν καὶ λοιπά.

Ἔτι ἢ τύχει ἀποθανεῖν τὸ παιδίον πρὸ τοῦ ἐλθεῖν εἰς τελείαν ἡλικίαν, πῶς δεῖ γενέσθαι τὴν διανομὴν τῆς προικὸς καὶ περιου-

σίας τῆς μητρὸς αὐτοῦ, προσέτι καὶ αἱ πρὸ γάμου, καὶ μετὰ γάμον δωρεαὶ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα, τίνι τρόπῳ διοικοῦνται, ὁμοίως καὶ τὰ [θεώρητρα] καὶ τὰ χαρίσματα τῶν συγγενῶν, καὶ τῆς γυναικὸς ἀποθανούσης, τὰ ὅσα αὐτῇ πεποίηκεν ἔτι ζώσῃ ὁ ἀνὴρ αὐτῆς καὶ ἐδωρήσατο, εἴτε φορέματα, εἴτε καὶ ἄσπρα, πότερον τοῦ ἀνδρός εἰσιν, ἢ τοῦ ἐναπολειφθέντος παιδός; καὶ τὸ καταλειφθὲν δὲ παιδίον μετὰ θάνατον τῆς γυναικὸς, καὶ μητρὸς αὐτοῦ, ποῦ δεῖ εὑρίσκεσθαι καὶ φυλάττεσθαι μέχρι τελείας ἡλικίας, παρὰ τῷ πατρὶ αὐτοῦ, ἢ παρὰ τοῖς γονεῦσι τῆς ἀποθανούσης γυναικός; καὶ πρὸς τούτοις προβάλλουσιν, ὡς εἴωθεν αὐτόθι τὴν προῖκα παρὰ τῶν προικοδοτούντων δίδοσθαι ἀδιατίμητον, καὶ ταύτην ἰσοδυναμεῖν θέλουσι τῇ διατετιμημένῃ προικὶ, καὶ εἰ δέον ἐστὶ φυλάττεσθαι τὴν συνήθειαν ταύτην ἢ οὔ; περὶ τούτων οὖν ὡς εἴρηται, ζητοῦσι μαθεῖν τὸ ποιητέον κατὰ νόμους. Τούτου χάριν γράφοντες διὰ τοῦ παρόντος συνοδικοῦ [γράμματος], μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποκρινούμεθα καὶ διαβεβαιοῦμεν ὑμῖν, ἀπὸ τοῦ τελευταίου πρῶτον ἀρξάμενοι, εἶτ' ἐπὶ τὸ πρῶτον ἐπανιόντες, καὶ καθεξῆς προϊόντες εἰς τὰ λοιπά· ἵνα εὐκρινέστερον ὁ λόγος προχωρήσῃ· καὶ δὴ φαμὲν ὅτι, ἡ διατετιμημένη προὶξ καὶ ἡ ἀδιατίμητος ἀντικειμένως ἔχουσιν, ὡς καὶ ἐκ τῶν ὀνομάτων δῆλον ἐστί. Καὶ ἡ μὲν διατετιμημένη προὶξ τῷ ἀνδρὶ κινδυνεύεται· κἂν ἀποθάνῃ τὰ ζῶα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσιν ὁ ἀνὴρ, καὶ ἡνίκα παραλάβῃ τι εἰς προῖκα κατὰ διατίμησιν, χρεωστεῖ τὴν τιμὴν, κἄν τε ἐβελτίωσεν αὐτὸς κερδαίνει, κἄν τε ἐμείωσεν αὐτὸς κινδυνεύει καὶ ὑπόκειται· τῆς δὲ ἀδιατιμήτου προικὸς καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ, καὶ λαμβάνει μὲν αὐτὴ τὸν τοκετὸν τῶν δούλων, τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει· πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα, καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγενομένων, εἰς ἀναπλήρωσιν δηλονότι τῶν πρωτοτύπων· οὐκ ἔστιν οὖν τὴν ἀδιατίμητον

προῖκα ἰσοδυναμεῖν τῇ διατετιμημένῃ, εἰ καὶ τοὐναντίον ἔσθ' ὅτε συμβαίνει, καὶ ἡ διατετιμημένη προὶξ ὡς ἀδιατίμητος γίνεται, καὶ λογίζεται κατὰ συναρέσκειαν καὶ θέλησιν ἀμφοτέρων τῶν μερῶν τοῦ ἀνδρογύνου καὶ τῇ γυναικὶ κινδυνεύει, ἀλλὰ τὸ ἐκ συμφωνίας ἀμφοτέρων τῶν μερῶν τοῦ ἀνδρογύνου γίνεται, οὐ μὴν δὲ ἁπλῶς καὶ ὡς ἔτυχε· τὴν δὲ ἀδιατίμητον προῖκα ἰσοδυναμεῖν τῇ διατετιμημένῃ οὐ γέγραπται περὶ τούτου ὅλως ἐν τοῖς νομικοῖς διατάγμασι, καὶ λοιπὸν παράλογός ἐστιν ἡ περὶ τούτου αὐτόθι συνήθεια, καὶ οὐ δεῖ ταύτην ἐνεργεῖσθαι τοῦ λοιποῦ, ὡς ἀγνοουμένην τοῖς ἱεροῖς νόμοις· ἡ αὔξησις δὲ καὶ τὸ κέρδος τῶν χάριν προικὸς δοθέντων μετρητῶν, καὶ οἱ καρποὶ τῆς λοιπῆς προικὸς, καὶ ἡ τῶν θρεμμάτων γονὴ, τῆς γυναικὸς ἔτι ζώσης, τοῦ ἀνδρός εἰσιν, ὡς προείρηται, ἀπαραμειώτων σωζομένων τῶν πρωτοτύπων. Ὅταν δὲ ἡ γυνὴ ἀποθάνῃ καὶ καταλείψῃ παιδίον, τηνικαῦτα τὰ χάριν προικὸς δοθέντα μετρητὰ, καὶ ἡ λοιπὴ καθόλου προὶξ καὶ περιουσία τῆς μητρὸς τοῦ παιδίου, καὶ δὴ καὶ αἱ πρὸ γάμου δωρεαὶ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα, εἴτε πράγματα, εἴτε ἄσπρα, ταῦτα πάντα κληρονομία γίνονται τοῦ καταλειφθέντος παιδίου, πλὴν ἐὰν φυλάξῃ χηρείαν παντελῆ εἰς τὸ ἑξῆς ὁ ἀνὴρ, καὶ μηκέτι εἰς ἄλλον ἀποβλέψῃ γάμον, τότε λαμβάνει αὐτὸς τὸ τέταρτον μέρος ἀπὸ ὅλης τῆς προικὸς καὶ περιουσίας τῆς γυναικὸς αὐτοῦ, τὰ δὲ λοιπὰ πάντα ὑπάρχουσι τοῦ παιδίου κληρονομία· εἰ δὲ θελήσῃ λαβεῖν καὶ ἄλλην αὖθις γυναῖκα ὁ ἀνὴρ μηδόλως μετέχει τῶν τῆς γυναικὸς αὐτοῦ ὑπαρχόντων, ἀλλὰ τὰ πάντα εἰσὶ τοῦ παιδίου· ὅπερ παιδίον αὐτὸς ὁ πατὴρ ὀφείλει παρακατέχειν καὶ ζωοτροφεῖν αὐτὸ οἰκείαις ἐξόδοις καὶ ἀναλώμασι, διαφυλάττων καὶ σώζων ἀπαραμείωτα τὰ τῆς μητρὸς τοῦ αὐτοῦ παιδίου ὑπάρχοντα, ἕως οὗ ἔλθῃ εἰς τελείαν ἡλικίαν τὸ παιδίον, καὶ παραλάβῃ αὐτά· ἐὰν δὲ ὁ πατὴρ τοῦ παιδίου, λαβὼν ἑτέραν γυναῖκα, ὕποπτός ἐστιν ὡς καταναλώσει καὶ μέλλει διαφθεῖραι τὰ μητρικὰ ὑπάρχοντα τοῦ παιδίου, καὶ ὡς οὐκ ἐπιμελήσεται τούτου καλῶς καὶ ὡς δεῖ, τότε παραλαμβάνουσιν αὐτὸ τὸ παιδίον μετὰ τῶν μητρικῶν αὐτοῦ ὑπαρχόντων οἱ γονεῖς τῆς ἀπο-

θανούσης γυναικὸς ζωοτροφοῦντες καὶ αὐτοὶ τοῦτο ἐξ ἰδίων, τὰ δὲ μητρικὰ αὐτοῦ ὑπάρχοντα φυλάττοντες σῶα καὶ ἀπαραμείωτα, ἕως τελείας αὐξήσεως τοῦ παιδίου· ἐὰν δὲ καὶ αὐτοὶ ὕποπτοι εὑρεθῶσι, δέον παραδοθῆναι τὰ μητρικὰ ὑπάρχοντα τοῦ παιδίου τινὶ τῶν συγγενῶν, ἢ καὶ ἄλλῳ πιστῷ καὶ ἀνυπόπτῳ προσώπῳ, εἰς διατήρησιν αὐτῶν καὶ διαφύλαξιν ἀσφαλῆ. Ἐὰν δὲ τὸ παιδίον αὐτὸ συμβῇ ἀποθανεῖν ἀνήλικον, τὴν προῖκα καὶ περιουσίαν τῆς μητρὸς αὐτοῦ δέον διανεμηθῆναι εἰς τρία μέρη, καὶ τὸ μὲν ἓν μέρος διαδοθῆναι εἰς τὴν κηδείαν καὶ τὰ μνημόσυνα τοῦ ἀποιχομένου, τὸ δὲ ἕτερον μέρος λαβεῖν τὸν πατέρα τοῦ παιδίου, τὸ δὲ ἄλλο λαβεῖν τοὺς γονεῖς τῆς ἀποθανούσης γυναικὸς τῆς καὶ μητρὸς τοῦ παιδίου· τὰ θεώρητρα δὲ τὰ μὲν ἥμισυ ὑπάρχουσι τοῦ ἀνδρός, τὰ δὲ λοιπὰ ἥμισυ τῆς γυναικός, καὶ συναριθμοῦνται καὶ ταῦτα τὰ τῆς γυναικὸς δηλαδὴ θεώρητρα τῇ λοιπῇ περιουσίᾳ αὐτῆς· τὸ δὲ στεφανιάτικον ὑπάρχει τῆς γυναικός. Τούτων οὖν οὕτως ἐχόντων καὶ οὕτω διοριζομένων, κατὰ τοὺς θείους καὶ ἱεροὺς νόμους, ὅταν τι τούτων παρεμπέσῃ, ἐάν τις τῶν χριστιανῶν οὐ στέρξῃ, οὔτε θελήσῃ ὑπακοῦσαι καὶ ποιῆσαι κατὰ τὰ ἐν τῷ παρόντι γεγραμμένα, ἀλλ' ἀπειθὴς φανῇ καὶ παρήκοος τῶν νομικῶν τούτων διατάξεων, ἀφωρισμένος εἴη κ.τ.λ.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου· σελ. 191—192. Καθ' ὃν δ' εἱρμὸν ἐν τῷ κώδηκι κεῖται, φαίνεται ἐκδοθὲν ὑπὸ Ἱερεμίου Γ' τοῦ ἀπὸ Καισαρείας. Ἡ παροῦσα διάταξις σημειοῦται σύνταγμα τοῦ Κριτίου, ὡς καὶ αἱ κατωτέρω Ν', καὶ ΝΑ'.

Ν'.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Συνοικεσίου συγχώρησις εἰς ϛ' βαθμὸν ἐξ αἵματος.

Ἡ ἀνεξάντλητος καὶ ἀκένωτος πηγὴ τῆς ἐκκλησιαστικῆς χάριτος, ἀφθόνως ἑκάστοτε ἐπιρρέουσα τῆς εὐεργεσίας τοὺς ῥύα-

κας τοῖς προσιοῦσι μετ' εὐλαβείας καὶ ἐξαιτουμένοις τὸν ἔλεον, διαφόρως ἀντιποιεῖται τῶν ὀρθοδόξων χριστιανῶν, καὶ εὐεργετεῖ φιλανθρώπως αὐτοὺς κατὰ τὸ μέτρον τῆς δυνάμεως ἑνὸς ἑκάστου· οἶδε γὰρ θεραπεύειν τὰ ἀσθενῆ, καὶ ἀναπληροῦν τὰ ἐλλείποντα. Ὅθεν καὶ ἡ μετριότης ἡμῶν, τὴν θείαν ἐν τούτῳ μιμουμένη φιλανθρωπίαν, συμπαθέστερον φέρεσθαι πρὸς τοὺς ὑποκειμένους αὐτῇ χριστιανοὺς οὐκ ἀπαναίνεται, καὶ συγκαταβαίνειν ἐνίοτε ταῖς ἀναγκαίαις αἰτήσεσιν ἐκείνων, προνοίᾳ ἐκκλησιαστικῇ. Εἴρηται γὰρ τῷ ἱεροψάλτῃ, οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει, δηλονότι πρὸς τὰ πράγματα εὐφυῶς τὴν πνευματικὴν προσαρμόζειν ἐπίσκεψιν καὶ διοίκησιν. Ἐπειδὴ τοιγαροῦν ὁ Μανωλάκης, ὁ καὶ ἔγγονὸς τοῦ παπᾶ Κωνσταντῆ, μέλλων συζευχθῆναι μετὰ τῆς [. . .] ἐγγόνης οὔσης τοῦ Ἰωαννάκη ἀδελφοῦ τοῦ παπᾶ Κωνσταντῆ, εὐλαβεῖτο ἀπαρτίσαι τὸν γάμον διὰ τὴν οὖσαν μεταξὺ αὐτῶν συγγένειαν ἕκτου βαθμοῦ ἐξ αἵματος· καὶ δὴ προσελθὼν τῷ ἐλέει τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, μεθ' ὑποβαλλούσης δεήσεως, καὶ θερμῆς παρακλήσεως, ἐδέετο συμπαθείας τυχεῖν ἐκκλησιαστικῆς, ὥστε μὴ κωλυθῆναι τὸν γάμον αὐτὸν, τὰς μεταξὺ προβαλλόμενος περιστάσεις, δι' ἃς, ἀδύνατον εἶναι, ἔλεγε, τὴν ἀπ' ἀλλήλων διάστασιν, κἂν ἀποτύχῃ ἀδείας ἐκκλησιαστικῆς, κινδυνεύειν αὐτὸν συνοικῆσαι ταύτῃ κατὰ τρόπον ἀλλότριον, καὶ γενέσθαι μεῖζον τὸ πτῶμα, καὶ τὸν κίνδυνον χαλεπώτερον. Ὅθεν καὶ ἡμεῖς οἴκτῳ καμφθέντες διὰ τὴν τοιαύτην περίστασιν, οὐχ ἡγησάμεθα παραλιπεῖν αὐτὸν ἀπρονόητον, ἀποβλέποντες καὶ πρὸς τοὺς πρὸ ἡμῶν τῆς Ἐκκλησίας προστάντας, εἰς οἰκονομίαν μᾶλλον τραπέντας ἐν τοῖς τοιούτοις, ἅτε φροντίζοντες τοῦ ἀνακτᾶσθαι τὰ καταπεσεῖν κινδυνεύοντα, ἵνα μὴ ἀμελήσαντες λάθοιεν ζημιώσαντες εἰς τὰ καίρια· δύο γὰρ κακῶν προκειμένων αἱρετέον τὸ μετριώτερον, καὶ συγχωρεῖν ἀνάγκη πολλάκις τῶν ἁμαρτημάτων τὰ κουφότερα, ὅπως μὴ ἐπακολουθήσῃ τὰ μείζω καὶ βλαβερώτερα· κατὰ ταῦτα τοιγαροῦν καὶ ἡμεῖς, λόγοις οἰκονομίας καὶ συγκαταβάσεως χρώμενοι, συνεχωρήσαμεν γενέσθαι τὸ τοιοῦτο συνοικέσιον. Καὶ

δὴ γράφοντες, τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, ἀποφαινόμεθα ἵνα συντελεσθῇ ἀκωλύτως τὸ τοιοῦτο συνοικέσιον, καὶ ἔχῃ ἄδειαν ὁ Μανωλάκης λαβεῖν εἰς γυναῖκα αὐτοῦ τὴν [. . .]* καὶ στεφανωθῆναι ἐκείνην ἐκκλησιαστικῶς· καὶ εἴη ὁ γάμος αὐτῶν εὐλογημένος καὶ συγκεχωρημένος παρὰ Θεοῦ Κυρίου παντοκράτορος, καὶ ὑπ' οὐδενὸς ἀντιλεγόμενος καὶ κωλυόμενος. Τὴν τοιαύτην δὲ ἄδειαν τοῖς ῥηθεῖσι προσώποις μόνοις ἰδίως συνεχωρήσαμεν **κατ' οἰκονομίαν**, διὰ τὴν ἐνοῦσαν περίστασιν, **οὐ μὴν δὲ καὶ ἄλλοις τισὶ παρομοίοις** παραχωροῦμεν τῆς τοιαύτης ἀδείας· οὕτω γενέσθω ἐξ ἀποφάσεως.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 251.

ΝΑ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Συνοικεσίου συγχώρησις εἰς ς΄ βαθμὸν ἐξ αἵματος.

Οὐ μόνον εὔλογον ἀλλὰ καὶ ἀναγκαῖον (δήπουθεν) τῷ τῆς Ἐκκλησίας προστάτῃ καὶ οἰκονόμῳ προνοεῖσθαι ἀόκνως τῶν ἐκκλησιαστικῶν ὑποθέσεων, καὶ ταύταις ἐπάγειν τὴν πρόσφορον διαίτησιν. Καὶ δὴ τὰ μὲν καλῶς ἔχοντα καὶ ὀρθοτομούμενα ἐν τῷ λόγῳ τῆς ἀληθείας φροντίσει διαμένειν αὐτὰ ἐπὶ τῆς σφῶν τελειότητος, τὰ δὲ ὅπως δήπως ἐκκλίναντα τῆς εὐθείας καὶ νοσήσαντα κατὰ τὴν ψυχὴν πειρᾶσθαι, ὡς οἷόν τε, ἀνακαλέσασθαι διὰ τοῦ θεραπευτοῦ λόγου, καὶ μὴ παριδεῖν ἀνεπίσκεπτα καταποθῆναι τῇ ἀπωλείᾳ διὰ τῆς ἀπογνώσεως, ἀλλ' ἐλέει τῆς Ἐκκλησίας ἀποδέχεσθαι αὐτὰ φιλανθρώπως, καὶ τὴν προσήκουσαν τούτοις ἀπονέμειν θεραπείαν καὶ διόρθωσιν. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ Νικολέτος υἱὸς

* οὐ κεῖται ἐν τῷ κώδηκι τὸ ὄνομα.

τοῦ Ἰωάννου Μακρῆ, ὁ ἐκ τῆς χώρας τοῦ ἁγίου Ἰωάννου ἐν τῇ Πελοποννήσῳ, διὰ τὸ πάντῃ νέον καὶ ἀτελὲς τῆς ἡλικίας αὐτοῦ, καὶ μήπω ἱκανὸν πρὸς τὴν τῶν πραγμάτων κρίσιν, ἔφθη ἐξαπατηθῆναι ὑπό τινων, καὶ μιᾷ τῶν συγγενῶν αὐτοῦ γαμικῶς συναφθῆναι καὶ στεφανωθῆναι, ὃ δὴ ἔργον κεκωλυμένον ἐστὶ καὶ ἐμποδιζόμενον, κατὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας τε καὶ νόμους· δύο γὰρ πρῶτοι ἐξάδελφοι, ὅ,τε Νικολέτος αὐτὸς καὶ ἡ Μαρίνα ἔλαβον δύο ἀδέλφια, ὁ μὲν τὴν Ἐξακουστὴν, ἡ δὲ τὸν Σρατηγὸν, ς´ βαθμοῦ τὴν συγγένειαν ἐκ διγενείας· καίτοι οὖν παρανόμου ὄντος τοῦ τοιούτου συνοικεσίου, καὶ κωλυομένου κατὰ τοὺς ἱεροὺς τῆς Ἐκκλησίας ὅρους τε καὶ κανόνας, ἀλλ᾽ εἰς τὰς συνελθούσας περιστάσεις ἀποβλέψαντες, τοῦτο μὲν εἰς τὸ νεαρὸν καὶ εὐεξαπάτητον τῆς ἡλικίας τοῦ νεανίσκου, τοῦτο δ᾽ αὖ ὅτι ἔφθη πρὸ χρόνων ἤδη τριῶν γενέσθαι τὸ συνοικέσιον, καὶ παῖδας αὐτοῖς δύο γενέσθαι· χαλεπωτάτης οὖν οὔσης καὶ ἐπικινδύνου τῆς ἀπ᾽ ἀλλήλων αὐτῶν διαζεύξεως, διὰ τὸν ὑπερβάλλοντα πόθον τῶν συναφθέντων, καὶ διὰ τὴν τεκνοποιΐαν, προσελθόντα τὸν ῥηθέντα Νικόλαον Μακρῆν τῷ ἐλέει τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐν συντριβῇ καρδίας τὴν συγχώρησιν αὐτοῦ ἐξαιτούμενον, ἀπεδεξάμεθα αὐτὸν φιλανθρωπικῶς, καὶ συγκατενεύσαμεν ἐλέους καὶ συγγνώμης αὐτὸν ἀξιῶσαι. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα διὰ τῆς χάριτος τοῦ παναγίου καὶ ζωοποιοῦ καὶ τελεταρχικοῦ Πνεύματος, ἵνα τὸ ἀνδρόγυνον αὐτὸ, ὁ Νικολέτος δηλονότι μετὰ τῆς Ἐξακουστῆς, εἴησαν συγκεχωρημένοι καὶ εὐλογημένοι παρὰ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ παντὸς δεσμοῦ καὶ ἐπιτιμίου ἀθῷοι καὶ ἐλεύθεροι, ἔχοντες καὶ τὰς εὐχὰς τῶν ἁγίων καὶ θεοφόρων πατέρων, πρεσβείαις τῆς πανυπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, καὶ πάντων τῶν ἁγίων.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου· σελ. 252.

ΝΒ'.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Συνοικεσίου συγχώρησις εἰς ἕκτον βαθμὸν ἐξ αἵματος εἰς χωρίον Ἐρισσόν.

Τοῦ ἀποστόλου διδάσκοντος, πάντα πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας γενέσθω, ἀπαραιτήτως ὀφείλεται τοῖς σοφοῖς τῶν ἐκκλησιῶν οἰκονόμοις καὶ ἐγρηγόρως προσλιπαροῦσι τῇ προστασίᾳ αὐτῶν, κήδεσθαι μὲν τῆς σωτηρίας τῶν ποιμαινομένων ἑκάστου χριστιανῶν, διαφόρως δὲ ἐξαρτύειν αὐτὴν ὅπως ἂν ὁ καιρὸς ἀπαιτῇ καὶ τὰ πράγματα· τὴν γὰρ κανονικὴν ἀκρίβειαν ἀπαράτρεπτον φυλάττειν διόλου χρεὼν ἐν τοῖς περὶ εὐσεβείας κα τῆς ἀμωμήτου ἡμῶν πίστεως θεοφρόνως τοῖς ἱεροῖς πατρᾶσι δογματισθεῖσι, ἐφ' ὧν καὶ μικρὰ ματαποίησις λυμαίνεται τῷ παντὶ, καὶ Θεὸς τὸ κινδυνευόμενον· ἔνθα δὴ πολλοῖς πολλάκις τῆς Ἐκκλησίας προστάταις οἰκονομίαι τινὲς ἐξεύρηνται, οὔτε τὸ ὑγιὲς τῆς πίστεως διαφθείρουσαι, καὶ τὴν ἀναγκαίως ἀπαιτουμένην θεραπείαν τοῦ πράγματος παρεχόμεναι, ἐπὶ τούτων δηλονότι, οὐ πάντῃ ἀπεμφαῖνόν ἐστι συγκαταβαίνειν, ὡς εἰκὸς, ἐνίοτε ταῖς τῶν καμνόντων αἰτήσεσι, καὶ φιλανθρώπως τούτοις ἐπάγειν τὴν θεραπείαν τῆς πνευματικῆς ἁρμονίας, μικρὸν τὰς χορδὰς ὑποχαλάσαντες, ὅπως μὴ ῥῆξις τοῦ ἑνὸς τῆς Ἐκκλησίας σώματος γένηται. Ταῦτά τοι εἴρηται τῷ ἱεροψάλτῃ, οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει. Ἐπειδὴ τοιγαροῦν ἀνηνέχθη ἡμῖν, ὅτι ὁ Γεωργάκης, συνεργείᾳ τοῦ μισοκάλου καὶ πονηροῦ δαίμονος, εἰς τὸν ἀπαραίτητον καὶ βίαιον δεσμὸν κατηνέχθη τοῦ ἔρωτος μετὰ τῆς Καντακουζηνῆς, καὶ ταῖς ἀφύκτοις ἄρκυσιν αὐτοῦ περιεπάρη ἀνθρώπινόν τι πάθος πεπονθὼς, προηγησαμένης αὐτοῖς, διὰ συνεχοῦς ἐπιβλέψεως, ὁμιλίας καὶ ἐντεύξεως,

ἥτις Καντακουζηνὴ εὑρέθη συγγένειαν ἔχουσα μετ᾽αὐτοῦ, ἕκτου βαθμοῦ ἐξ αἵματος· τὴν γὰρ ἀδελφὴν αὐτῆς Περμαθοῦλαν ἔφθη λαβεῖν εἰς γυναῖκα ὁ Μανωλάκης πρῶτος ἐξάδελφος ὢν τοῦ Γεωργάκη· ἀλλ᾽ αὐτὸς τὴν προηγησαμένην δι᾽ ἔρωτος σφοδρὰν καὶ ἀπαραίτητον προβαλλόμενος ἀνάγκην, ἀδύνατον εἶναι, ἔλεγε, διαζευχθῆναι ἀπ᾽ αὐτῆς, οὐδ᾽ ἂν εἰ δέοι παθεῖν τὰ ἔσχατα, κἂν ἀποτύχῃ ἀδείας ἐκκλησιαστικῆς κινδυνεύειν αὐτὸν συνοικῆσαι ταύτῃ κατὰ τρόπον ἀλλότριον, καὶ γενέσθαι μεῖζον τὸ πτῶμα καὶ τὸν κίνδυνον χαλεπώτερον. Διὸ προσδραμὼν τῷ ἐλέει τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, μεθ᾽ ὑπερβαλλούσης παρακλήσεως καὶ θερμῆς ἱκεσίας, ἐδέετο συμπαθείας τυχεῖν ἐκκλησιαστικῆς, ὥστε μὴ κωλυθῆναι τὸν γάμον αὐτὸν, τοσούτου αὐτοῖς ἐπηρτημένου κινδύνου ἀπὸ τῆς διαστάσεως. Ὅθεν καὶ ἡμεῖς οἴκτῳ καμφθέντες, διὰ τὴν τοιαύτην περίστασιν οὐκ ἡγησάμεθα παραλιπεῖν αὐτὸν ἀπρονόητον, ἀποβλέποντες καὶ πρὸς τοὺς πρὸ ἡμῶν τῆς Ἐκκλησίας προστάτας, εἰς οἰκονομίαν μᾶλλον τραπέντας ἐν τοῖς τοιούτοις, ἅτε φροντίζοντας τοῦ ἀνακτᾶσθαι τὰ καταπεσεῖν κινδυνεύοντα, ἵνα μὴ παραιτούμενοι λάθοιεν ζημιώσαντες εἰς τὰ καίρια· δύο γὰρ κακῶν προκειμένων αἱρετέον τὸ μετριώτερον· Ταῦτά τοι εἴρηται τῷ ἱεροψάλτῃ, οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει· πολλάκις γὰρ συγχωρεῖν ἀνάγκη τὰ μετριώτερα, ὅπως μὴ προκόψωσιν εἰς τὰ χείρονα καὶ ἰατρεῦσαι πειρώμενοι μείζονα τὴν πληγὴν καὶ ἀνίατον τοῦ λοιποῦ ἐργασώμεθα. Κατὰ ταῦτα τοιγαροῦν καὶ ἡμεῖς, **λόγοις οἰκονομίας** καὶ συγκαταβάσεως χρώμενοι, συνεχωρήσαμεν γενέσθαι τὸ τοιοῦτο συνοικέσιον· καὶ δὴ γράφοντες τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ χάριτι τοῦ παναγίου Πνεύματος, ἀποφαινόμεθα ἵνα συντελεσθῇ ἀκωλύτως τὸ τοιοῦτο συνοικέσιον, καὶ ἔχῃ ἄδειαν ὁ ῥηθεὶς Γεωργάκης λαβεῖν εἰς γυναῖκα αὐτοῦ τὴν Καντακουζηνὴν, καὶ στεφανωθῆναι ἐκείνην ἐκκλησιαστικῶς, καὶ εἴη ὁ γάμος αὐτῶν εὐλογημένος παρὰ Θεοῦ, καὶ ἀκαταιτίατος, καὶ ὑπὸ μηδενὸς ἀντιλεγόμενος, ἢ μωμοσκοπούμενος. Τὴν τοιαύτην δὲ ἄδειαν τοῖς ῥηθεῖσι προσώποις μόνοις ἰδίως συνεχωρήσαμεν **κατ᾽οἰκο-**

νομίαν διὰ τὴν ἐνεστῶσαν περίστασιν, **οὐ μὴν δὲ καὶ ἄλλοις τισὶ παρομοίοις παραχωροῦμεν** τῆς τοιαύτης ἀδείας. Οὕτω γενέσθω ἐξ ἀποφάσεως.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 247—248.

ΝΓ΄.

ΑΛΠΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Συνοικεσίου συγχώρησις πατὴρ καὶ υἱὸς νὰ λάβωσι δύο ἐξαδέλφας, ἑβδόμου βαθμοῦ ἐξ ἀγχιστείας.

Τῆς ἐκκλησιαστικῆς ἐν πνεύματι χάριτος ἐν φιλανθρωπίᾳ καὶ συμπαθείᾳ τὸ ἁπανταχοῦ χριστώνυμον πλήρωμα καταρτίζειν καὶ διεξάγειν ἄνωθεν παρ' αὐτοῦ τοῦ Σωτῆρος Χριστοῦ μεμαθηκυίας, καὶ ἑπομένως ἀποστολικαῖς εἰσηγήσεσι πάντα πρὸς οἰκοδομὴν διευθύνειν παραλαβούσης, οἱ κατὰ καιροὺς τῆς Ἐκκλησίας προστάται καὶ οἰκονόμοι μυστηρίων Θεοῦ πάντα πρὸς οἰκοδομὴν ἀμέμπτως ποιεῖν οὐκ ἠμέλησαν, κατά γε τὸ ἐφικτὸν τοῖς πράγμασι, καὶ τῇ διαιτήσει ἐμφρόνως χρησάμενοι, μή τί γε ἐπὶ τῶν εὐχερῶν καὶ λείων, ἀλλὰ καὶ εἴπου ποτὲ ζήτημα δυσχερὲς παρεμπέσοι, τὰ μὲν καίρια τῆς εὐσεβείας μὴ λυμαινόμενον, ἐκπίπτον δὲ τοῖς ἐν νόμοις ἀκριβείας μικρὸν, πνευματικῆς ἰατρείας ἐν φιλανθρωπίᾳ ἐπιδεόμενον παριδεῖν οὐκ ἀνέχεται ἀθεράπευτον. Ἀλλὰ καταλλήλοις προσηνέσι φαρμάκοις παραμυθεῖται αὐτὸ, ἐξοικονομοῦσα τὴν χρείαν κηδεμονικῶς πρὸς ἀποφυγὴν κακοῦ μείζονος· ὁ γὰρ τῆς οἰκονομίας τρόπος, κατὰ τὸν μέγαν Ἀλεξανδρείας Κύριλλον, οὐδενὶ τῶν συνετῶν ἀπήρεσε πώποτε, ὡς τῆς ἱερᾶς τοῦ Χριστοῦ ποίμνης πρόβολος, ὡς ἕνα καὶ τὸν αὐτὸν σκοπὸν τῆς κατ' εὐσέβειαν διοικήσεως ἐνστησάμενοι, καὶ πρὸς ἓν ἀποβλέ-

See page 16

ποντες, σώζειν δηλονότι κινδύνων ψυχάς, λόγοις εὐλόγοις οἰκονομίας τῷ καιρῷ καταλλήλοις ἀκαταγνώστως ἐχρήσαντο, ἅτε τοῖς πᾶσι γίνεσθαι τὰ πάντα παρὰ τοῦ νυμφοστόλου τῆς Ἐκκλησίας Παύλου δεδιδαγμένοι. Ἐπειδὴ τοιγαροῦν ἀνηνέχθη, καὶ ἐδηλοποιήθη ἡμῖν ἤδη διὰ γράμματος τῆς ἀρχιερωσύνης σου περὶ ἑνὸς συνοικεσίου μέλλοντος συντελεσθῆναι αὐτόθι ἐν τῇ ἐπαρχίᾳ σου χώρᾳ Σερβίᾳ, καὶ ἔχοντος συγγένειαν ἐξ ἀγχιστείας εἰς βαθμὸν ἕβδομον· ὁ γὰρ Μάτος ὀνόματι ἔσχε γυναῖκα πρότερον τὴν Ἀσημίναν, ἧς τινος θανούσης ἔλαβεν ὕστερον ἑτέραν γυναῖκα τὴν Κούζω, μεθ' ἧς ἐγέννησε τὴν Ὀλυμπιάδα· ταύτην γοῦν τὴν θυγατέρα αὐτοῦ Ὀλυμπιάδα βούλεται λαβεῖν εἰς γυναῖκα ὁ Γεώργιος τοῦ Μανουὴλ, δισεξάδελφος ὢν τῆς ῥηθείσης ποτὲ Ἀσημίνας, προτέρας γυναικὸς τοῦ ῥηθέντος Μάτου, ὡς συμβαίνειν πατέρα καὶ θυγατέρα ἑνὸς ὄντας βαθμοῦ συνοικῆσαι δυσὶ δισεξαδέλφοις, ἕκτου οὖσι βαθμοῦ· ἧς τινος συγγενείας ἀγνοηθείσης τὸ πρῶτον μεταξὺ αὐτῶν καὶ συντελεσθέντων τῶν ἀρραβώνων, κἂν τῷ καιρῷ τοῦ γάμου ἐξετασθείσης τε καὶ ἀναφανείσης, ἡ μὲν θεοφιλία σου, ὀρθῶς στοχασαμένη καθ' ἑαυτὴν, εὐλαβήθη ἀπαρτίσαι τὸν γάμον, ὡς κεκωλυμένον κατὰ τὰς νομικὰς διατάξεις, διὰ τὴν ἀναφαινομένην ἐν τοῖς τοῦ γένους ὀνόμασι σύγχυσιν, χωρὶς τοῦ ἀνενεγκεῖν τὸ πρᾶγμα πρὸς τὴν κοινὴν μητέρα Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν. Δέεται δὲ θερμῶς γενέσθαι παρ' ἡμῶν τὴν ἐνδεχομένην θεραπείαν τῷ πράγματι, καὶ συγχωρηθῆναι λόγοις οἰκονομίας τὸ τοιοῦτο συνοικέσιον διὰ τὴν ἐνοῦσαν αὐτῷ ἀναγκαίαν περίστασιν καὶ τὸν ἐπικείμενον κατὰ ψυχὴν κίνδυνον τοῖς μέλλουσι γαμικῶς συναφθῆναι, ἐὰν τοῦ σκοποῦ ἀποτύχωσιν. Οὗ ἕνεκα δυσωπηθέντες ταῖς αἷς γράφει περιστάσεσι, καὶ οἴκτῳ καμφθέντες, δεῖν ἔγνωμεν ἐπινεῦσαι σπλαγχνικῶς τῇ δεήσει τῶν εἰρημένων, καὶ λόγοις οἰκονομίας καὶ συγκαταβάσεως συγχωρῆσαι αὐτοῖς τὸν γάμον, τοῦτο μὲν ἀποβλέποντες εἰς τοὺς πρὸ ἡμῶν προστάτας τῆς Ἐκκλησίας, εἰς οἰκονομίαν τραπέντας ἐν τοῖς τοιούτοις, ἵνα μὴ χεῖρον τὸ τραῦμα γένηται, καὶ μείζων ἐπακολουθήσει ὁ κίνδυνος, τοῦτο

δὲ ὅτι τὸ συνοικέσιον τοῦτο οὐ διὰ τὸν βαθμὸν ἐστὶ κεκωλυμένον, ἀλλὰ διὰ μόνην τὴν σύγχυσιν τῶν τῆς συγγενείας ὀνομάτων, ἥτις οὐκ ἀνεπίδεκτος θεραπείας ἐνίοτε ἐστὶ, τῆς χρείας ἀπαιτούσης καὶ τῆς ἀνάγκης βιαζομένης τοῖς καθόλου τῶν ἐκκλησιῶν προστάταις καὶ οἰκονόμοις. Ὅθεν γράφοντες τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ χάριτι τοῦ παναγίου Πνεύματος, ἀποφαινόμεθα, ἵνα ὁ διαληφθεὶς Γεώργιος ἔχῃ ἄδειαν λαβεῖν εἰς γυναῖκα νόμιμον τὴν ῥηθεῖσαν Ὀλυμπιάδα, καὶ στεφανωθῆναι ἐκείνην ἐκκλησιαστικῶς, μηδενὸς ἐναντιουμένου αὐτῷ, ἢ ἀντιλέγοντος, ἢ καταιτιωμένου τῆς ἐκκλησιαστικῆς οἰκονομίας ἀπαιδεύτως, ἱερωμένου ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ· καὶ εἴη τὸ συνοικέσιον αὐτὸ εὐλογημένον καὶ συγκεχωρημένον παρὰ Θεοῦ παντοκράτορος, καὶ ἔχῃ τὸ κῦρος· τὴν δὲ τοιαύτην ἄδειαν ἰδίως μόνοις τοῖς ῥηθεῖσι προσώποις δεδώκαμεν, **λόγοις οἰκονομίας,** διὰ τὰς ῥηθείσας ἀναγκαίας περιστάσεις, **οὐ μὴν δὲ καὶ ἄλλοις** τισὶ παρομοίοις **παραχωροῦμεν** τοιοῦτόν τι γενέσθαι.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 248—249.

ΝΔ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Συνοικεσίου συγχώρησις ἑβδόμου βαθμοῦ ἐξ αἵματος..

Τοῦ θείου Πνεύματος ἀεὶ τὰ πάντα δημαγωγοῦντος, ὅσα περὶ τὴν πνευματικὴν προστασίαν τῆς Ἐκκλησίας λυσιτελεῖ, πάντα δήπου τὰ κατὰ καιροὺς διαφόρους ἐν πνεύματι προσφυῶς ἰθυνόμενα καὶ πρὸς οἰκοδομὴν ἀφορῶντα τῆς τοῦ Θεοῦ Ἐκκλησίας, εἰ καὶ τῆς ἀκριβείας ἐνίοτε μικρὸν ἀποδέουσιν, ἔμπης θεραπείας ἀξιοῦσθαι

τὸν ἐνδεχόμενον τρόπον τά γε τοιαῦτα οὐκ ἀπεικὸς τοῖς τῶν ἐκκλησιῶν προστάταις καὶ κηδεμόσιν, ὡς ὑπηρέταις οὖσι Χριστῷ καὶ οἰκονόμοις μυστηρίων Θεοῦ. Ἐπείτοι γε, κατὰ τὸν μέγαν τῆς Ἀλεξανδρείας Κύριλλον, ὁ τῆς οἰκονομίας τρόπος οὐδενὶ τῶν συνετῶν ἀπήρεσε πώποτε· διὸ καὶ οἱ τῆς ἱερᾶς τοῦ Χριστοῦ ποίμνης πρόβολοι, ὡς ἕνα καὶ μόνον σκοπὸν ἐνστησάμενοι τὴν τῶν πιστῶν σωτηρίαν, λόγοις εὐλόγοις οἰκονομίαις τῷ καιρῷ καταλλήλοις ἀκαταγνώστως ἐχρήσαντο, τῷ ἀποστολικῷ θείῳ λογίῳ πειθόμενοι φάσκοντι, τοῖς πᾶσιν ἐγενόμην τὰ πάντα, ἵνα πάντας κερδήσω, καὶ τὴν οἰκονομίαν ἀναγκαίως ἐν τούτοις ἐγκρίναντες, ὅσα οἰκονομικῶς γινόμενα τὴν εὐσέβειαν οὐ λυμαίνεται. Ἐπειδὴ τοιγαγαροῦν ἀνηνέχθη ἡμῖν περί τινος συνοικεσίου μέλλοντος αὐτόθι γενέσθαι, ὅπερ ἐξετασθὲν παρ' ἡμῶν ἔχει τόνδε τὸν τρόπον: ἑβδόμου βαθμοῦ ὑπάρχειν ἐξ αἵματος· ὁ γὰρ εὐγενέστατος ἐν ἄρχουσι κυρίτζη Ράδουλος, καὶ υἱὸς τοῦ ἐνδοξοτάτου καὶ τιμιωτάτου ἄρχοντος μεγάλου Βορνίκου Γεωργίου Κρετζουλιέσκουλου, βούλεται λαβεῖν εἰς γυναῖκα αὐτοῦ τὴν δισεξαδέλφην τῆς μητρὸς αὐτοῦ Σάφταν, θυγατέρα τῆς Ἡλίνκας, καὶ ἐγγόνην τοῦ Κωνσταντίνου· ἡ δὲ τοῦ Κωνσταντίνου τούτου ἀδελφὴ Στάνκα, ἔσχεν υἱὸν τὸν Κωνσταντῖνον, ἐξ οὗ ἐτέχθη ἑτέρα ὁμώνυμος Σάφτα, μήτηρ οὖσα τοῦ ῥηθέντος Ραδούλου· καὶ δὴ βαθμολογούμενον τὸ συνάλλαγμα τοῦτο, εὑρίσκεται ὑπάρχον ἑβδόμου βαθμοῦ ἐξ αἵματος· διόπερ, εὐλαβηθέντες ἀπαρτίσαι τὸν γάμον, προσέδραμον ἱκετικῶς τῇ ἐκκλησιαστικῇ προνοίᾳ καὶ χάριτι, δεόμενοι μετὰ θερμῆς παρακλήσεως θεραπείας ἀξιωθῆναι, οὐκ ὀλίγας τῶν ἀναγκαίων περιστάσεων προβαλόμενοι, αἵτινες δυσωπεῖν εὐπροσώπως ἔχουσιν, ἐφ' ᾧ τὸν τῆς Ἐκκλησίας ἐπισπάσασθαι ἔλεον· ὧν ἕνεκα τὴν δέησιν αὐτῶν φιλανθρώπως ἀποδεξάμενοι, καὶ τὰ τῆς ὑποθέσεως ἀκριβῶς διασκεψάμενοι, διέγνωμεν ἀσφαλῶς καὶ περὶ τοῦ τοιούτου συναλλάγματος πολλάκις τοὺς ἱεροὺς τῆς Ἐκκλησίας ἐφόρους εἰς οἰκονομίαν μᾶλλον τραπέντας· οὐ γὰρ ὡς πάντη ἀδύνατον ἀπεκρούσαντο, τῆς αὐτοῦ διορθώσεως ἀλογήσαντες· ἀλλ'

ὡς ἀπ' ἐνδεχομένης ὅλως τινὸς τὴν οἰκονομίαν διαφόρως ἀπήρτισαν, καὶ ἐνέδοσαν συγχωρήσαντες τελεσθῆναι κατὰ καιρούς, πῆ μὲν ἐπιτιμίοις ἐξιώμενοι, πῆ δὲ καὶ ἀνεπιτιμήτως θεραπεύσαντες, ἅτε πολὺν λόγον ποιούμενοι τοῦ ἀνακτᾶσθαι πᾶσι τρόποις ψυχάς, ἵνα μήπου τὰ δεόμενα διορθώσεως παραιτούμενοι λάθοιεν ἂν εἰς αὐτὰ ζημιοῦντες τὰ καίρια. Τούτου χάριν καὶ ἡμεῖς, θείᾳ προνοίᾳ καὶ ἐλέει καὶ χάριτι, τὰς ἐκκλησιαστικὰς ἡνίας εὐαγγελικῶς ἀναζωσάμενοι, καὶ τὴν προστασίαν τῆς πατριαρχικῆς περιωπῆς καὶ μεγαλειότητος ἄνωθεν ἐμπιστευθέντες, καὶ οὐδὲν παρορᾶν ἀκυβέρνητον ἀνεχόμενοι τῶν ὅσα δεκτικά εἰσι θεραπείας, ἀλλὰ προσφόρως διεξάγειν καὶ καταρτίζειν σπουδάζοντες, ἅτε πρὸς παράδειγμα βλέποντες τῶν πρὸ ἡμῶν καθηγεμόνων καὶ κοσμητόρων τῆς Ἐκκλησίας, γράφοντες ἀποφαινόμεθα τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ χάριτι τοῦ παναγίου Πνεύματος, ἵνα ὁ δηλωθεὶς εὐγενέστατος ἐν ἄρχουσι κυρίτζη Ράδουλος, ὁ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς καὶ περιπόθητος τῆς ἡμῶν μετριότητος, ἔχῃ ἄδειαν λαβεῖν εἰς γυναῖκα αὐτοῦ τὴν ῥηθεῖσαν Σάρταν, θυγατέρα τῆς Ἡλίνκας, καὶ στεφανωθῆναι ἐκείνην γαμικῇ συναφείᾳ διὰ τῆς ἱερᾶς εὐλογίας, κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, ἀναντιρρήτως καὶ ἀκωλύτως· τὸ δὲ συνοικέσιον αὐτῶν ὑπάρχῃ εὐλογημένον καὶ συγκεχωρημένον παρὰ Θεοῦ Κυρίου παντοκράτορος, καὶ ἔχῃ τὸ κῦρος, μηδενὸς ἐναντιουμένου, ἢ ἀντιλέγοντος, ἢ καταιτιωμένου τῆς ἐκκλησιαστικῆς οἰκονομίας ἀπαιδεύτως, ἱερωμένου, ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ, ἐξ ἀποφάσεως.

Σημ. Α'. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 249—250.

Σημ. Β'. Ἐν σελίδι 135, ἐκ παραδρομῆς μείναντος τοῦ ἀριθμοῦ ΜΓ' ἐν ἐπαναλήψει, τὸ λάθος ἐπανορθοῦται ὧδε, τοῦ ὑπ' ἀριθμὸν ΝΕ' πατριαρχικοῦ γράμματος σημειουμένου ΝϚ', οἷον δὴ καὶ ἐστί.

Georgios, godfather to Demos.

...los Demos Demetrios

...Mos. Laskarina

Angelina

ΝΕ΄. ΝϚ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

. . . . Ὁ Γεώργιος ἀνεδέξατο ἀπὸ τοῦ θείου βαπτίσματος τὸν Δῆμον ἀδελφὸν τοῦ Ἀργυροπούλου, ὅστις Ἀργυρόπουλος ἐγέννησε τὸν διαληφθέντα Μόσχον. Ὁ ἀνάδοχος πάλιν τοῦ Δήμου Γεῶργος ἐγέννησε τὸν Δημήτριον, ὁ δὲ Δημήτριος τὴν Λασκαρίναν, καὶ ἡ Λασκαρίνα τὴν Ἀγγελίναν, τὴν ὁποίαν ζητεῖ ὁ Μιχάλης νὰ λάβῃ γυναῖκα, καὶ γράφεις ἡ ἀρχιερωσύνη σου, ὅτι αὐτοῦ εἶναι πολλὰ καὶ ἄλλα τοιαῦτα παρόμοια, τὰ ὁποῖα τὰ φυλάγετε, ὡς ἐμποδισμένα· ἀγκαλὰ εἰς ἄλλους τόπους ἐξαπλώθη ἡ τοιαύτη ὑπόληψις, μὲ ὅλον τοῦτο ἔχουσιν ἄλλην ἀκριβολογίαν τὰ τοιαῦτα, ἐπειδὴ καὶ ὁ νόμος περὶ τούτων διαλαμβάνων ῥητά τινα μόνα πρόσωπα ἐκώλυσε, λέγων· οὐ δύναμαι λαβεῖν ἣν ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀνεδεξάμην, οὐδὲ τὴν μητέρα αὐτῆς ἢ θυγατέρα· ἀλλ' ἰδοὺ ὁ υἱός μου· καὶ ἕως αὐτοῦ μόνον ἐστάθη· οἱ ἐξηγηταὶ δὲ τὰ ἐμάκρυναν ἕως εἰς ὄγδοον βαθμὸν, καὶ πάλιν ἐξ αὐτῶν ἄλλοι θέλουσιν ὅτι τὸ βαπτιστικὸν καὶ τὰ παιδία του, καὶ καθεξῆς τὰ ἐγγόνιά του, νὰ μετροῦνται κατὰ βάθος μὲ τὰ παιδία τοῦ ἀναδόχου καὶ νουνοῦ, καὶ νὰ διαλύωνται εἰς τὸν ὄγδοον βαθμὸν, ὥσπερ καὶ τὰ ἐξ αἵματος. Τινὲς δὲ καὶ τὰ ἀδέλφια τοῦ βαπτιστικοῦ καὶ τὰ ἐξ ἐκείνων τεχθέντα μὲ τὰ παιδία καὶ τοὺς ἀπογόνους κατὰ βάθος τὰ μετροῦσι καὶ αὐτά, ἀλλὰ τοῖς πλείοσι τοῦτο οὐκ ἔδοξε, καθὼς ὁ νομικὸς Ματθαῖος δηλοποιεῖ· ἐζητήθη δὲ περὶ τούτων, καὶ ἔγινε σκέψις συνοδικὴ πρὸ χρόνων πολλῶν, ἐπὶ τῆς πατριαρχείας τοῦ χρηματίσαντος πατριάρχου Κωνσταντινουπόλεως μακαρίτου Νεοφύτου, καὶ ἐξεδόθη ἔγγραφος ἀπόφασις διὰ συνοδικῆς σκέψεως, κατ' ἐκεῖνον τὸν καιρόν: διορίζουσα ὅτι τὰ ἀδέλφια τοῦ βαπτιστικοῦ, καὶ τὰ ἐξ ἐκείνων γεννώμενα, νὰ λογίζωνται ὡς πλάγια μὲ τὰ παιδία καὶ τοὺς ἀπογό-

νους τοῦ ἀναδόχου, καὶ ὄχι κατὰ βάθος, καὶ ἀκολούθως νὰ εἶναι ἀκώλυτα πρὸς γάμου κοινωνίαν. Διὰ τοῦτο καὶ ἡμεῖς γράφοντες διὰ τοῦ παρόντος, δηλοποιοῦμεν τῇ ἀρχιερωσύνῃ σου, ὅτι, κατὰ τὸν προγεγονότα διορισμὸν ὑπὸ τοῦ πατριάρχου κυροῦ Νεοφύτου καὶ τὴν δόξαν τῶν πλειόνων, δὸς εἰπεῖν καὶ **λόγῳ συγκαταβάσεως καὶ οἰκονομίας,** ἐπειδὴ καὶ ὡς λέγει ὁ Μόσχος δύσκολον τὸ ἔχει νὰ χωρισθῇ ἀπὸ τὴν Ἀγγελίναν, καὶ κινδυνεύει νὰ κριματισθῇ ψυχικῶς, θέλεις δώσει ἄδειαν νὰ γένῃ τὸ τοιοῦτον συνάλλαγμα, καὶ νὰ στεφανωθῇ κατὰ τὴν τάξιν τῆς Ἐκκλησίας ὁ Μόσχος τὴν Ἀγγελίναν.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Φωτίου Κυπρίου· σελ. 664.

ΝΖ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Ὁσιώτατε ἐν ἱεροδιακόνοις κὺρ Νεόφυτε, τέκνον ἐν Κυρίῳ ἀγαπητὸν τῆς ἡμῶν μετριότητος, χάρις εἴη σου τῇ ὁσιότητι, καὶ εἰρήνη παρὰ Θεοῦ. Ἐπιστολήν σου ἐλάβομεν, εἰς τὴν ὁποίαν γράφεις καὶ ἐρωτᾷς περί τινος νομικοῦ ζητήματος, ἀνήκοντος τῇ συγγενείᾳ τῇ ἀπὸ τοῦ ἁγίου βαπτίσματος· δηλαδὴ Πέτρος τις ἀναδεξάμενος ἀπὸ τοῦ θείου βαπτίσματος Παῦλόν τινα, βούλεται λαβεῖν εἰς γυναῖκα τὴν ἀδελφὴν τούτου τοῦ Παύλου βαπτιστικοῦ αὐτοῦ, καὶ ὅτι περὶ τοῦ ζητήματος τούτου γίνεται αὐτόθι ἀντιλογία παρά τινων, τῶν μὲν λεγόντων ὅτι ἔξεστι γενέσθαι τὸ τοιοῦτο συνοικέσιον, διὰ τὸ μὴ κατὰ βάθος, ἀλλ᾽ εἰς τὰ πλάγια εὑρίσκεσθαι τὴν συγγένειαν· τῶν δὲ λεγόντων ὡς οὐκ ἔξεστι διὰ τὸ ἀποσώζειν τάξιν τρίτου βαθμοῦ τὸν ῥηθέντα Πέτρον ἀνάδοχον πρὸς τὴν ἀδελφὴν τοῦ ὑπ᾽ αὐτοῦ ἀναδεχθέντος κατὰ τοὺς

νομικῶς βαθμολογοῦντας αὐτά. Ὅθεν ἡ σὴ λογιότης μεταξὺ τῆς τοιαύτης ἀντιλογίας, μὴ εἰδὼς τὸ πρακτέον, ἀνέθου τὴν ἐρώτησιν ταύτην εἰς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν, καὶ εἰς τὴν ἡμῶν μετριότητα, ζητῶν ἐντεῦθεν παρ' ἡμῶν τὴν περὶ τοῦ πρακτέου διάγνωσίν τε καὶ διασάφησιν. Γίνωσκε λοιπὸν ὅτι, ἀληθὲς μέν ἐστιν, ὅτι ἡ ἀπὸ τοῦ ἁγίου βαπτίσματος συγγένεια κατὰ βάθος θεωρεῖται, καὶ μεταξὺ τῶν διαδόχων τοῦ ἀναδόχου καὶ τοῦ ἀναδεχθέντος ἐξετάζεται καὶ μετρεῖται, καὶ ἡ ἄλλη ὅμως γνώμη τῶν καὶ κατὰ τὰ πλάγια βαθμολογούντων τὴν πνευματικὴν ταύτην συγγένειαν, καὶ τὸν μὲν ἀνάδοχον τρίτου βαθμοῦ εἶναι ἀξιούντων πρὸς τὸν ἀδελφὸν τοῦ ὑπ' αὐτοῦ ἀναδεχθέντος, τὸν δὲ υἱὸν αὐτοῦ τετάρτου βαθμοῦ πρὸς τὸν αὐτόν, καὶ καθεξῆς εἰς τὰ ἄλλα, οὐδὲ αὐτὴ δὲν εἶναι ἀνένδεκτος παρὰ τῆς Ἐκκλησίας, ἀλλὰ καὶ παρὰ τοῖς πλείοσι, καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἐνεργεῖται καὶ φυλάττεται· εἰ καὶ ἔσθ' ὅτε γίνεταί τις οἰκονομία τοῖς τοιούτοις, λόγῳ συγκαταβάσεως διὰ τὴν πλαγίασιν· ἐπὶ τοῦ προκειμένου ὅμως ζητήματος, ὁποῦ ἐρωτᾷς, ἀγκαλὰ καὶ νὰ ἦναι πλάγιον, ὅμως μὲ τὸ νὰ ἦναι ἄμεσον, καὶ εὐθὺς προφαινόμενον καὶ προκύπτον, τουτέστιν, ὁ ἀνάδοχος νὰ λάβῃ τὴν ἀδελφὴν τοῦ ὑπ' αὐτοῦ ἀναδεχθέντος, χωρὶς νὰ μακρύνῃ μικρόν τι καὶ νὰ ὑπάγῃ περαιτέρω μὲ ἑτέραν τινὰ γέννησιν καὶ διαδοχήν, εἶναι ψυχρὸν καὶ φορτικὸν εἰς τοὺς εὐσεβεῖς, καὶ μάλιστα εἰς τοὺς ἁπλουστέρους σκανδάλων πρόξενον. Ὅθεν γράφοντές σοι, πνευματικῶς ἅμα ἀποκρινόμεθα καὶ παραγγέλλομεν, τὸ τοιοῦτο συνοικέσιον νὰ μὴν γένῃ διὰ τὴν πολλὴν καὶ ἄμεσον ἐγγύτητα, καὶ διὰ τὴν ἀναφυομένην ψυχρότητα καὶ τὸ σκάνδαλον· οὕτω ποίησον καὶ μὴ ἄλλως, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις εἴη μετὰ σοῦ.

Σημ. Μετεγράφη ἀπὸ τοῦ κώδηκος τοῦ Κριτίου, σελ. 250—251.

ΝΗ΄.

ΛΑΠΑΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Συνοικεσίου συγχώρησις κεκωλυμένου ἐκ θείου βαπτίσματος βαθμοῦ τετάρτου.

Οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει παρὰ τοῦ προφήτου καὶ ἱεροψάλτου Δαβὶδ διδασκόμεθα. Ταύτῃ τοι καὶ ὁ τῆς οἰκονομίας λόγος οὐδενὶ τῶν συνετῶν ἀπήρεσε πώποτε, κατὰ τὸν μέγαν τῆς Ἀλεξανδρείας Κύριλλον· (τοῦτο δὲ ἐστὶν ἡ τῶν προϊσταμένων ἐν ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις κατὰ καιρὸν πρόσφορος διοίκησις τῶν ἐκκλησιαστικῶν πραγμάτων καὶ ὑποθέσεων), οἵτινες τῆς κοινῆς ἁπάντων τῶν ὀρθοδόξων σωτηρίας κηδόμενοι, ἐπειδὰν μὴ περὶ δογμάτων τῆς εὐσεβείας ὁ λόγος ᾖ, μηδὲ περὶ τὰ καίρια τῆς πίστεως λυμαινόμενος, συγκαταβαίνειν ἐνίοτε ταῖς αἰτήσεσι τῶν χριστωνύμων καὶ τῆς ἀκριβείας μικρὸν ἀποδέεσθαι οὐ παραιτοῦνται, τῆς ἐκείνων ὠφελείας κηδόμενοι, τοῖς πᾶσι γὰρ τὰ πάντα γίνεσθαι ἀποστολικῶς διδασκόμεθα, ἵνα τοὺς πάντας ἤγουν τοὺς πλείονας κερδήσωμεν. Ἐπειδὴ τοιγαροῦν καὶ τὰ νῦν ἀνηνέχθη ἡμῖν περί τινος συνοικεσίου μέλλοντος γενέσθαι εἰς τὰ αὐτόθι κωλυωμένου κατὰ βαθμοὺς ἀπὸ πνευματικῆς συγγενείας θείου βαπτίσματος· ὁ γὰρ Νικόλαος, πνευματικὸς υἱὸς τοῦ Δούκα, ὡς διὰ τοῦ θείου βαπτίσματος ἀναδεχθεὶς ὑπ᾿ αὐτοῦ ἔφθασεν ἀρραβωνισθῆναι τὴν Χάϋδον, δισεγγόνην οὖσαν τοῦ αὐτοῦ Δούκα, ἀγνοουμένης τῆς τοιαύτης μεταξὺ αὐτῶν πνευματικῆς συγγενείας, εἶτα ἐκ συνεργείας τοῦ πονηροῦ λαβὼν ἀδεῶς τὴν πρὸς ἐκείνην εἴσοδον, ὡς ἤδη μνηστὴν αὐτοῦ γεγενημένην διὰ τῆς μακρᾶς συναναστροφῆς καὶ ὁμιλίας, ἔγνωσαν ἀλλήλους, καὶ ἐπεγένετο αὐτοῖς ἐξ ἔρωτος συνάφεια σφοδρά, ὡς κινδυνεύειν ψυχικῶς ἑκατέρους, ἐὰν συμβῇ διαλυθῆναι αὐτούς. Τὴν γοῦν τοιαύτην ἀναγκαίαν περίστασιν ἀναγγείλαντες περιπαθῶς τῇ κοι-

νῇ μητρὶ πασῶν τῶν Ἐκκλησιῶν: καθ᾽ἡμᾶς του Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ, καὶ ἐκτραγωδήσαντες ἐλεεινῶς τὰ καθ᾽ἑαυτούς, καὶ τὸν ἐπικείμενον αὐτοῖς ψυχικὸν κίνδυνον ἐμφανίσαντες, καὶ πιστοποιήσαντες ἡμᾶς περὶ τούτου, καὶ μετὰ θερμῶν δακρύων καὶ πολλῶν παρακλήσεων τὴν ἐνδεχομένην θεραπείαν παρὰ τῆς ἐκκλησιαστικῆς φιλανθρωπίας τε καὶ κηδεμονίας ἐξαιτησάμενοι, ἐπεσπάσαντο εἰς οἶκτον τὴν ἡμῶν μετριότητα. Τούτου χάριν καὶ ἡμεῖς γράφοντες, ἀποφαινόμεθα τῇ δυνάμει καὶ ἐξουσίᾳ τοῦ παναγίου πνεύματος (καὶ τὰ ἑξῆς ἐπιτρέποντα τὸ συνοικέσιον).

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 246—247.

ΝΘ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Συνοικεσίου συγχώρησις εἰς τέταρτον βαθμὸν ἀπὸ θείου βαπτίσματος.

Ὁ τῆς οἰκονομίας τρόπος οὐδενὶ τῶν συνετῶν ἀπήρεσε πώποτε, κατὰ τὸν μέγαν τῆς Ἀλεξανδρείας Κύριλλον· ἔνθεντοι καὶ οἱ τῆς χριστιανικῆς ποίμνης πρόβολοι οὐ διέλιπον ἄνωθεν ὡς τῆς τῶν πιστῶν σωτηρίας ὑπέρ τι ἄλλο φροντίζοντες οἰκονομεῖν διαφόρως τὰ κατὰ καιροὺς τῆς ἀκριβείας μικρὸν ἀποδέοντα ὅσα οἰκονομικῶς δηλαδὴ γινόμενα τὴν εὐσέβειαν οὐ λυμαίνεται. Ἐπειδὴ τοιγαροῦν ἀνηνέχθη ἡμῖν περί τινος συνοικεσίου μέλλοντος αὐτόθι γενέσθαι, ὅπερ κεκωλυμένον μὲν ἐστὶ διὰ τὴν ἐνοῦσαν συγγένειαν ἀπὸ τοῦ ἁγίου βαπτίσματος, κατὰ τοὺς βαθμολογοῦντας τὰ συνοικέσια· ἡ γὰρ Μπατοῦ ὀνόματι βούλεται λαβεῖν τὸν Μαθιόν, ἧστινος Μπατοῦς ἡ πρὸς μητρὸς μάμμη Πυφοῦλα ἀνεδέξατο ἀπὸ τοῦ θείου βαπτίσματος τὴν Σεβαστήν, μητέρα τοῦ ῥηθέντος

Μαθιοῦ· πλὴν ἀγνοουμένης τῆς τοιαύτης συγγενείας ἔφθασαν συνθῆκαι καὶ συμφωνίαι γενέσθαι περὶ τοῦ γαμικοῦ αὐτοῦ συναλλάγματος· κἀντεῦθεν, κατὰ τὴν ἐπικρατοῦσαν τοῦ τόπου συνήθειαν, ἀδεῶς τοῦ λοιποῦ τῆς εἰσόδου γενομένης, μεταξὺ τῶν συναφθησομένων προσώπων προῆλθε τὸ πρᾶγμα εἰς τοιαύτην κατάστασιν, ὡς ἀναγκαίως ἐπιδεῖσθαι ἀπαρτηθῆναι τὸν γάμον καὶ ἀδυνάτως ἔχειν τοῦ λοιποῦ τὴν διάλυσιν γενέσθαι διὰ τὰ ἐπακολουθήσαντα περιστατικὰ τῷ πράγματι· οὗ ἕνεκα μετὰ τὸ ἀναμαθεῖν τὴν τοιαύτην συγγένειαν εὐλαβούμενοι ἀπαρτίσαι τὸν γάμον προσέδραμον ἱκετικῶς τῇ Ἐκκλησίᾳ μεθ' ὑπερβαλλούσης δεήσεως καὶ θερμῆς παρακλήσεως θεραπείας ἀξιωθῆναι, προβαλλόμενοι τὰς ἐνούσας ἀναγκαίας περιστάσεις, δυσωπεῖν δυναμένας ἐφελκύσαι τὸν τῆς Ἐκκλησίας ἔλεον· καὶ δὴ τὴν δέησιν αὐτῶν φιλανθρώπως ἀποδεξάμενοι, λόγῳ συγκαταβάσεως συνεχωρήσαμεν αὐτῶν τὸ τοιοῦτο συνοικέσιον, τὸ μέν τοι πρὸς τοὺς πρὸ ἡμῶν ἀποβλέποντες τῆς Ἐκκλησίας προστάτας, ἐνίοτε οἰκονομικῶς τὰ τοιαῦτα θεραπεύειν οὐκ ἀπαναινομένους καὶ συγκαταβαίνοντας κηδεμονικῶς ταῖς τῶν πιστῶν αἰτήσεσιν, ὡς τῆς σωτηρίας αὐτῶν ὑπέρ τι ἄλλο φροντίζοντας, τὸ δὲ τοῦ νομικοῦ ῥητοῦ στοχαζόμενοι ἐν ταῖς περὶ τοῦ βαπτίσματος νομοθεσίαις ὡρισμένα μόνον τινὰ πρόσωπα κωλύοντος καὶ φάσκοντος οὑτωσί· οὐ δύναμαι λαβεῖν ἣν ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀνεδεξάμην, οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα, ἀλλ' οὐδὲ ὁ υἱός μου· περαιτέρω μηδὲν προστιθεμένου, καὶ ἐπιφέροντος ὡς τοῖς πλείοσιν οὕτως ἔδοξεν ἐν τούτοις καὶ μόνοις τοῖς προσώποις παρατηρεῖν τοὺς κεκωλυμένους βαθμοὺς ἐν τοῖς συνδεδεμένοις τῇ σχέσει τοῦ βαπτίσματος· ὡς ἐν η' κεφαλαίῳ τοῦ Β στοιχείου παρὰ Ματθαίῳ τῷ Βλαστάρει σαφῶς καθορᾶται. Τούτου χάριν καὶ ἡμεῖς διά τε τὰ εἰρημένα, καὶ ταῖς δεήσεσιν ἐπικαμφθέντες, δεῖν ἔγνωμεν συγχωρῆσαι γενέσθαι τὸ τοιοῦτο συνοικέσιον· καὶ δὴ γράφοντες, τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ χάριτι τοῦ παναγίου Πνεύματος, ἀποφαινόμεθα ἵνα ἡ διαληφθεῖσα Μπατοῦ ἔχῃ ἄδειαν λαβεῖν εἰς ἄνδρα νόμιμον τὸν ῥηθέντα

Μαθιόν, καὶ στεφανωθῆναι ἐκεῖνον ἐκκλησιαστικῶς, μηδενὸς ἐμποδίζοντος, ὑπάρχῃ δὲ τὸ αὐτὸ συνοικέσιον καὶ εὐλογημένον παρὰ Θεοῦ καὶ συγκεχωρημένον, ὑπ' οὐδενὸς ἀντιλεγόμενον· τὴν δὲ τοιαύτην ἄδειαν ἰδίως **μόνοις τοῖς ῥηθεῖσι προσώποις** δεδώκαμεν **λόγῳ οἰκονομίας** διὰ τὰς ῥηθείσας αἰτίας, **οὐ μὴν δὲ καὶ ἄλλοις παραχωροῦμεν** τὸ τοιοῦτο συνοικέσιον.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 246—247.

Ξ'.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Συνοικεσίου συγχώρησις εἰς ϛ' βαθμὸν ἀπὸ θείου βαπτίσματος.

Τοῦ ἀποστόλου Παύλου διδάσκοντος, πάντα πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας γενέσθω, ἀπαραιτήτως ὀφείλεται τοῖς σοφοῖς τῶν Ἐκκλησιῶν οἰκονόμοις κήδεσθαι μὲν τῆς σωτηρίας τῶν ποιμαινομένων ἑκάστου χριστιανῶν, διαφόρως δὲ ἐξαρτύειν αὐτὴν, ὅπως ἂν ὁ καιρὸς ἀπαιτῇ καὶ τὰ πράγματα· τὴν γὰρ κανονικὴν ἀκρίβειαν ἀπαράτρεπτον διόλου φυλάττειν ἀνάγκη ἐν τοῖς περὶ εὐσεβείας καὶ τῆς ἀμωμήτου πίστεως θείοις δόγμασιν, ὅπου Θεὸς τὸ κινδυνευόμενον· ἔνθα δὲ πολλοῖς πολλάκις τοῖς τῆς Ἐκκλησίας προστάταις οἰκονομίαι τινὲς ἐξεύρηνται, οὔτε τὸ ὑγιὲς τῆς πίστεως διαφθείρουσαι, καὶ τὴν ἀναγκαίως ἀπαιτουμένην θεραπείαν τοῦ πράγματος παρεχόμεναι, ἐπὶ τούτου δηλονότι, οὐ πάντῃ ἀπεμφαῖνόν ἐστι συγκαταβαίνειν ἐνίοτε ταῖς τῶν ὀρθοδόξων ἐπ' εὐλόγοις αἰτίαις αἰτήσεσι, καὶ φιλανθρωπικῶς τούτοις ἐπάγειν τὴν θεραπείαν. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ Μαυρουδῆς πρὸ χρόνων ἤδη ἱκανῶν ἔφθη μνηστευθῆναι μετὰ τῆς Στρατηγοῦς, ἀκώλυτον καὶ ἀνεμπό-

διστον νομίσας τὴν πρὸς ἐκείνην συνοίκησιν, ἤδη δὲ μέλλοντος τελεσθῆναι τοῦ γάμου, συζητήσεως γενομένης περὶ αὐτοῦ, εὑρέθη συγγένειαν ἔχων μετ' αὐτῆς ἕκτου βαθμοῦ ἀπὸ θείου βαπτίσματος: ὅθεν τοῦ πράγματος ἤδη ἐν ἀκμῇ ὑπάρχοντος, καὶ διὰ πολλὰς περιστάσεις καὶ αἴτια χαλεπῆς καὶ δυσκόλου γενομένης πλέον τῆς διαζεύξεως καὶ διαλύσεως αὐτῶν, προσῆλθε τῷ ἐλέει τῆς Ἐκκλησίας, δεόμενος τυχεῖν ἐνδεχομένης τινὸς θεραπείας. Τούτου χάριν ἡ μετριότης ἡμῶν, θεραπείαν τινὰ δέχεσθαι τὴν τοιαύτην συγγένειαν ἀπὸ τῶν ἱερῶν βιβλίων μαθοῦσα· φησὶ γὰρ ὁ ἱερὸς Ματθαῖος ὁ Βλάσταρις, ὅτι τινὲς ἰσχυρίζονται ἐπὶ τῆς ἀπὸ τοῦ θείου βαπτίσματος συγγενείας χρῆναι παρατηρεῖν τοὺς κεκωλυμένους βαθμοὺς ἄχρι τοῦ ἑβδόμου, ὅσους δηλαδὴ καὶ εἰς τὴν καθ' αἷμα συγγένειαν, τοῖς δὲ πλείοσι τοῦτο οὐκ ἔδοξεν, ἀλλὰ μόνα τὰ τῷ νόμῳ κωλύεσθαι πρόσωπα· τί δέ φησιν ὁ νόμος; ὅτι, ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι, ὡς ἤδη γενομένην αὐτοῦ θυγατέρα, οὐδὲ τὴν ταύτης μητέρα, ἢ θυγατέρα, ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ. Συνάγεται ἄρα ἀπὸ μὲν τοῦ νόμου μέχρι τοῦ γ' μόνον ῥητῶς κωλυθῆναι βαθμοῦ· κατὰ δὲ τὴν τοῦ Βλαστάρεως ἑρμηνείαν, τοῖς πλείοσι τοῦτο ἀρέσκειν, καὶ εὐλόγως ἄρα τὴν τῶν πλειόνων ψῆφον κρατεῖν· πρὸς δὲ τούτοις καὶ τοῦ ῥηθέντος Μαυρουδῆ προβάλλοντος χαλεπὸν εἶναι διαλυθῆναι τὴν προβᾶσαν μνηστείαν αὐτοῦ μετὰ τῆς Στρατηγοῦς, οὐκ εὔλογον ἡγησαμένη παραλιπεῖν αὐτὸν ἀθεράπευτον, ἀποβλέπουσα καὶ εἰς τοὺς πρὸ ἡμῶν τῆς Ἐκκλησίας προστάτας, εἰς οἰκονομίαν μᾶλλον τραπέντας ἐν τοῖς τοιούτοις, ἀλλὰ προνοίᾳ τῆς Ἐκκλησίας, **λόγοις οἰκονομίας καὶ συγκαταβάσεως** χρησάμενοι, συνεχωρήσαμεν γενέσθαι τὸ τοιοῦτο συνοικέσιον. Καὶ δὴ γράφοντες τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ χάριτι τοῦ παναγίου Πνεύματος, ἀποφαινόμεθα ἵνα συντελεσθῇ ἀκωλύτως τὸ τοιοῦτο συνοικέσιον, καὶ ἔχῃ ἄδειαν ὁ Μαυρουδῆς λαβεῖν εἰς γυναῖκα αὐτοῦ τὴν Στρατηγοῦ (καὶ τὰ ἑξῆς).

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 251—252.

ΞΑ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Ὀφφικίων ἐκκλησιαστικῶν φυλάττεσθαι τὸν νενομισμένον προβιβασμὸν, καὶ τοῖς ἀξίοις δίδοσθαι ταῦτα, καὶ μὴ ἁρπάζεσθαι ἀτάκτως ὑπὸ τῶν ἔξω, καὶ ἰδίως περὶ τοῦ διδασκάλου Κριτίου φυλάττεσθαι τὸν προβιβασμὸν αὐτοῦ, καὶ ἀνατροπὴ τῆς φθασάσης γίνεσθαι ἀταξίας, καὶ περὶ τοῦ δεῖν φιλοτιμεῖσθαι τὰς ἐξαρχίας τοῖς δουλεύουσι καὶ κοπιῶσι τῶν κληρικῶν.

Οἷόν τι σῶμα ἔμψυχον καὶ ὀργανικὸν ποικίλοις καὶ διαφόροις φυσικοῖς συγκροτούμενον μέλεσι καὶ τῇ ἁρμονίᾳ καὶ ἀμελείᾳ τοῦ ἐπιλάμποντος λόγου ὡς ὑφ᾽ἑνὶ κινούμενον πνεύματι, τὸ πνευματικὸν ὄντως τῆς ἐκκλησιαστικῆς ὁλοκληρίας γνωρίζεται σύστημα, ἐκ πολλῶν μὲν καὶ διαφόρων μελῶν συναπαρτιζόμενον, εἰς μιᾶς δὲ πνευματικῆς ὁλομελείας εὐχρμοσίαν καὶ σύμπνοιαν ἀποκαθιστάμενον, εὐταξίας ἐν τούτοις τῆς προσηκούσης ἡγουμένης τε καὶ συντηρουμένης, ἐξ ἧς ὡς ἐκ πολυχόρδου κινύρας πνευματικῆς τὸ παναρμόνιον τῆς ἐκκλησιαστικῆς εὐκοσμίας ἀπαρτίζεται μέλος. Ἕκαστα καὶ γὰρ τῶν ἐκκλησιαστικῶν μελῶν, ἐπὶ τῆς ἐφαρμοζούσης ἱστάμενα τάξεως, αὐτά τε καθ᾽ ἑαυτὰ ὁδῷ τινι καὶ εἱρμῷ προβαίνοντα ὑγιαίνει, καὶ εἰς ἄλληλα τὴν πνευματικὴν ὑγίειαν διαβιβάζει, καὶ διαρκοῦσαν τῷ ὅλῳ προμνηστεύεται σωτηρίαν· κἀντεῦθεν, ὅ φησὶν ὁ ἱερὸς Παῦλος: ἑνὸς μέλους δοξαζομένου συγχαίρει πάντα τὰ μέλη, καὶ ἑνὸς αὖθις πάσχοντος μέλους συμπάσχει πάντα τὰ μέλη διὰ τὴν κατὰ συμπάθειαν ἐν ἀλλήλοις θεωρουμένην ἐφαρμόζουσαν συστοιχίαν καὶ συνάφειαν. Ἄλλως δὲ τῆς ἐν τοῖς μέλεσιν εὐαρμοστίας καὶ ἁρμονίας συγχυθείσης τε καὶ ἀνατραπείσης, αὐτά τε στασιάζοντα μετ᾽ ἀλλήλων τῆς οἰκείας ἐνεργείας ἐκπίπτει,

καὶ εἰς τὸ ὅλον σύστημα οὐχ' ἡ τυχοῦσα ἀτιμία προστρίβεται. Οὕτως οὖν ἀναγκαίας οὔσης τῷ τῆς Ἐκκλησίας πληρώματι τῆς ἐκκλησιαστικῆς εὐρυθμίας καὶ τάξεως, καλῶς ἄνωθεν νενομοθέτηται καὶ διώρισται κανονικαῖς διατάξεσι καὶ συνοδικαῖς διαγνώσεσιν ὁ τῶν ἐκκλησιαστικῶν ὀφφικίων κατάλογος, δι' οὗ ὥσπέρ τινος ἐναρμονίου ἀλληλουχίας ἡ ἐκκλησιαστικὴ κοσμιότης καὶ σεμνοπρέπεια διήρκεσε μέχρι τοῦδε συντηρουμένη τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ, καὶ τὸ εὐαγὲς σύνταγμα τῶν ἐκκλησιαστικῶν ἀρχόντων καὶ τιμιωτάτων κληρικῶν τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ θρόνου εὐτάκτως ὑπῆρξε διοικούμενον, τοῦ ἀξίου καὶ ἁρμοδίου προσώπου ἑκάστοτε κατὰ τὴν ἀναλογίαν τῆς προσούσης ἐκείνῳ ἀρετῆς τε καὶ προκοπῆς εἰς τὸν ἐφαρμόζοντα τοῦ ὀφφικίου βαθμὸν λόγου διαδοχῆς προβιβαζομένου, καὶ τῆς ἀνηκούσης τιμῆς καὶ προεδρίας ἀξιουμένου. Οὐ γὰρ ἐξῆν ὅλως τοῖς γε τυχοῦσι καὶ βουλομένοις τῶν ἔξωθεν τῷ ἐκκλησιαστικῷ κλήρῳ παρεισφλαρῆναι ἀναρμόστως, καὶ τῶν ὑπερεχόντων ὀφφικίων ἀθρόον ἐπιλαμβάνεσθαι, καὶ τοὺς προκατειλεγμένους, ἐνευδοκιμηκότας τε καὶ ἐγγεγηρακότας τῷ κλήρῳ θρασέως ὑπερπηδᾶν, ἀλλὰ κατὰ χώραν τοῦ δικαίου φυλαττομένου, προεβιβάζοντο κατὰ κανόνας οἱ ὑφεδρεύοντες καὶ προβιβασμοῦ ἄξιοι, καὶ μετ' ἐκείνους συνηριθμοῦντο προσφόρως οἱ τοῦ κλήρου νεόλεκτοι, καὶ τῷ τρόπῳ τούτῳ ἥ τε τῶν ἱερῶν κανόνων ἀκρίβεια ἐφυλάττετο, τάξει καὶ ἀκολουθίᾳ τοῦ προβιβασμοῦ γενομένου, καὶ τὰ τῆς ἀρετῆς ἐπεδίδου καὶ προέκοπτε διὰ τῆς εἰς τοὺς ἀξίους σωζομένης τιμῆς. Τὰ γὰρ καλὰ τιμώμενα αὔξει, καὶ εἰς ἐπίδοσιν πρόεισιν, ὥς φησιν ἡ θεολόγος φωνή, ὧν τοὺς ἐπαίνους οἶδα τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις, καίπερ τοὐναντίον ἀμελούμενα καὶ παρὰ φαῦλον τιθέμενα τῆς ἐπὶ τὰ πρόσω ἀναχαιτίζεται πορείας, καὶ κατὰ μικρὸν ἀμαυρωθέντα ἐκλείπει. Ἀλλὰ πρὸ χρόνων ἤδη τινῶν συνέβη ἐκ καιρικῆς ἐπηρείας τὴν ἐν τοῖς ἐκκλησιαστικοῖς ὀφφικίοις ἀρχαίαν καὶ κανονικὴν εὐταξίαν ἀνατραπῆναι, σπουδαρχίᾳ καὶ φιλοδοξίᾳ τινῶν, ἀτάκτως ἐπιπηδησάντων ἐν τῷ ἱερῷ κλήρῳ, ἀδικηθῆναί τε τοὺς πάλαι προκατειλεγμένους ἐν αὐτῷ

καὶ τοῦ ἐκκλησιαστικοῖς κανόσι νενομοθετημένου καὶ ἐφαρμόζοντος προβιβασμοῦ στερηθῆναι, καὶ τὴν πολυχρόνιον αὐτῶν ἀρετὴν καὶ παιδείαν καὶ φιλοπονίαν περιφρονηθῆναι· ἐν οἷς μάλιστα τῶν ἄλλων ἠδίκηται καὶ λελύπηται παρὰ τὸ δέον ὁ τιμιώτατος καὶ σοφολογιώτατος μέγας ἐκκλησιάρχης Κριτίας, ὅστις παιδιόθεν τῆς Ἐκκλησίας τρόφιμος ὤν, τῇ τε θύραθεν παιδείᾳ, καὶ τῇ ἱερᾷ τῆς Ἐκκλησίας διδασκαλίᾳ, νόμων τε καὶ κανόνων ἐμπειρίᾳ, καὶ πράξει γραμμάτων πατριαρχικῶν ἐξησκημένος, χρόνους τε ἱκανοὺς τὸ τῆς διδασκαλίας ἐπάγγελμα μεταχειρισάμενος ἐν τῇ καθ' ἡμᾶς πατριαρχικῇ σχολῇ, καὶ μαθητεύσας πολλούς, τῇ τε Μεγάλῃ Ἐκκλησίᾳ, καὶ τῇ ἱερᾷ συνόδῳ διὰ τῶν οἰκείων φιλοπονημάτων προθύμως καὶ ἐπαξίως ἐξυπηρετήσας ἐκ πρώτης αὐτοῦ ἡλικίας ἀδιακόπως μέχρι τοῦ νῦν, καὶ εὐαρεστήσας, φθάσας τε καταλλήλως προβιβασθῆναι εἰς τὸ τοῦ μεγάλου ἐκκλησιάρχου ὀφφίκιον, καὶ τῇ πρώτῃ πεντάδι συναριθμηθῆναι, καὶ δέον ὂν (διά τε τὴν ἀρετὴν αὐτοῦ καὶ παιδείαν, καὶ διὰ τοὺς οὓς καθ' ἑκάστην ὑφίσταται πόνους ἐν τοῖς ἐκκλησιαστικοῖς γράμμασί τε καὶ ὑπουργήμασιν ἀναγκαίοις οὖσι τῇ Ἐκκλησίᾳ καὶ συντελοῦσιν εἰς τὴν αὐτῆς κοσμιότητα καὶ εὐπρέπειαν, καὶ εἰς τὴν τοῦ ἡμετέρου γένους τιμήν τε καὶ ὠφέλειαν) ἀπολαμβάνειν τῆς καθηκούσης τιμῆς παρὰ τῆς Ἐκκλησίας, καί, καιροῦ καλοῦντος, τοῦ ἐν ὀφφικίοις προβιβασμοῦ μὴ ὑστερηθῆναι, μηδὲ ὑβρίζεσθαι τῇ τῶν ἔξωθεν ἐπιπηδήσει, ἔμπης συνέβη προσεχῶς, κατά τινα περίστασιν καὶ μίμησιν ἑνὸς προηγησαμένου ἀτόπου παραδείγματος, ἀδικηθῆναι τὴν αὐτοῦ λογιότητα ἔν τισιν ὀφφικίοις ὑπερέχουσιν, ἐν οἷς ἐδικαιοῦτο κανονικῶς προβιβασθῆναι, οὐ μόνον διὰ τὴν τάξιν, ἀλλὰ καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ τοὺς μακροὺς πόνους, ἧς ἕνεκα ἀδικίας καθορῶντες τὴν αὐτοῦ λογιότητα δυσφοροῦντα καὶ σχετλιάζοντα ἐφ' οἷς παρὰ τὸ δέον λελύπηται, καὶ μηκέτι ἀνεχόμενοι τοῦ λοιποῦ καταλιπεῖν τὸ πρᾶγμα ἀδιόρθωτον κοινῶς καὶ συνοδικῶς συνδιασκεψάμενοι, γνώμῃ καὶ συναινέσει καὶ τοῦ ἐκλαμπροτάτου καὶ εὐσεβεστάτου αὐθέντου ἐξ ἀπορρήτων, κυρίου κυρίου Ἀλεξάνδρου Γκίκα, υἱοῦ κατὰ πνεῦμα ἀγαπητοῦ τῆς

ἡμῶν μετριότητος, συναγωνισθέντος ἡμῖν τῷ αὐτῷ ζήλῳ ἔν τε τῇ ἐκκλησιαστικῇ εὐκοσμίᾳ, καὶ περὶ τῆς ὀφειλομένης παρὰ τῆς Ἐκκλησίας τιμῆς τῆς αὐτοῦ λογιότητος, ὥστε μηκέτι ὅμοιον ἄτοπον καὶ ἄδικον τολμηθῆναι, καὶ τὸν προβιβασμὸν τῆς αὐτοῦ λογιότητος μηδενὶ ἑτέρῳ ἅρπαγμα καὶ αὖθις γενέσθαι, δεῖν ἔγνωμεν προνοῆσαι ἀπ' ἄρτι καὶ βαλεῖν τὸ πρᾶγμα εἰς τὴν ἀρχαίαν καὶ κανονικὴν εὐταξίαν, καὶ διορίσαι ἐγγράφως τὴν ἀνατροπὴν καὶ παῦσιν τῆς ὅπως δήπως φθασάσης παρεισφθαρῆναι ἐν τῷ τῶν ἐκκλησιαστικῶν ὀφφικίων προβιβασμῷ ἀταξίας καὶ ἀνωμαλίας, καὶ ἰδίως μάλιστα περὶ τοῦ ἀνήκοντος δικαίου τῇ αὐτοῦ λογιότητι. Καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τῆς ἀρχαίας περὶ τὰ ἐκκλησιαστικὰ ὀφφίκια εὐταξίας ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀκεραίου καὶ ἀμεταθέτου σωζομένης τε καὶ φυλαττομένης, καὶ τῆς ὁπωσδήπως νεωστὶ καὶ κατὰ τρόπον βίαιον καὶ παράλογον παρεισφθαρείσης ἀταξίας καὶ ἁρπαγῆς καὶ ἀδικίας ἄρδην ἀνατραπείσης, καὶ μηδὲ μίαν χώραν καὶ εἴσοδον ἐν τῷ ἐκκλησιαστικῷ κλήρῳ ἐχούσης, ἡνίκα γένηται χρεία μεταθέσεων καὶ προβιβασμοῦ τῶν τιμιωτάτων κληρικῶν τῆς πρώτης πεντάδος τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου, καὶ τύχῃ τὸ ὑπὲρ τὸν μέγαν ἐκκλησιάρχην ἀμέσως ἢ ἐμμέσως ὑπερέχον καὶ ἐπαναβεβηκὸς ὀφφίκιον ἀπόλυτον εὑρεθῆναι, ἀποθανόντος ἢ παραιτησαμένου τοῦ ἔχοντος αὐτὸ προσώπου, μηκέτι μηδεὶς τῶν ἔξωθεν τοῦ ἐκκλησιαστικοῦ κλήρου, ὁποιασδήτινος τάξεως καὶ καταστάσεως ὤν, ἔχῃ ἐξουσίαν καὶ ἄδειαν ὅλως ζητῆσαί τε καὶ ἐπιχειρῆσαι, οἱῳδήτινι τρόπῳ, διὰ μεσιτείας καὶ προσβολῆς, ἐπιδράξασθαι τοῦ μὴ ἀνήκοντος αὐτῷ ὀφφικίου ἐν τῇ πρώτῃ πεντάδι, μηδὲ προσβαλὼν καὶ ζητήσας παντελῶς εἰσακούεσθαι, ἀλλ' ἀποκρούεσθαι παντὶ σθένει συνασπιζομένων πάντων ἡμῶν καὶ συναγωνιζομένων ὁμοφώνῳ καὶ κοινῇ ψήφῳ καὶ ἀποφάσει ἐπὶ τῷ μὴ προχωρῆσαι τοῦ λοιποῦ τοιοῦτον ἄτοπον καὶ ἄτακτον ἐπιχείρημα, ὀφείλει δὲ μόνον κατὰ δίκαιον καὶ εὔλογον τρόπον ὁ

διαληφθεὶς μέγας ἐκκλησιάρχης εἰς τὸ ῥηθὲν ὀφφίκιον προβιβάζεσθαι, καὶ εἰς τὴν καθήκουσαν ἀποκαθίστασθαι τάξιν, προτιμώμενος τῶν ἄλλων ἁπάντων, οἷα δὴ τρόφιμος ὢν τῆς Ἐκκλησίας ἀρχῆθεν, ὡς εἴρηται, καὶ πολλοὺς ἱδρῶτάς τε καὶ μόχθους καταβαλὼν ἐπ' αὐτῇ, ἀόκνως τε καθ' ἑκάστην διὰ γραμμάτων ἀμφιπονῶν καὶ ἀγρυπνῶν ταῖς ἐμπιπτούσαις ἐκκλησιαστικαῖς ὑποθέσεσι, καὶ ἐπὶ τούτοις δικαιούμενος τῆς ἀξίας ἀνταμείψεως καὶ τιμῆς κατὰ χρέος ἐπιτυγχάνειν παρὰ τῆς κοινῆς μητρὸς καὶ εὐεργέτιδος πάντων καθ' ἡμᾶς ἁγίας καὶ Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας. Τῆς οὖν τάξεως ταύτης καὶ κατ' ἀκολουθίαν προβιβασμοῦ φυλαττομένων ἀπαραβάτως ἐν τῇ πρώτῃ πεντάδι, ἐπὶ τῶν λοιπῶν ὀφφικίων τῶν μετὰ τὴν πρώτην πεντάδα ἀκολουθούντων ἐχέτωσαν χώραν καὶ εἴσοδον καὶ οἱ ἔξωθεν ἐκ τοῦ πολιτικοῦ συστήματος τῶν εὐγενῶν ἀρχόντων καὶ σπουδαίων καὶ πεπαιδευμένων ἀνδρῶν ἄξιοι ἀναφαινόμενοι, κατὰ τὴν ἐφαρμόζουσαν ἑκάστῳ τούτων τάξιν τε καὶ τιμήν, ὀφφικίου τυχόντες λαμβάνειν αὐτό, καὶ ἐγγράφεσθαι τῷ ἐκκλησιαστικῷ κλήρῳ διὰ τοῦ ἐπιτρέποντος τρόπου τῇ ἐκκλησιαστικῇ καταστάσει· ὥστε καὶ τοὺς προβεβηκότας ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς αὐτῶν, καὶ τοὺς νεολέκτους τιμᾶσθαι κατ' ἀξίαν, καὶ ἐν πᾶσι τούτοις τὴν ἀρετὴν καὶ εὐπαιδευσίαν διὰ τῆς ἐκκλησιαστικῆς ταύτης τιμῆς γεραίρεσθαι, ὥστε καὶ τοὺς μεταγενεστέρους ὡς εἰς παράδειγμα καθορῶντας τοὺς προηγησαμένους τῆς ἀρετῆς ἀντέχεσθαι προθυμότερον ἐπ' ἐλπίδι ἀμοιβαίας τιμῆς παρὰ τῆς Ἐκκλησίας, δικαίως ἀντιμετρουμένης κατ' ἀξίαν καὶ ἀρετὴν τῆς φιλοπονίας αὐτῶν. Καὶ περὶ μὲν τῆς τῶν ὀφφικίων εὐτάκτου προόδου καὶ προβιβασμοῦ ὁ τύπος οὗτος ὀφείλει φυλάττεσθαι καὶ διενεργεῖσθαι, ἐπεὶ δέ, κατὰ τὸ ἐπικρατῆσαν ἀνέκαθεν ἔθος τῇ Ἐκκλησίᾳ, καὶ ἐξαρχίας πατριαρχικὰς κατὰ φιλοτιμίαν πατριαρχικὴν τοῖς κληρικοῖς φιλοτιμεῖσθαι καὶ δίδοσθαι εἴθισται, ὅπως κἂν ταύταις ἥ τε ἀρχαία τάξις καὶ συνήθεια καὶ τὸ δίκαιον φυλάττηται, κοινῶς ἀπεφάνθη καὶ περὶ τούτων, ὅπως, ἐπειδὰν τύχῃ ἐξαρχία τις πατριαρχικὴ προηγουμένως ὀφείλῃ φι-

λοτιμεῖσθαι καὶ δίδοσθαι τοῖς περὶ τὴν δούλευσιν τῶν πατριαρχικῶν γραμμάτων καὶ ἄλλων ἐκκλησιαστικῶν ἀναγκαίων ὑπουργιῶν ἀμφιπονοῦσι καὶ ἀσχολουμένοις προθύμως τιμιωτάτοις κληρικοῖς, ὧν χάριν καὶ τὴν ἀρχὴν ἐπινενόηνται αἱ τοιαῦται φιλοτιμίαι τῆς Ἐκκλησίας, πρὸς περίθαλψιν ἀναγκαίαν δηλαδὴ τῶν κοπιώντων προθύμως ἐν αὐτῇ, ἐν οἷς προηγεῖσθαι ὀφείλει ὁ ῥηθεὶς σοφολογιώτατος διδάσκαλος, ὡς ὑπὲρ πάντας τοὺς ἄλλους κοπιᾶν καὶ μοχθεῖν ἀναγκαζόμενος, ἑπομένως καὶ οἱ λοιποὶ κατὰ τάξιν καὶ κατ' ἀξίαν τοῦ κόπου αὐτῶν τῆς τοιαύτης φιλοτιμίας ἀπολαβέτωσαν. Εἰ δέ τις τυχὸν τῶν ἔξω τῆς τοιαύτης ἐκκλησιαστικῆς δουλεύσεως διατελούντων τύχῃ ἐκκλησιαστικῷ ὀφφικίῳ τιμηθῆναι, μὴ ἐπὶ τῇ τοῦ ὀφφικίου προφάσει καὶ τῆς ἐξαρχίας ἀντιποιείσθω, ἀλλ' ἀρκείσθω μόνῃ τῇ ἐκκλησιαστικῇ ταύτῃ τιμῇ, τὴν δὲ τυχοῦσαν ἐξαρχίαν φιλοτιμεῖσθαι τῷ περὶ τὴν ἐκκλησιαστικὴν δούλευσιν, ὡς εἴρηται, ἀσχολουμένῳ· ἄξιος γάρ, φησίν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ· καί, τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν, κατὰ τὰ ἱερὰ καὶ γραφικὰ ῥητά. Οὐδὲ γὰρ ἀνεκτὸν ὅλως Θεῷ καὶ τοῖς ἀνθρώποις τὸν δουλεύοντα τῇ Ἐκκλησίᾳ καὶ παρ' αὐτῆς ἐλπίζοντα περιθάλπεσθαι ἐν στερήσει ἀδίκως ταλαιπωρεῖσθαι, τὸν δὲ κόπον αὐτοῦ ἅρπαγμα γίνεσθαι ἄδικον τῷ μηδεμίαν διακονίαν εἰς τὴν Ἐκκλησίαν ἐπιδειξαμένῳ. Τούτων οὖν οὕτω καλῶς τυπωθέντων τε καὶ διαταχθέντων, ὅστις καὶ ὁποῖος τολμήσει τὸ ἀπὸ τοῦδε ἀπ' ἐναντίας κινηθῆναι τῇ τοιαύτῃ κοινῇ καὶ συνοδικῇ ἡμῶν διαγνώσει καὶ διατάξει περὶ τῆς τῶν ὀφφικίων εὐταξίας καὶ τοῦ κανονικοῦ προβιβασμοῦ, καὶ τῆς ὀφειλομένης σὺν τῷ δικαίῳ τιμῆς τῷ ῥηθέντι διδασκάλῳ, ἔτι δὲ καὶ περὶ τῆς τῶν ἐξαρχιῶν εἰς τοὺς δουλεύοντας καὶ κοπιῶντας φιλοτιμίας, καὶ βίαν τινὰ καὶ μεσιτείαν ἐπαγκαγεῖν, καὶ ἀτάκτως καὶ παρὰ τὸ πρέπον καὶ δίκαιον, ἢ ὀφφικίου ἐπιλαβέσθαι, ἢ ἐξαρχίας, ὁ τοιοῦτος ὁποίας ἂν εἴη τάξεως καὶ βαθμοῦ ἀφωρισμένος (καὶ καθεξῆς αἱ συνήθεις ἀραί).

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 263--266.

ΞΒ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Συστατικὸν τῆς παιδείας καὶ σπουδῆς, καὶ μάλιστα διὰ τοὺς ἱερωθησομένους νὰ μὴν χειροτονῶνται ἀγράμματοι.

Φανερὸν καὶ ὁμολογούμενον εἶναι ὅτι ἡ σπουδὴ καὶ διδασκαλία καὶ μάθησις τῶν γραμμάτων εἶναι τὸ πλέον τιμιώτερον καὶ καλλίτερον πρᾶγμα, ἀπὸ ὅσα ἄλλα ἀγαθὰ καὶ ἂν εὑρίσκωνται εἰς τὴν παροῦσαν ζωὴν, κατὰ τὸν Θεολόγον Γρηγόριον. διότι εἶναι στολισμὸς τῆς ψυχῆς καὶ τελειότης τοῦ νοὸς, καὶ κάμνει τὸν ἄνθρωπον νὰ εἶναι τῇ ἀληθείᾳ ἄνθρωπος, ἐπειδὴ καὶ τοῦ χαρίζει τὴν γνῶσιν τῶν πραγμάτων καὶ τὴν σοφίαν, καὶ τὸν κάμνει κατὰ τοῦτο ὅμοιον κατὰ τὸ δυνατὸν μὲ τὸν Θεὸν, διότι καὶ τοῦ Θεοῦ τὸ ἐξαίρετον προσὸν, εἶναι ἡ σοφία, τὴν ὁποίαν καὶ ὁ προφήτης Σολομὼν μὲ πολλὴν ἐπιθυμίαν ἐζήτησεν ἀπὸ τὸν Θεὸν λέγων· «χάρισαί μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν», καὶ ἐπαινᾷ ἐκείνους ὁποῦ τὴν ἀπόκτησαν, λέγων «μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς, ὃς οἶδε φρόνησιν», καὶ ἄγκαλα εἰς ὅλους ἁπλῶς τοὺς ἀνθρώπους, ὁποῦ εἶναι λόγῳ τετιμημένοι, ἀναγκαία καὶ ὠφέλιμος εἶναι, ὡς εἴπομεν, ἡ σπουδὴ καὶ μάθησις τῶν γραμμάτων, κατ' ἐξαίρετον τρόπον ὅμως ἀναγκαιοτάτη καὶ χρειώδης εἶναι εἰς ἐκείνους, ὁποῦ λαμβάνουσι τὸ θεῖον τῆς ἱερωσύνης ἀξίωμα, καὶ γίνονται λειτουργοὶ καὶ ὑπηρέται τῶν ἁγίων τοῦ Θεοῦ μυστηρίων, οἱ ὁποῖοι ἔχουσι χρέος ἀπαραίτητον νὰ παρίστανται καθ' ἑκάστην τῷ φοβερῷ καὶ ὑψίστῳ Θεῷ, καὶ νὰ προσφέρωσι τὰς καθημερινὰς δεήσεις καὶ ἱκεσίας εἰς αὐτὸν, γινόμενοι μεσίται καὶ πρεσβευταὶ διὰ ἐξιλέωσιν τῶν ἁμαρτημάτων τοῦ λαοῦ· διὰ τοῦτο πρέπει νὰ εἶναι πεπαιδευμένοι καὶ διδαγμένοι καλῶς τὰ θεῖα καὶ ἱερὰ τῆς Ἐκκλησίας μαθήματα, νὰ γνωρίζουν τίνος εἶναι ὑπηρέται καὶ τί

φορτίον ἀνεδέξαντο καὶ τί χρέη ἔχουσι καὶ ποταποὶ πρέπει νὰ εἶναι διὰ νὰ ὑπηρετοῦσιν ἀξίως, καὶ μὲ τί τρόπον ἠμποροῦν νὰ ὠφελήσουν τὸ χριστώνυμον πλήρωμα, καὶ ἐπάνω εἰς ὅλα πρέπει νὰ εἶναι παιδευτικοὶ καὶ σωφρονητικοὶ καὶ μὲ τὸ παράδειγμα τῆς καλῆς αὐτῶν πολιτείας, διὰ νὰ ὠφελοῦν καὶ εἰς τοὺς λαϊκοὺς μὲ τὴν διδασκαλίαν των· «ὁ γὰρ ποιήσας καὶ διδάξας», λέγει ὁ Χριστὸς εἰς τὸ ἅγιον Εὐαγγέλιον, «οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν»· τὰ ὁποῖα αὐτὰ δὲν ἠμπορεῖ μὲ ἄλλον τρόπον νὰ κατορθώσῃ πάρεξ μὲ τὴν σπουδὴν καὶ μάθησιν τῶν γραμμάτων, μὲ τῆς ὁποίας τὴν ὁδηγίαν ἠμπορεῖ πρῶτον, καὶ τὸν ἑαυτόν του νὰ στολίσῃ καὶ νὰ ρυθμίσῃ μανθάνωντας καὶ διδασκόμενος μὲ τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας τὰς ὅσας ἀρετὰς καὶ προτερήματα εἶναι χρεία νὰ ἔχῃ αὐτὸς διὰ νὰ μετέρχεται ἀξίως τὸ ἐπάγγελμα τῆς Ἱερωσύνης, καὶ μετὰ ταῦτα ἀφοῦ αὐτὸς διδαχθῇ, νὰ ἠμπορῇ νὰ διδάξῃ καὶ νὰ παιδεύσῃ καὶ ἄλλους εἰς τὰ ἔργα τῆς ἀρετῆς καὶ εἰς τὸν χριστιανικὸν βίον, καὶ τότε νὰ ὁμοιάζῃ μὲ τὸ φῶς, καθὼς ὁ Χριστὸς λέγει, «ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου», καὶ μὲ τὸν λύχνον, ὁποῦ βάλλεται ἐπάνω εἰς τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ· εἰ δὲ καὶ ἤθελεν εἶσθαι ὁ ἱερεὺς ἀπαίδευτος καὶ ἀδίδακτος, καὶ εὑρίσκεται μέσα εἰς τὸ σκότος τῆς ἀμαθίας, τί ὠφέλειαν ἠμπορεῖ νὰ κάμῃ, ἢ τὸν ἑαυτόν του ἢ ἄλλους; τότε βέβαια ὁμοιάζει μὲ τὸν τυφλὸν ὁδηγὸν, διὰ τὸν ὁποῖον καὶ ὁ κοινὸς παροιμιώδης λόγος λέγει, τυφλὸς τυφλὸν ὁδηγεῖ, καὶ οἱ δύο ἔπεσον εἰς τὸν λάκκον· καὶ ἀκολούθως κοντὰ ὁποῦ αὐτὸς κολάζεται καὶ ἀφανίζεται, γίνεται αἴτιος νὰ ἀφανισθοῦν, καὶ νὰ κολασθοῦν καὶ ἄλλοι ὅσοι εἰς αὐτὸν ἀποβλέπουσιν, ὡσὰν εἰς παράδειγμα, διὰ τοῦτο καὶ ὁ β´ κανὼν τῆς ἐν Νικαίᾳ οἰκουμενικῆς Ζ´ Συνόδου ῥητῶς διορίζεται τοὺς Ἱερωσύνῃ τετιμημένους πῶς πρέπει νὰ εἶναι πεπαιδευμένοι. Ὄντας λοιπὸν τόσον ἀναγκαία καὶ ὠφέλιμος ἡ σπουδὴ καὶ μάθησις τῶν γραμμάτων εἰς τὸ τάγμα τῶν ἱερέων, δὲν ἠξεύρομεν πῶς, κρίμασιν οἷς μόνος οἶδε Θεὸς, ἔφθασεν εἰς τοὺς παρόντας καιροὺς εἰς παντελῆ στέρησιν καὶ ὀλιγότητα, καὶ

ἐκατήντησε τὸ θεῖον τοῦτο ἀξίωμα εἰς ὑποκείμενα, ἐστερημένα μὲν ἀπὸ τὸ θεοχαρίτωτον τοῦτο καὶ ἐπαινετὸν τῆς παιδείας πρᾶγμα, γεμάτα δὲ ἀπὸ ἀμάθειαν ἐσχάτην καὶ βαρβαρότητα καὶ ἀπαιδευσίαν παντελῆ, ἀπὸ τὴν ὁποίαν ἀμάθειαν καὶ ἀπαιδευσίαν τῶν τοιούτων πόσα καλὰ ὑστερήθη τὸ γένος μας, καὶ πόσα κακὰ ψυχοβλαβῆ καὶ ψυχόλεθρα δοκιμάζει δὲν εἶναι τοῦ παρόντος καιροῦ νὰ τὰ περιγράφωμεν καὶ νὰ τὰ φανερώσωμεν· τὸ δὲ αἴτιον τοῦ τοιούτου κακοῦ καὶ τῆς τηλικαύτης βλάβης καὶ ζημίας τοῦ ἡμετέρου γένους δὲν εἶναι ἄλλο, παρὰ ἡ ἀχρειότης καὶ ἡ κακία ἐκείνων, ὁποῦ ἀνεξετάστως καὶ χωρὶς ἀκριβοῦς δοκιμασίας, διὰ μίαν καὶ μόνην πλεονεξίαν τοὺς ἐχειροτόνησαν καὶ τοὺς ἔφεραν παρ' ἀξίαν καὶ παρὰ τὸ πρέπον εἰς αὐτὸ τὸ ἀξίωμα, ὥστε νὰ εἶναι, κατὰ τὴν παροιμίαν, καὶ ὁ Σαοὺλ ἀναμεταξὺ εἰς τοὺς προφήτας, καὶ οἱ χυδαῖοι λοιπὸν καὶ βάρβαροι εἰς τὴν τάξιν τῶν ἱερέων· καὶ μὲ ὅλον ὁποῦ ὁ ἀπόστολος Παῦλος παραγγέλλει νὰ μὴν γίνωνται αἱ χειροτονίαι ἁπλῶς καὶ ὡς ἔτυχε, λέγωντας, «χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἀλλοτρίαις ἁμαρτίαις» καὶ ἔγιναν αἴτιοι νὰ εἴμεθα παίγνιον καὶ χλευασμὸς καὶ μυκτηρισμὸς εἰς τὰ ἄλλα ἔθνη, καὶ καθὼς ὁ Γρηγόριος ὁ Θεολόγος λέγει «νῦν δὲ κιν. δυνεύει τὸ πάντων ἁγιώτατον τάγμα παρ' ἡμῖν νὰ εἶναι πάντων καταγελαστότατον». Διὰ τοῦτο ἡμεῖς, ἐπειδὴ θείῳ ἐλέει ἐκληρώθημεν τὸν ἀποστολικὸν καὶ οἰκουμενικὸν τοῦτον θρόνον, καὶ ἐνεπιστεύθημεν παρὰ Θεοῦ τὴν φροντίδα καὶ μέριμναν τῶν ἁπανταχοῦ χριστιανῶν, καὶ θέλοντες, κατὰ τὸν ἀπόστολον, τὰ ὅσια νὰ γίνωνται καὶ ὁσίως, ἀναγκαῖον ἐνομίσαμεν νὰ διορθωθῇ εἰς τὸ ἑξῆς ἡ τοιαύτη ἀταξία καὶ χειροτονία τῶν ἀμαθῶν καὶ ἀπαιδεύτων εἰς τὸ τῆς Ἱερωσύνης ἀξίωμα, διὰ τὴν ὁποίαν καὶ ὁ ἱερατικὸς κλῆρος* τοῦ καθ' ἡμᾶς οἰκουμενικοῦ Θρόνου κατὰ μικρὸν κινδυνεύει νὰ φθάσῃ εἰς στέρησιν παντελῆ ἀξίων ἀνδρῶν

* πρόδηλος ἡ διαφορὰ ἀπὸ τῶν κληρικῶν τῶν μὴ τετιμημένων ἱερωσύνῃ, δηλαδὴ τῶν ἐχόντων ὀφφίκια τοῦ Πατριαρχείου.

λόγῳ καὶ συνέσει καὶ εὐπαιδευσίᾳ, καὶ βίου καὶ λόγου λαμπρότητι κεκοσμημένων. Ὅθεν καὶ σκέψεως κοινῆς καὶ συνοδικῆς περὶ τούτου γενομένης, γνώμῃ καὶ συναινέσει καὶ τοῦ μακαριωτάτου καὶ πάσης τῆς περὶ αὐτὴν ἱερᾶς τῶν συναδέλφων ἀρχιερέων ὁμηγύρεως, ἀπεφάνθη καὶ ἐγνωμοδοτήθη κοινῶς παρὰ πάντων, ὅπως ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς νὰ μὴν χειροτονηθῇ πλέον, οὔτε νὰ προβιβασθῇ εἰς Ἱερωσύνην κανένας ἀπαίδευτος καὶ ἀγράμματος καὶ ἀμέτοχος τῶν ἑλληνικῶν γραμμάτων· ἀλλὰ ὅποιος ἐφίεται καὶ ἐπιθυμεῖ νὰ ἱερωθῇ, νὰ ἔρχεται πρῶτον εἰς τὸ ἐνταῦθα πατριαρχικὸν ἡμῶν σχολεῖον τῆς Κωνσταντινουπόλεως, καὶ νὰ σπουδάζῃ φιλοπόνως τὸ ὀλιγώτερον τέσσαρας καὶ πέντε χρόνους εἰς τὴν ἑλληνικὴν γλῶτταν, καὶ νὰ ἀκούῃ ἐπιμελῶς τὰ μαθήματα ὁποῦ διδάσκονται ἐκεῖ, καὶ ἀφοῦ παιδευθῇ καὶ λάβῃ δύναμιν ἱκανὴν, ὁποῦ νὰ ἠμπορῇ νὰ ἀναγινώσκῃ καὶ νὰ διαβάζῃ καλῶς καὶ ὀρθῶς τὰ βιβλία τῆς θείας Γραφῆς, καὶ μάλιστα τὸ ἱερὸν Εὐαγγέλιον καὶ τὸ Ψαλτήριον, καὶ τὰ λοιπὰ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας βιβλία, καὶ νὰ καταλαμβάνῃ καὶ τὰ νοήματα αὐτῶν, καὶ εἰς ὅσον καιρὸν καταγίνεται εἰς τὴν σπουδὴν, νὰ παιδεύσῃ καὶ νὰ στολίσῃ καὶ τὰ ἤθη του μὲ εὐταξίαν καὶ μὲ σεμνότητα καὶ κάθε ἄλλην εὐάρεστον ἀγωγὴν, καὶ νὰ φανερωθῇ καὶ ἡ πολιτεία του, καὶ ἡ διαγωγή του πῶς εἶναι ἐπαινετὴ καὶ χριστιανικὴ καὶ ἀξία διὰ τὴν Ἱερωσύνην, καὶ τότε νὰ χειροτονῆται κανονικῶς καὶ νομίμως, διὰ νὰ ἠμπορῇ καὶ μετὰ τὴν χειροτονίαν νὰ εὐδοκιμήσῃ καὶ Θεῷ καὶ ἀνθρώποις. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων (κλπ. ὡς συνήθως) καὶ παραγγέλλομεν, καὶ δηλοποιοῦμεν εἰς ὅλους σας, ὅπως ἠξεύροντες καὶ γινώσκοντες καλῶς τὴν γενομένην συνοδικὴν ἡμῶν ταύτην ἀπόφασιν περὶ τῆς χειροτονίας τῶν ἱερέων, ὅσοι χριστιανοὶ κάθε ἐνορίας, ἢ αὐτοὶ θέλουν νὰ χειροτονηθοῦν, ἢ τὰ παιδία τους ἔχουν γνώμην νὰ φέρουν εἰς αὐτὸ τὸ ἀξίωμα, νὰ ἔρχωνται εἰς τὸ πατριαρχικὸν ἡμῶν σχολεῖον, καὶ ἐκεῖ νὰ σπουδάζουν ἀνεξόδως, καὶ χωρὶς πληρωμὴν, καὶ νὰ παιδεύων-

ται μερικοὺς χρόνους, ἕως οὗ νὰ ἔλθουν εἰς κατάληψιν τῆς ἑλληνικῆς διαλέκτου, καὶ νὰ ἠμποροῦν νὰ διαβάζουν, καὶ νὰ καταλαμβάνουν τὰ ἐκκλησιαστικὰ καὶ ἱερὰ ἡμῶν βιβλία, καὶ ἀφοῦ φανῶσιν ἄξιοι καὶ προκομμένοι καὶ βίῳ καὶ λόγῳ, τότε νὰ λαμβάνωσι καὶ τὸ θεῖον τοῦτο τῆς Ἱερωσύνης ἀξίωμα, καὶ νὰ ἠξεύρετε καλῶς ὅτι πλέον ἀμαθὴς καὶ ἀπαίδευτος δὲν χειροτονεῖται. Ὅστις δὲ τολμήσει ἀμαθὴς ὤντας, ἢ αὐτὸς διὰ λόγου του, ἢ διὰ τὸ ἀμαθές του παιδίον νὰ ζητήσῃ τὴν Ἱερωσύνην, καὶ νὰ προβάλλῃ εἰς ἡμᾶς καὶ νὰ μᾶς βιάσῃ, ἢ μὲ μεσιτείαν ἀξιωματικῶν προσώπων, ἢ μὲ κανένα ἄλλον τρόπον, καὶ θελήσει νὰ ἀνατρέψῃ καὶ νὰ χαλάσῃ τὴν συνοδικὴν ἡμῶν ἀπόφασιν ταύτην ἀφωρισμένος εἴη (αἱ συνήθεις ἀραί).

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 123—125. Καθ᾽ ὃν ἐν τῷ κώδηκι κεῖται εἱρμόν, φαίνεται ἐκδεδομένον τὸ γράμμα ἐπὶ τοῦ πατριάρχου Ἱερεμίου Γ′ τοῦ ἀπὸ Καισαρείας.

ΞΓ′.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Μοναστηριακῶν ἡ περιουσία ἀνήκει εἰς τὰ μοναστήρια, καὶ δὲν τοὺς κληρονομοῦσιν οἱ συγγενεῖς των.

Οἱ θεῖοι καὶ ἱεροὶ κανόνες τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, ὅσους οἱ πνευματέμφοροι πατέρες ὑπὸ τοῦ θείου ἐνηχούμενοι Πνεύματος κανονικῶς διετάξαντο καὶ ἐθέσπισαν καὶ μάλιστα διὰ ὑποθέσεις ἐκκλησιαστικὰς καὶ κυβερνήσεις ἱερῶν σκηνωμάτων καὶ σεπτῶν μοναστηρίων, ἐν οἷς ἀκαταπαύστως ὑμνεῖται καὶ δοξάζεται ὁ Θεός, ἀναγκαίως ὑπὸ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν πρέπει νὰ φυλλάττωνται ἀπαρασάλευτοι καὶ ἀμετακίνητοι εἰς αἰῶνα τὸν ἅπαντα· διὰ τοῦτο καὶ ὅσοι φυλάττουσιν ἀκριβῶς τὰ κανονικὰ παραγγέλματα, καὶ μένουσιν ἔσω τῶν ὅρων τῆς εὐσεβείας, ἐκεῖνοι

ἔχουσιν ἔπαινον καὶ μισθὸν παρὰ Θεοῦ, καὶ ὅστις ἤθελε τολμήσει νὰ ἀθετήσῃ καὶ νὰ ἀνατρέψῃ τι τούτων, ὁ τοιοῦτος ὡς ἀντίθεος καὶ ἀντίχριστος ὑποπίπτει τῇ ἐκκλησιαστικῇ παιδείᾳ, καὶ ταῖς ἀραῖς τῶν πατέρων ὑπεύθυνος γίνεται. Ἐπειδὴ λοιπὸν καὶ τανῦν ὡς ἔγνωμεν, καὶ ἐπληροφορήθημεν ἀπὸ ἀναφορᾶς τῶν ἐν διαφόροις μοναστηρίοις καὶ σεπτοῖς οἴκοις πατέρων καὶ μοναχῶν, μία νεοφανὴς ἀδικία καὶ παρανομία ἀνήκουστος ἄρχισε νὰ ἐνεργῆται ἀναιδῶς ὑπό τινων χριστιανῶν μὲν κατὰ τὸ ὄνομα, τὰ δὲ ἔργα των πάσης δυσεβείας πλήρη, ἐπειδὴ καὶ ἂν ἤθελε συνέβη νὰ ἀποθάνῃ κανένας μοναστηριακὸς καλόγηρος καὶ μοναχὸς, ὁποῦ ἐπροσηλώθη καὶ ἔβανε τὴν μετάνοιάν του εἰς κανένα ἱερὸν μοναστήριον μετὰ τὸν θάνατόν του συκώνονται οἱ συγγενεῖς του καὶ ζητοῦσι κληρονομίαν ἀπὸ τὴν περιουσίαν τοῦ ἀποθανόντος καλογήρου, καὶ κατατρέχουσιν ἐξωτερικῶς τὰ ἱερὰ μοναστήρια καὶ τοὺς ἐνασκουμένους ἐν αὐτοῖς πατέρας, καὶ προξενοῦσιν εἰς αὐτοὺς ζημίαν καὶ βλάβην καὶ ἐνόχλησιν οὐ μετρίαν, τὸ ὁποῖον τόλμημα καὶ ἐπιχείρημά τους, ὅτι εἶναι παρανομώτατον καὶ ἀσεβέστατον φαίνεται σαφέστατα ἀπὸ τοὺς ἱεροὺς κανόνας τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, καὶ μάλιστα ἀπὸ τὸν ἕκτον κανόνα τῆς ἐν Κωνσταντινουπόλει ἁγίας συνόδου, ὁ ὁποῖος λέγει ῥητῶς, ὅτι οἱ μοναχοὶ οὐδὲν ἴδιον ὀφείλουσιν ἔχειν, πάντα δὲ τὰ αὐτῶν προσκληροῦνται τῷ μοναστηρίῳ· ὁποῦ θὲ νὰ εἰπῇ, οἱ καλόγηροι δὲν ἔχουσιν κανένα ἰδικόν τους πρᾶγμα, διότι αὐτοὶ λογίζονται ἀποθαμένοι εἰς τὴν παροῦσαν ζωὴν, καὶ καθὼς οἱ νεκροὶ δὲν ἔχουσί τι ἴδιον, ἔτζη καὶ οἱ μοναχοὶ, εἴ τι δὲ καὶ ἂν εἶχον, ἢ καὶ ἀπόκτησαν μετὰ τὸ μονάσαι, ἐκεῖνα πάντα τῷ μοναστηρίῳ ἐγγίζουσι καὶ ὄχι εἰς τοὺς συγγενεῖς τους, διὰ τοῦτο καὶ παρακάτω λέγει ὁ κανὼν, ὅτι μετὰ τὸ μονᾶσαι τῶν προσόντων αὐτοῖς ἁπάντων τὸ μοναστήριον ἔχει τὴν κυριότητα, καὶ οὐδὲν περὶ τῶν οἰκείων φροντίζειν ἢ διατάσσεσθαι τούτοις παρακεχώρηται· ἤγουν ἀφόντας μονάσουν οἱ καλόγεροι εἰς ἓν μοναστήριον καὶ βάλουν τὴν μετάνοιάν τους, δὲν ἐξουσιάζουσι πλέον τὰ ὑπάρχοντά τους, ἀλλ' οὐδὲ εἰς τὸν θάνατόν τους ἔχουσιν ἄδειαν νὰ κάμουν διαθήκην, καὶ

νὰ τὰ διαμοιράζουν, ἢ εἰς συγγενεῖς, ἢ εἰς ἄλλον τινά. Ἐπειδὴ καὶ ἐκεῖνα πλέον γίνονται ἴδια τοῦ μοναστηρίου, καὶ ὄχι ἐδικά τους. Τοιαύτης λοιπὸν οὔσης τῆς ἀποφάσεως τῶν θείων κανόνων, ὡς εἴπομεν, καὶ φυλαττομένης ἄνωθεν καὶ ἐξ ἀρχῆς μέχρι τοῦδε ἀμετακινήτου τὸ σύνολον, καὶ τῇ μακρᾷ συνηθείᾳ βεβαιωθείσης, δὲν ἠξεύρομεν τίνι τρόπῳ ἐπιχειροῦσι τώρα τινὲς χριστιανοὶ νὰ ζητοῦσι κληρονομίαν ἀπὸ τοὺς θνήσκοντας μοναστηριακοὺς καλογήρους ἐπὶ προφάσει συγγενείας, καὶ νὰ ἀντιφέρωνται τοῖς θείοις κανόσι καὶ τῇ μακρᾷ καὶ ἀνέκαθεν συνηθείᾳ, καὶ τολμῶσιν ἕνα παρανομώτατον ἐπιχείρημα, ὁποῦ ἐξ αἰῶνος δὲν ἠκούσθη ποτέ, χωρὶς νὰ ἔχωσι κανένα δίκαιον, ἐπειδὴ καὶ ἐκεῖνα ὁποῦ ἀποκτῶσιν οἱ μοναστηριακοὶ καλόγηροι εἶναι ἐλεημοσύναι τῶν χριστιανῶν καὶ ἀφιερώματα, τὰ ὁποῖα ἐπ' ὀνόματι τοῦ μοναστηρίου συνάγουσι καὶ τοῦ μοναστηρίου λογίζονται ἴδια. Ποῖος λοιπὸν νοῦν ἔχων, καὶ φόβον Θεοῦ χριστιανός, τολμᾷ νὰ ζητᾷ, καὶ νὰ ἁρπάζῃ τὰ ἀφιερώματα τῶν ἱερῶν οἴκων καὶ νὰ γίνηται ἱερόσυλος, καὶ κλέπτης, καὶ ἅρπαξ ἱερῶν καὶ ἀφιερωμάτων. Ὅθεν εἰς ἀναίρεσιν τῶν τοιούτων ἀτοπημάτων συνδιασκεψάμενοι κοινῶς, γνώμῃ τε καὶ εἰδήσει τοῦ μακαριωτάτου καὶ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, γράφοντες, ἀποφαινόμεθα, ἵνα τὸ ἀπὸ τοῦδε ὅστις, χριστιανὸς ὤν, ἤθελε τολμήσει νὰ ζητᾷ ἀπὸ περιουσίαν μοναστηριακοῦ καλογήρου, βαλόντος τὴν μετάνοιαν αὐτοῦ εἰς κανένα ἱερὸν καὶ σεβάσμιον μοναστήριον, εἴτε τοῦ παναγίου καὶ ζωοδόχου Τάφου, εἴτε τοῦ Ἁγίου Ὄρους, ἢ καὶ πάντων τῶν ἁπανταχοῦ εὑρισκομένων καὶ μετὰ θάνατον ἐκείνου, ὡς συγγενὴς δῆθεν καὶ κληρονόμος, καὶ ἐπιχειριζόμενος τρόποις ἀλλοτρίοις ἤθελε κατατρέξει κανένα ἱερὸν μοναστήριον καὶ τοὺς ἐν αὐτοῖς προϊσταμένους καὶ ἐνασκουμένους πατέρας, καὶ ζημίαν τινὰ καὶ βλάβην προξενήσῃ εἰς αὐτὰ οἱῳδήτινι τρόπῳ καὶ ἐνόχλησιν οἱανοῦν, καὶ ὅσοι δὲ συνεργοῦσι καὶ συμβοηθοῦσι τοῖς τοιούτοις καὶ τοὺς διεγείρουσι σατανικῶς εἰς τὸ νὰ ἐπιχειρίζωνται τοιαῦτα, ὡς ἀγγεῖα καὶ ὄργανα τοῦ σατανᾶ, ὁ τοιοῦτος ὡς ἀπεναντίας τοῖς ἱεροῖς κανόσι καὶ νόμοις φερόμενος, καὶ ὡς ἱερόσυλος καὶ κλέπτης καὶ ἅρπαξ τῶν θείων

ἀφιερωμάτων, ὁποίας ἂν εἴη τάξεως καὶ ὁποίου βαθμοῦ, ἀφωρισμένος εἴη (ἕπονται αἱ συνήθεις ἀραί).

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 137—139.

ΞΔ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Κοινοβιακὴ μοναστηρίου τάξις ὁποία ὀφείλει εἶναι, καὶ οἱ ἀθετοῦντες τοὺς ὅρους καὶ τύπους αὐτῆς κολάζονται.

Οἱ ἐν ἁγίῳ Πνεύματι τὰ πάντα καλῶς διαταξάμενοι θεηγόροι πατέρες πρὸς τοῖς ἄλλοις καὶ περὶ τῆς προσφόρου διεξαγωγῆς τῶν ἁπανταχοῦ ἱερῶν μοναστηρίων διακαεῖ τῇ μερίμνῃ διαλαβόντες κατὰ λόγον ἀπεφήναντο οὕτω, τοὺς ὡς ἀληθῶς μὲν τῷ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ ἀποταξαμένους, ἑλομένους δὲ ἐν ἱεροῖς σκηνώμασι τὸν μονήρη τοῦ λοιποῦ μετέρχεσθαι βίον, κατὰ μὲν τὸν ἀσκητικὸν ἀγῶνα, καὶ τὰ τῆς ἀρετῆς ἔργα καὶ σκάμματα, ἰδιάζοντα ἔχειν ἕκαστον τὸν ἐπίπονον σκοπὸν καὶ ζῆλον· οὐ γὰρ πάντες ἄνθρωποί εἰσιν οἱ αὐτοὶ κατὰ τὸν ἐνδιάθετον τρόπον· διὸ καὶ ὡς ἔχουσι δυνάμεως καὶ ἐφέσεως ἐναγωνιζόμενοι, ἕπεται κατὰ τοῦτο διάφοροι εἶναι καὶ ἀκοινωνησίαν ἔχειν, ἅτε ἐν κρυπτῷ καὶ κατ' ἰδίαν τὸ τῆς μοναδικῆς πολιτείας ἀνύοντες στάδιον· κατὰ δὲ τὰς σωματικὰς χρείας οὐχ οὕτως, ἀλλ' ὡς ἀκτημοσύνῃ ἐπαγγειλάμενοι κοινοβιακῶς συζῆν πάντας καὶ συνδιάγειν, καὶ ἀπὸ τοῦ κοινοῦ λαμβάνειν τὰς πρὸς ζωάρκειαν αὐτῶν τροφὰς καὶ πόσεις, καὶ τὰ αὐτῶν ἐνδύματα, παντόρως οὕτω τοῖς ἱεροῖς ἐκείνοις δόξαν πατράσιν, ἵνα μὴ περὶ τὰς σωματικὰς χρείας ἐνασχολούμενοι οἱ μονάζοντες τοῦ κρείττονος ἀμελῶσι, καὶ τῶν

κατ' ἀρετὴν ἔργων (δι' ὧν Θεῷ ἐξομοιοῦται κατὰ τὸ δυνατὸν ἄνθρωπος) ἀπολειφθῶσι κατόπιν, προσθέμενοι καὶ τὰ λοιπὰ ὅσα ἀπαραιτήτως φυλάττειν ὀφείλουσιν, εἴγε νομίμως καὶ κανονικῶς εὐαρεστῆσαι ἐφίενται. Τούτων οὖν οὕτως ἐχόντων, οὐκ οἴδαμεν, ὡς ἔγνωμεν καὶ ἐβεβαιώθημεν, πῶς οὕτως εὐκόλως τινὲς πατέρες ἀπὸ τῶν αὐτόθι κοινοβιακῶν μοναστηρίων, εἴτε ἱερωμένοι, εἴτε μοναχοί, ὑπὸ φιλοκτημοσύνης ὑποσκελισθέντες ἀθλίως, τήν τε ἐπαγγελίαν τῆς ἀκτημοσύνης καὶ ὅρους κανονικοὺς τῶν πατέρων καταπατήσαντες, συνέχεον τὴν μοναστηριακὴν εὐταξίαν τὴν πάλαι καὶ ἐξ ἀρχῆς ἐπικρατήσασαν, ἅπαντας κοινοβιακῶς συζῆν, καὶ μηδέν τι ἴδιον νομίζειν καὶ ἔχειν· καὶ γὰρ ἔνιοι τούτων λαμβάνοντες ἀπὸ τοῦ κοινοβίου τὰ πρὸς σωματικὴν αὐτάρκειαν αὐτῶν, τροφὰς δηλονότι καὶ τὰ λοιπὰ ἀναγκαῖα, ἰδιοποιοῦνται καὶ τὰ τῶν μοναστηρίων πράγματα, ὁ μὲν πρόβατα, ὁ δὲ κατζίκια, ἄλλος ἄλογα καὶ μουλάρια, καὶ ἄλλος ἄλλα τοιαῦτα, ὧν τοὺς πορισμοὺς καρπούμενοι καὶ οἰκειοποιοῦντες διαλύουσι τὸ κοινόβιον, καὶ μερίζουσι τὰ ἀμέριστα, καὶ οἱονεὶ ἀναιροῦντες τὴν μοναδικήν, τὴν κοσμικὴν αὖθις (φεῦ τῆς τόλμης) μετέρχονται πολιτείαν· ἕτεροι δὲ πάλιν τὴν ὀφειλομένην ὑποταγὴν καὶ εὐπείθειαν, ἣν ἐπηγγείλαντο, παραβλέποντες, ἄνευ προτροπῆς τοῦ ἡγουμένου καὶ τῶν γερόντων τῆς ἑαυτῶν συνάξεως, ἐξέρχονται τῶν μοναστηρίων αὐτεξουσίως, καὶ περιερχόμενοι εἰς χωρία καὶ πόλεις καὶ ἀλλαχοῦ κοιμῶνται ἀτάκτως εἰς κοσμικῶν ὀσπίτια καὶ ἀσυμφόρως, τὸ δὲ χεῖρον, ὅτι καὶ λειποτακτοῦντες ἀναχωροῦσιν ἀπὸ τῶν ἐν οἷς μοναστηρίων ἔθεντο ἐξ ἀρχῆς τὴν μετάνοιαν αὐτῶν, προσδεχόμενοι ὑπὸ τῶν μὴ συνιέντων τὴν ἐπίτασιν τοῦ ἀτοπήματος. Τούτου χάριν, εἰς ἀναίρεσιν τῶν τοιούτων πάντων παραλόγων καὶ ἐκθέσμων ἀταξιῶν, γράφομεν ἀποφαινόμενοι συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων (κλπ.) ἵνα οἱ τοὺς τοιούτους σφετερισμοὺς ποιοῦντες πατέρες ἀπὸ τῶν μοναστηριακῶν πραγμάτων ἀποχὴν τελείαν προκρίναντες ἀποστῶσι τῆς ἱεροσυλίας, καὶ μηκέτι τολμήσωσι διαλύειν οὕτω τὴν κοινοβιακὴν τῶν μοναστηρίων

δίαιταν ἰδιοποιούμενοι τὰ τῷ κοινῷ ἀνήκοντα, οὔτε μὴν ἐξέρχεσθαι τῶν μοναστηρίων ἄνευ εἰδήσεως τοῦ ἡγουμένου, ἢ ἀναχωροῦντες ἀθεμίτως εἰς ἄλλα μεταβαίνειν μοναστήρια καὶ ἐκτελεῖν τὰ τοῖς κανόσιν ὅλως ἀπηγορευμένα· ἂν δὲ φωραθῶσι καὶ αὖθις οὕτω κακουργοῦντες, ἱερωμένοι μὲν ὄντες ἀργοὶ μενέτωσαν πάσης ἱερατικῆς ἐνεργείας καὶ τάξεως, παρ' οὐδενὸς συμφορούμενοι ἢ συλλειτουργούμενοι ἢ ἐκκλησιαστικὸν εἰσόδημα παρεχόμενο[ν λαμβάνοντες], ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ· καταφρονοῦντες δὲ τῆς ἀργίας καὶ ἀφωρισμένοι ἀπὸ Θεοῦ, ὡς ἄξιοι τελείας καθαιρέσεως· μοναχοὶ δὲ ὄντες μετὰ τῶν ἀποδεχομένων αὐτοὺς ἀνοσίως ἀφωρισμένοι εἴησαν καὶ . . . . [ὡς σύνηθες]. Οὕτω γενέσθω ἐξ ἀποφάσεως.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 304—305. Ἄγνωστον δὲ πρὸς τίνας ἰδίως ἐπαρχίας ἀπελύθη ἡ κανονικὴ αὕτη ἐγκύκλιος.

ΞΕ'.

ΑΘΑΝΑΣΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Εἰς κατάλυσιν νηστείας τετράδος καὶ παρασκευῆς λόγῳ συγκαταβάσεως δοθεῖσα ἄδεια φιλασθενῷ τινὶ καὶ ὁδοιπορεῖν ἀναγκαζομένῳ.

Τὴν ἀσθένειαν τῆς ἀνθρωπίνης φύσεως ὁ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος εἰς τὸ εἶναι παραγαγὼν ταύτην Θεὸς καλῶς ἐπιστάμενος οὐ διέλιπε πώποτε ὡς φιλάνθρωπος ἐπιρρωννύων αὐτὴν καὶ ὑποστηριζόμενος· μέλλει γὰρ αὐτῷ τῆς σωτηρίας καὶ διαμονῆς τοῦ ἰδίου πλάσματος, ὃ καὶ πεσὸν διὰ τῆς παραβάσεως κατοικτείρας διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ ἀνεκαλέσατο, καὶ τῆς ἀρχαίας μακαριότητος ἠξίωσεν, οὐ μὴν ἀλλὰ καὶ λόγοις φιλανθρωπίας ἀρ-

ρήτοις συγκαταβαίνων ἑκάστοτε πολυειδῶς ἐξιᾶται τῶν ἀνθρώπων τὰ ἀσθενήματα, οἶδε γὰρ τὰ ἀσθενῆ θεραπεύειν, καὶ ἀναπληροῦν τὰ ἐλλείποντα, ἀφαιρέσει καὶ προσθέσει τὴν οἰκονομίαν πρυτανευόμενος, καὶ κατὰ τὸ μέτρον τῆς δυνάμεως ἑκάστου τὸ βάρος ἐπιτιθέμενος· καὶ γὰρ «ὁ ζυγός μου, φησὶ, χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν»· ὅθεν καὶ ἡμῖν, θείῳ ἐλέει τὸν οἰκουμενικὸν θρόνον κληρωσαμένοις, καὶ τὴν ἐπίσκεψιν τῶν ἁπανταχοῦ χριστιανῶν ἀνειληφόσιν ἀπαραιτήτως ὀφείλεται τῇ τοιαύτῃ τῆς συγκαταβάσεως οἰκονομίᾳ χρῆσθαι πρὸς διεξαγωγὴν σύμφορον τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας. Ἐπειδὴ τοιγαροῦν ὁ [δεῖνα] υἱὸς κατὰ πνεῦμα ἀγαπητὸς καὶ περιπόθητος τῆς ἡμῶν μετριότητος, προσελθὼν τῷ ἐλέει τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ τῆς ἰδίας φύσεως τὴν ἀσθένειαν ἐν συντετριμμένῃ ψυχῇ ἐξομολογησάμενος εὐάλωτον εἶναι ἔλεγε διαφόροις πάθεσι καὶ ἀρρωστήμασι σαρκὸς, εὐπαθῆ τε καὶ νοσώδη, καὶ δύσκρατον, προσθεὶς καὶ τὴν ἐπικειμένην ἀνάγκην αὐτῷ πρὸς διαφόρους καὶ ὑπερορίους ἀποδημίας στέλλεσθαι, καὶ περιέρχεσθαι ἐν ἀβάτοις καὶ ἐρήμοις τόποις, καθ' οὓς ἀναγκαίως συμβαίνει καὶ βρωμάτων, δι' ὧν τὸ σῶμα τρέφεται, σπάνις καὶ ἔλλειψις, μὴ δύνασθαί τε ἀντέχειν τὸ φύσει εὐπαθὲς σῶμα δυσὶ πολεμίοις ἅμα ἰσχυροῖς καὶ ἀμάχοις, τῇ τε ταλαιπωρίᾳ δηλονότι καὶ τῷ καμάτῳ τῆς ὁδοῦ, καὶ τῇ τῆς τροφῆς κακοσιτίᾳ, ἐπεὶ οὐδὲ Ἡρακλῆς πρὸς δύο, κατὰ τὴν παροιμίαν, ἠξίωσέ τε μετὰ δεήσεως θερμῆς διὰ τῆς ἐκκλησιαστικῆς προμηθείας δοθῆναι αὐτῷ ἄδειαν ἐν ταῖς τοιαύταις περιστάσεσι τοῦ καταλύειν τὰς νηστευσίμους τῶν ἡμερῶν, τετράδα, φημὶ, καὶ παρασκευὴν, οὐ πρὸς νόμου ἀναίρεσιν, ἀλλὰ πρὸς ἀναγκαίαν σύστασιν καὶ περίθαλψιν τοῦ σώματος αὐτοῦ. Τούτου χάριν ἡ μετριότης ἡμῶν, **λόγοις συγκαταβάσεως χρησαμένη**, ἅτε καλῶς εἰδυῖα τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, κἂν τοῖς τοιούτοις καιροῖς καὶ περιστ[άσε]σιν οἰκονομίαν τινὰ δεῖν γενέσθαι ἀναγκαῖον ἡγησαμένη (ὅπου γε καὶ οἱ θεῖοι καὶ ἱεροὶ νόμοι τοῦτ' αὐτὸ σαφῶς διορίζονται ἀσθενῆ καὶ ὁδοιπόρον μὴ ὑποκεῖσθαι τῷ τῆς νηστείας νόμῳ ἀποφαινό-

μενοι) δέδωκεν ἄδειαν καὶ συνεχώρησε τῷ διαληφθέντι καταλύειν τὰς ῥηθείσας τῶν ἡμερῶν, τετράδα, φημὶ, καὶ παρασκευὴν, **μὴ νομοθετοῦσα τὸ τοιοῦτο καθόλου· μὴ γένοιτο·** ἀλλὰ πρὸς τὰς συμβαινούσας ἀναγκαίως περιστάσεις ἀποβλέπουσα, καὶ φιλανθρώπως τῷ ἐλέει τῆς Ἐκκλησίας τὴν τοιαύτην οἰκονομίαν ποιοῦσα καὶ ἔχουσα αὐτὸν συγκεχωρημένον διὰ τῆς θείας χάριτος, δωρεᾶς τε καὶ ἐξουσίας τοῦ παναγίου Πνεύματος, καὶ λελυμένον παντὸς δεσμοῦ καὶ ἐλεύθερον.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 394—395.

ΞϚʹ.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Ἱερέως εἰς χειροτονίαν ἄδεια ὑπάνδρου τινὸς, οὗ ἡ μνηστὴ ἔφθασε βίᾳ καὶ παρανόμως στεφανωθῆναι μεθ' ἑτέρου.

Τῶν ἱερῶν καὶ σεπτῶν μυστηρίων τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας πνευματικὴν μὲν καὶ θείαν ἐχόντων τὴν θεωρίαν, τὴν δὲ ἐνέργειαν αἰσθήσει ὑποπίπτουσαν αἰτίων τε τύποις ἀκριβῶς διειλημμένην, καὶ συνδρομῇ πολλῶν περιστάσεων ἀπαρτιζομένην, εὔδηλον δήπουθεν ὅτι συνδρομῇ ἀναγκαίων αἰτίων καὶ περιστάσεων ἀπαρτίζεται, ὧν ὁψέποτε εὑρεθῇ ἔρημα, τότε οὐκέτι μυστήρια οὔτε εἰσὶν, οὔτε λέγονται, ἀλλὰ παιδιά τις ἄλλως μηδεμίαν ὕπαρξιν ἔχοντα. Ἐπειδὴ τοιγαροῦν καὶ τανῦν ἀνηνέχθη ἡμῖν ὑπὸ τῆς σῆς ἱερότητος συνοδικῶς προκαθημένοις, ὡς ὁ ἀναγνώστης Νικολὸς τῆς Παγώνας, ἀρραβωνισθεὶς μετὰ τῆς Ἀνεζοῦς*, Νικολὸς

* προδήλως ἔφθαρται τὸ χωρίον, εἰ καὶ ἐν τισι τότε ἐγγράφοις, ὅπου οὐχ ἦν γράφων ὁ πολὺς Κριτίας, ἀπόλυτοι ὀνομαστικαὶ καὶ σόλοικα σχήματα ἐπλεόναζον.

κἀκεῖνος λεγόμενος, συμποσιάζων ποτὲ κατὰ τύχην καὶ συνευωχούμενος ἐν τῷ οἴκῳ ἑαυτοῦ μετά τινος ἄλλου Νικολοῦ κἀκείνου ὀνομαζομένου Καζαντζῆ, ἐπιδιδούσης αὐτοῖς τῆς μέθης, λόγοι ἐνεβλήθησαν αὐτοῖς εἰς ἐπιγαμίαν. Τοῦ οὖν Καζαντζῆ ὑποσχεθέντος ἄπροικον ἀγαγεῖν τὴν θυγατέρα αὐτοῦ Ἀνεζοῦ εἰς γάμον, εἰ ἐκδοῦναι ταύτην αὐτῷ βουληθείη, ἐκεῖνος ὑπὸ τῆς μέθης καὶ τῆς τοῦ οἴνου φλογώσεως ἐκλαθόμενος ὥσπερ προμεμνηστεῦθαι αὐτῷ τὴν κόρην, ἢ καὶ ἄλλως ἰλιγγιάσας τῷ κάρῳ καὶ μανίαν νοσήσας φρενῶν, ὁποῖα πολλὰ συμβαίνει παρὰ τὸν πότον, ἐπαναστὰς αἴφνης μιᾶς νυκτὸς βιαίως κατὰ τῆς θυγατρὸς, συμπαρευρεθέντος ἐκεῖσε καὶ ἱερέως, βιάζεται ταύτην στεφανωθῆναι μετὰ τοῦ Καζαντζῆ, τῆς δὲ κόρης ἀποποιουμένης τὸν γάμον καὶ μηδόλως συνεπινευούσης, ἀλλὰ τὸν πρῶτον αὐτῆς μνηστῆρα ἐπιζητούσης, ὁ πατὴρ ἐκμαίνεται κατ' αὐτῆς θηριωδῶς, καὶ μάχαιραν ἐπανατεινάμενος, πλήξας καὶ τραυματίσας αὐτὴν βίᾳ κατέχει, μὴ δυναμένην διεκφυγεῖν διὰ τὸν ἐπικείμενον κίνδυνον, καὶ οὕτως οἱονεὶ ἐστεφάνωσεν αὐτὴν διὰ τοῦ ἱερέως· ἀλλὰ τῆς κόρης εὐθὺς μετὰ τὸ δρᾶμα ἀναρπασθείσης ὑπὸ τῶν συγγενῶν καὶ ἀπενεχθείσης ἀλλαχόθι, ὁ μὲν Καζαντζῆς μετ' ὀλίγας ἡμέρας φυγὰς ᾤχετο φοβηθεὶς τὸ βίαιον τόλμημα, ὁ δὲ πατὴρ μεταμεληθεὶς ἐφ' οἷς ἐκακούργησε μεθύων, αὖθις ἐκδίδωσι τὴν παῖδα τῷ πρώτῳ μνηστῆρι καὶ νομίμῳ ἀνδρὶ Νικολῷ τῆς Παγώνας· οὗτινος, συνοικοῦντος ἤδη μετ' αὐτῆς νομίμως, καὶ βουλομένου τὸ θεῖον τῆς ἱερωσύνης ἐπάγγελμα ἀναδέξασθαι, ἡ ἀρχιερωσύνη σου ἐν εἴδει ἐρωτήσεως βούλεται μαθεῖν παρ' ἡμῶν μή ποτε κωλύεται ὁπωσοῦν εἰς ἱερωσύνην διὰ τὸ προσυμβὰν δραματούργημα τῇ γυναικὶ αὐτοῦ Ἀνεζοῦ, καὶ τὴν ὁπώς ποτε γενομένην αὐτῆς μετὰ τοῦ Καζαντζῆ στεφάνωσιν. Καὶ δὴ, τῆς ὑποθέσεως ταύτης συνοδικῶς προβληθείσης τε καὶ ἐξετασθείσης, γράφοντες μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι (κλπ. ὡς συνήθως) ἀποφαινόμεθα καὶ ἀποκρινόμεθα λέγοντες ὅτι μηδαμῶς τὸ τοιοῦτο κωλύειν δύναται τῆς ἱερωσύνης τὸν ῥηθέντα ἀναγνώστην

Νικολῆν· ἡ γὰρ βίαιος ἐκείνη καὶ ἀστεφάνωτος στεφάνωσις τῆς Ἀνεζοῦς μετὰ τοῦ Καζαντζῆ, οὔτε γάμος ὑπάρχει, οὔτε ὅλως μυστήριον τῆς Ἐκκλησίας, μὴ τῇ συνδρομῇ τῶν ἰδίων καὶ συμπληρωτικῶν αὐτοῦ αἰτίων καὶ περιστάσεων ἀπαρτισθεὶς, τοῦ ὑλικοῦ, φημὶ, ὅπέρ ἐστιν ἡ συγκατάνευσις τῶν συναπτομένων, καὶ εἰδικοῦ, ὅπέρ ἐστιν ἡ ἐκφώνησις τῶν τῆς συναινέσεως σημαντικῶν ῥημάτων, τὸ θέλεις με, θέλω σε, ἀλλὰ παιδιά τις καὶ σκηνὴ ἀπρεπὴς δορυφορουμένη κωμικοῖς βωμολόχοις, καὶ μεθύουσι, καὶ Βάκχοις χορηγουμένη· διὸ ὡς μηδὲ ὅλως γενομένη καὶ εἰς τὸ εἶναι χωρήσασα λογίζεται· μόνος δὲ καὶ πρῶτος καὶ κυρίως γάμος ἐστὶ τῆς Ἀνεζοῦς μετὰ τοῦ Νικολῆ τῆς Παγώνας, ὅστις καὶ μηδεμίαν ἐντεῦθεν κώλυσιν ἔχει πρὸς ἱερωσύνην, ἀλλ' ἀνεπίληπτός ἐστι διὰ τοῦτο καὶ ἀκαταιτίατος.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 359—360.

ΞΖ'.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Παραίνεσις εἰς τοὺς χριστιανοὺς τῆς ἐπαρχίας Προύσης νὰ πολιτεύωνται χριστιανικῶς καὶ ἐκκλησιαστικῶς εἰς ὑποθέσεις κληρονομιῶν, διαθηκῶν, συνοικεσίων καὶ ἄλλων παρομοίων, καὶ νὰ μὴν πηγαίνουσιν ἐξωτερικῶς.

Ἐντιμότατοι κληρικοὶ τῆς ἁγιωτάτης μητροπόλεως Προύσης, Μουντανίων, Ἐλεγμῶν, καὶ Τριγλίας· καὶ εὐλαβέστατοι ἱερεῖς, μετὰ πάντων τῶν ὑποκειμένων αὐτῇ χωρίων· χρήσιμοι ἄρχοντες καὶ γέροντες· καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοὶ, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν ἅπασι καὶ εἰρήνη ἀπὸ Θεοῦ καὶ παρ' ἡμῶν εὐχὴ, εὐλογία καὶ συγχώρησις. Ὅσοι

εἶναι πιστοὶ καὶ ἀληθινοὶ χριστιανοί, ἐκεῖνοι δείχνουσιν ὑπακοὴν καὶ εὐπείθειαν εἰς τὰς παραγγελίας τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ πολιτεύονται κατὰ τοὺς ἐκκλησιαστικοὺς καὶ χριστιανικοὺς νόμους, φυλάττοντες καὶ τὴν πρέπουσαν εὐλάβειαν καὶ ὑποταγὴν πρὸς τοὺς πνευματικοὺς προστάτας καὶ ποιμένας καὶ ἀρχιερεῖς αὐτῶν, οἱ ὁποῖοι καὶ ἀπολαμβάνουσι πλουσίους τοὺς καρποὺς τῆς χριστιανικῆς αὐτῶν πολιτείας καὶ εὐσεβοῦς γνώμης, ἤγουν τὰ ὅσα ἀγαθὰ πλουτεῖ ἡ αἰώνιος ζωὴ τῶν ἀγαθῶν ἡμερῶν, ὡσὰν ὁποῦ τοὺς τοιούτους εὐσεβεῖς χριστιανοὺς καὶ ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία πνευματικῶς τοὺς περιθάλπει καὶ μὲ τὰ πνευματικὰ χαρίσματα τοὺς δίδωσι τὴν ἀντιμισθίαν, καὶ δαψιλῶς διανέμει εἰς αὐτοὺς εὐλογίαν, καὶ ἁγιασμόν, καὶ ἀκαταπαύστως ἐν νυκτὶ καὶ ἡμέρᾳ δέεται τοῦ Θεοῦ ὑπὲρ ὑγείας, καὶ ψυχικῆς αὐτῶν σωτηρίας· ὅσοι δὲ ἐξ ἐναντίας χριστιανοὶ μὲν ὀνομάζονται καὶ λέγονται, τοὺς δὲ χριστιανικοὺς νόμους δὲν φυλάττουσιν, ἀλλὰ ἀτάκτως καὶ ἔξω τοῦ χριστιανικοῦ ἐπαγγέλματος πολιτεύονται καὶ καταφρονοῦσι τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ παραβαίνουσι τοὺς ὅρους καὶ κανόνας αὐτῆς, καὶ δὲν ἔχουσι καμίαν εὐλάβειαν καὶ εὐπείθειαν πρὸς τοὺς πνευματικοὺς αὐτῶν ποιμένας καὶ ἀρχιερεῖς, οἱ ὁποῖοι τόπον Θεοῦ ἐπέχουσιν ἐπὶ γῆς, οἱ τοιοῦτοι ἀνευλαβεῖς καὶ ἀχρίστιανοι ἄνθρωποι μακρὰν ἀπέχουσι τῆς χριστιανωσύνης, μάλιστα δὲ τὴν ἀγανάκτησιν καὶ ὀργὴν τοῦ Θεοῦ διεγείρουσι κατὰ πάνωτους, καὶ μηδεμίαν προκοπὴν βλέπουσιν εἰς τὴν ζωὴν αὐτῶν, ἀλλὰ καὶ ἀδιόρθωτοι μένοντες ἕως τέλους, καὶ μὴ μετανοοῦντες ἀπὸ τὴν κακίαν τους ἀφανίζονται ἀπὸ προσώπου τῆς γῆς· «οἱ γὰρ παράνομοι ἐξολοθρευθήσονται» τὸ ἱερόν φησι λόγιον, καὶ τέλος καταδικάζονται εἰς τὸ ἄσβεστον πῦρ τῆς αἰωνίου κολάσεως. Ἐπειδὴ λοιπόν, ὡς ἔγνωμεν καὶ ἐπιστώθημεν, τινὲς τῶν αὐτόθι, χριστιανοὶ μὲν τάχα ὀνομάζονται, τοὺς δὲ χριστιανικοὺς ὅρους παραβλέποντες καὶ ἐκτρεπόμενοι τῆς εὐθείας ὁδοῦ εἰς κρημνοὺς καὶ βάραθρα καταφέρονται, καὶ σκοτισθέντες ὑπὸ τοῦ διαβόλου τολμῶσι φανερὰ νὰ καταφρονοῦσι τὴν Ἐκκλησίαν καὶ τοὺς ἐκκλησια-

στικοὺς νόμους, καὶ ἀφίνοντες τὸ ἐκκλησιαστικὸν κριτήριον τρέχουσι κατὰ τρόπον ἀλλότριον, καὶ ὅταν τύχῃ εἰς αὐτοὺς καμία ὑπόθεσις κληρονομίας, ἢ συνοικεσίου, ἢ γάμου, ἢ ἄλλου τινὸς ἔργου καὶ ἀποτελέσματος χριστιανικοῦ, δὲν πηγαίνουσιν εἰς τὸν ἀρχιερέα τους, κατὰ τὴν ἀρχαίαν καὶ παλαιὰν τάξιν καὶ συνήθειαν τῆς Ἐκκλησίας, καὶ ἐκεῖ ἐκκλησιαστικῶς καὶ χριστιανικῶς νὰ κυτάζωσι, καὶ νὰ θεωρῶσι τὰς τοιαύτας αὐτῶν διαφορὰς καὶ ὑποθέσεις, καὶ νὰ κυβερνῶνται καὶ νὰ πολιτεύωνται μὲ νόμους χριστιανικοὺς καὶ τῆς Ἐκκλησίας, ἀλλὰ φέρονται ἀνευλαβῶς, καὶ τρέχουσιν εἰς ἐξωτερικὰ κριτήρια καὶ ἀνατρέπουσι διαθήκας, καὶ γυρεύουν νὰ μοιράζωνται ἀλλοτριοτρόπως, καὶ συνοικέσια παράνομα καὶ ἐμποδισμένα ἀπὸ τὴν Ἐκκλησίαν σπεύδουσι καὶ κάμνουσι, καὶ ἄλλας παρανομίας καὶ αἰσχρουργίας ἀσυνειδήτως κατατολμῶσι, καὶ ἐκκλίνουσι, καὶ εὐγαίνουσιν ἀπὸ τὴν τάξιν τῶν χριστιανῶν, καὶ πολιτεύονται ὡσὰν τὰ ἔθνη, οἱ ὁποῖοι αὐτοὶ κακότροποι, καὶ ἀνευλαβεῖς χριστιανοὶ μὲ τὸ ἰδικόν τους κακὸν παράδειγμα γίνονται κοινὸν σκάνδαλον, καὶ πρόσκομμα καὶ εἰς τοὺς ἄλλους χριστιανούς, καὶ γίνονται αἴτιοι νὰ φθείρωνται τὰ ἤθη τοῦ χριστιανικοῦ βίου καὶ ἡ κατάστασις καὶ τάξις τῆς Ἐκκλησίας, καὶ νὰ πίπτωσιν οἱ πολλοὶ εἰς ἀπώλειαν καὶ βλάβην ψυχικὴν, λοιπὸν ἡμεῖς χρέος ἔχοντες ἀπαραίτητον νὰ προνοοῦμεν καὶ νὰ φροντίζωμεν διὰ τὴν ψυχικὴν σωτηρίαν τῶν ἁπανταχοῦ ὀρθοδόξων χριστιανῶν, καὶ θέλοντες νὰ φυλάττεται ἡ χριστιανικὴ καὶ ἐκκλησιαστικὴ τάξις καὶ κυβέρνησις εἰς ὅλον τὸ ἡμέτερον γένος, ἐφροντίσαμεν ἀκολούθως καὶ διὰ τὴν διόρθωσιν τῶν τοιούτων ἀτοπημάτων καὶ παρανομημάτων, ὁποῦ καθὼς ἐμάθομεν γίνονται καὶ εἰς τὰ μέρη αὐτὰ τῆς ῥηθείσης ἐπαρχίας καὶ πολιτείας ὑμῶν. Ὅθεν γράφοντες διὰ τοῦ παρόντος συνοδικῶς, μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, τῶν ἐν ἁγίῳ Πνεύματι (κλπ. ὡς συνήθως), ἐντελλόμεθα καὶ παραγγέλλομεν πάντας ὑμᾶς τοὺς αὐτόθι χριστιανοὺς ἱερωμένους καὶ λαϊκούς, νέους καὶ γέροντας, μικροὺς καὶ μεγάλους, ἄνδρας τε καὶ γυναῖκας, πατρικῶς τε καὶ πνευμα-

τικῶς νουθετοῦμεν καὶ συμβουλεύομεν ὅπως ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς πολιτεύησθε χριστιανικῶς, καὶ νὰ φυλάττητε τοὺς ὅρους καὶ νόμους καὶ κανόνας τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας· καὶ ὅταν τύχωσιν ἀναμεταξύ σας διαφοραὶ καὶ ὑποθέσεις διαθήκης, ἢ κληρονομίας, ἢ συνοικεσίων καὶ γάμων, ἢ ἄλλων τινῶν ἐκκλησιαστικῶν ὑποθέσεων κρίσεις, νὰ πηγαίνετε μετ' εὐλαβείας εἰς τὴν ἐκκλησίαν, καὶ εἰς τὸν ἀρχιερέα σας, καὶ ἐκεῖ νὰ θεωρῆτε τὰς κρίσεις καὶ διαφορὰς καὶ τὰς μοιρασίας ὁποῦ ἔχετε, κατὰ τοὺς ἐκκλησιαστικοὺς καὶ χριστιανικοὺς νόμους ὡσὰν ἀληθινοὶ καὶ εὐσεβεῖς χριστιανοί, καὶ ὄχι ἐξωτερικῶς καὶ ἀλλοτριοτρόπως, ἐὰν θέλετε νὰ ἔχετε εὐχὴν, εὐλογίαν καὶ ἁγιασμὸν, καὶ χάριν καὶ ἔλεος παρὰ τοῦ Θεοῦ καὶ τῆς Ἐκκλησίας καὶ παρ' ἡμῶν πάντων. Ὅστις δὲ τολμήσῃ ἀπ' ἐδῶ καὶ ἐμπρὸς νὰ φανῇ ἐναντίος εἰς τὴν πατριαρχικὴν καὶ συνοδικὴν ἡμῶν ταύτην παραγγελίαν καὶ νουθεσίαν, καὶ θελήσῃ νὰ καταφρονήσῃ τοὺς ἐκκλησιαστικοὺς καὶ χριστιανικοὺς ἡμῶν νόμους, ὁ τοιοῦτος ὁποῖός ποτ' ἂν ᾖ, ἀφωρισμένος εἴη παρὰ τῆς ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον, ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος, καὶ ἔξω τῆς Χριστοῦ Ἐκκλησίας, καὶ τῆς τῶν χριστιανῶν ὁμηγύρεως. Ὑμεῖς δὲ ποιήσατε ἅπαντες ὡς γράφομεν, ὑπακούοντες εὐπειθῶς τῇ ἡμετέρᾳ ταύτῃ πατριαρχικῇ καὶ συνοδικῇ νουθεσίᾳ καὶ παραγγελίᾳ, καὶ πολιτευόμενοι χριστιανικῶς καὶ ἐκκλησιαστικῶς, ὡς τέκνα γνήσια τῆς κοινῆς μητρὸς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον αὐτοῦ ἔλεος, καὶ ἡ εὐχὴ καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ πάντων ὑμῶν.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 130 – 131.

ΞΗ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Ἱερωμένοι ὅτι οὐκ ὀφείλουσιν ἀναμίγνυσθαι κοσμικαῖς καὶ πολιτικαῖς ὑποθέσεσι νουθεσία καὶ ἐπιτίμησις.

Ἐντιμότατοι κληρικοὶ τῆς ἁγιωτάτης μητροπόλεως Βερροίας καὶ Ναούσης, καὶ εὐλαβέστατοι ἱερεῖς, μετὰ πάντων τῶν ὑποκειμένων αὐτῇ χωρίων· χρήσιμοι ἄρχοντες καὶ γέροντες, καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοὶ τῆς ἐπαρχίας ταύτης, ἔτι δὲ καὶ τῆς πολιτείας Ναούσης, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Οἱ κοινοὶ πνευματικοὶ ποιμένες καὶ καθόλου προστάται καὶ κυβερνῆται τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας χρέος ἔχουσιν ἀπαραίτητον ἀγρύπνοις ὀμμάτων βολαῖς νὰ περιβλέπουσι καὶ νὰ περισκοποῦσι τὰς κύκλῳ καὶ πέριξ καὶ ἁπανταχοῦ ἐκκλησίας καὶ ἐπαρχίας καὶ συστήματα τῶν ὀρθοδόξων, ὡς ἄγρυπνοι φύλακες πάντων καὶ ὡς ἐμπεπιστευμένοι θεόθεν τὴν κοινὴν ἁπασῶν τῶν ἐκκλησιῶν μέριμναν, καὶ ὡς λόγον ἀποδώσοντες περὶ τούτων ἁπάντων τῷ φοβερῷ καὶ ἀδεκάστῳ κριτῇ ἐν τῇ ἡμέρᾳ τῆς κοινῆς ἀνταποδόσεως· καὶ τὰ μὲν καλῶς ποιμαινόμενα καὶ κυβερνώμενα ποίμνια καί, κατὰ τὸν τοῦ Θεοῦ νόμον, εὐαγγελικῶς καὶ ὁσίως καὶ συνῳδὰ τοῖς ἐκκλησιαστικοῖς ὅροις τε καὶ κανόσι διεξαγόμενα νὰ τὰ συνέχωσι καὶ νὰ τὰ στηρίζωσιν ἐν τῇ εὐθείᾳ τῆς εὐαγγελικῆς πολιτείας ὁδῷ, τὰ δὲ πλανώμενα καὶ κακηγκάκως φερόμενα εἰς κρημνοὺς καὶ βάραθρα ἀπωλείας, καὶ τῶν ἰδίων ὅρων καὶ τῆς τάξεως αὐτῶν ἐξιστάμενα νὰ τὰ ἀνακαλῶνται καὶ νὰ τὰ ἐπαναγάγωσι μὲ πατρικὰς καὶ πνευματικὰς νουθεσίας εἰς τὴν ὁδὸν τῆς σωτηρίας, καὶ εἰς τὴν πρέπουσαν τάξιν τῆς χριστιανικῆς πολιτείας, καὶ τοὺς ἀπειθεῖς φαινομένους καὶ παραβάτας τῆς πνευματικῆς ταύτης δι-

13

δασκαλίας καὶ μὴ σωφρονιζομένους νὰ τοὺς παιδεύουσιν ἀποτόμως διὰ σωφρονισμὸν καὶ παράδειγμα τῶν λοιπῶν, καὶ διὰ νὰ φυλάττεται εἰς τὸ ἑξῆς ἀπαράβατος ἡ ἐκκλησιαστικὴ καὶ χριστιανικὴ εὐταξία τε καὶ κατάστασις, καὶ μάλιστα ὑπὸ τῶν ἱερωμένων προσώπων, τῶν ὁποίων ὅσον εἶναι τὸ ἐπάγγελμα ὑψηλότερον καὶ ἡ τάξις ἀγγελικὴ καὶ θεία, τοσοῦτον πρέπει νὰ λάμπωσι περισσότερον τὰ ἔργα καὶ ὁ βίος μὲ τὴν ἐφαρμόζουσαν εὐταξίαν, καὶ ὅταν οἱ ἱερᾶσθαι λαχόντες καὶ φωτὸς λόγον ἔχοντες προσκόπτουσιν εἰς τὸ σκότος καὶ ἀτάκτως πολιτεύονται, ἀναγκαίως ἕπεται ὄχι μόνον αὐτοὶ νὰ ἁμαρτάνουσιν, ἀλλὰ καὶ εἰς ἄλλους πολλοὺς νὰ γίνωνται πρόσκομμα καὶ κακὸν ἀπωλείας παράδειγμα. Ἐπειδὴ λοιπὸν καὶ τὰ νῦν ἡ μετριότης ἡμῶν, ἐμπιστευθεῖσα παρὰ Θεοῦ τὴν κοινὴν καὶ καθόλου προστασίαν τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, καὶ ἐπιτετραμμένη τοὺς οἴακας τοῦ οἰκουμενικοῦ τούτου Θρόνου, καὶ χρέος ἔχοντες διὰ τοῦτο ἀπαραίτητον νὰ μεριμνῶμεν καὶ νὰ φροντίζωμεν ἀγρύπνως διὰ τὴν κοινὴν εὐταξίαν καὶ σωτηριώδη κατάστασιν τῶν ἁπανταχοῦ ὀρθοδόξων χριστιανῶν τῶν εὑρισκομένων ἐν ταῖς ἐπαρχίαις ταῖς ὑποκειμέναις τῷ καθ' ἡμᾶς οἰκουμενικῷ τούτῳ Θρόνῳ, καὶ νὰ διορθώνωμεν ἐπιμελῶς τὰ κοινὰ πάθη καὶ ἁμαρτήματα καὶ τὰς ἀναφαινομένας ἀταξίας ἐν ἑκάστῳ χριστιανικῷ συστήματί τε καὶ πολιτεύματι, ἐμάθομεν ἤδη βεβαίως καὶ ἠκούσαμεν παρὰ πολλῶν, ὅτι καὶ ἐν ἄλλαις μέν τισιν ἐπαρχίαις, ἔτι δὲ καὶ ἐν τῇ πολιτείᾳ ταύτῃ Ναούσης, εὑρίσκεται καὶ ἐμφιλοχωρεῖ, οὐκ οἴδαμεν ὅπως παρεισφρήσασα καὶ ἀρχὴν λαβοῦσα κακῶς καὶ ὀλεθρίως, ἀταξία τις καὶ ἀπαιδευσία ἐπὶ τοῦ ἱερατικοῦ τάγματος, καί τινες τῶν ἱερέων, ἐπιλαθόμενοι καὶ ὀλιγωρήσαντες τοῦ ἰδίου αὐτῶν ἱερατικοῦ ἐπαγγέλματος, ἀναλαμβάνουσι καὶ ἀναδέχονται σκαιῶς καὶ ἀτάκτως καὶ ἀπαιδεύτως κοσμικὰς καὶ πολιτικὰς ὑπηρεσίας, εἴτε οἴκοθεν κινούμενοι εἰς τοῦτο, εἴτε καὶ ὑπό τινων τῶν αὐτόθι ἀπαιδεύτων καὶ ἀμαθῶν λαϊκῶν χριστιανῶν ἀναγκαζόμενοι καὶ παρακινούμενοι, καὶ τολμῶσι νὰ ἀνακατώνωνται καὶ νὰ ἐμβάλλωσιν ἑαυτοὺς εἰς τὰς κοινὰς καὶ ἐξωτερικὰς ὑποθέ-

σεις καὶ χρείας τῆς αὐτόθι πολιτείας, τυχὸν εἰς τὰ ριπτόμενα συδοσίματα, ἢ καὶ εἰς ἄλλα παρόμοια τούτοις πολιτικὰ ἔργα, καὶ συναναστρέφονται καὶ μεσολαβοῦσι μὲ τοὺς κατὰ τόπον ἐξωτερικοὺς ἐξουσιαστὰς καὶ κριτὰς, καὶ γενόμενοι τὸ ἓν μετ' αὐτῶν, ἄλλους μὲν τῶν χριστιανῶν προδιδόασι καὶ κατατρέχουσιν ἀδίκως, ἄλλους δὲ συνηγοροῦσι καὶ βοηθοῦσι παρὰ τὸ δίκαιον καὶ διὰ τοῦ τοιούτου ἐγχειρήματος περιπίπτουσιν εἰς μυρίας ἀτοπίας, καὶ κατολισθαίνουσιν εἰς βάραθρα ἀπωλείας, χρώμενοι λοιδορίαις καὶ δυσφημίαις καὶ βλασφημίαις· καὶ λέγουσι καὶ πράττουσι αὐτοὶ κατὰ τῶν χριστιανῶν, καὶ οἱ χριστιανοὶ πιεζόμενοι ἀντεπάγουσι κατ' αὐτῶν, λόγοις τε καὶ ἔργοις ἀποτολμῶσιν ὅσα καὶ αὐτοὶ οἱ δαίμονες βδελύττονται, καὶ ὁποῖον εἶναι τῇ ἀληθείᾳ ἔργον παρανομώτατον καὶ διαβολικῆς ἐπινοίας ἐφεύρεμα, διὰ νὰ διασπάσῃ τὴν ἱερὰν τῆς Ἐκκλησίας τάξιν, καὶ νὰ ἀνατρέψῃ τὴν εὐταξίαν, καὶ νὰ κάμῃ τὰ ἄνω κάτω, καὶ νὰ προσάψῃ μώμους καὶ κατηγορίας τῷ ἱερατικῷ τάγματι, καὶ νὰ δώσῃ αἰτίαν πολλῶν ἀταξιῶν καὶ ἀτοπημάτων, καὶ νὰ ὑποσκελίσῃ εἰς κρῖμα μέγα καὶ κατάκριμα καὶ ἁμαρτίαν κολάσεως ἀξίαν καὶ τοὺς ποιοῦντας καὶ τοὺς ἀναγκάζοντος γίνεσθαι τὴν ἀταξιαν ταύτην, ἡ ὁποία φθείρει καὶ ἀφανίζει τὸ εὐσταθὲς τῆς Ἐκκλησίας κατάστημα· ποῦ γὰρ ἔτι διαμένει διαφορὰ ἱερέως ἢ λαϊκοῦ, ὁπόταν οἱ ἱερεῖς ἀπολιπόντες τὸ ἔργον τοῦ Θεοῦ ἐνεργοῦσι τὰ τῶν λαϊκῶν, συμπεριφερόμενοι καὶ συμπλεκόμενοι ταῖς ζάλαις καὶ ἀνωμαλίαις τοῦ κόσμου, καὶ ἀνάξια καὶ ἀνοίκεια καὶ ἀπηγορευμένα τῆς ἐπαγγελίας αὐτῶν τελείως ἐξεργαζόμενοι, διότι οἱ ἱερεῖς ἅπαξ ἀφιερωθέντες Θεῷ ὑπετάγησαν καὶ διωρίσθησαν νὰ ἐργάζωνται τὴν θεϊκὴν ὑπηρεσίαν ἀπεχόμενοι τῆς κοσμικῆς συγχίσεως καὶ τύρβης, καὶ χρέος ἔχουσιν ἀπαραίτητον νὰ προσκαρτεροῦσι νύκτα καὶ ἡμέραν εἰς τὰ θεῖα μυστήρια καὶ νὰ προσευκαιροῦσιν εἰς τὰς ἱερὰς ἀκολουθίας, ᾄδοντες καὶ ὑμνολογοῦντες ἀγγελικῷ τῷ τρόπῳ τὰς πρὸς Θεὸν δοξολογίας· οἱ δὲ λαϊκοὶ χρεωστοῦσι νὰ φροντίζουσι διὰ τὴν κυβέρνησιν τῶν κοσμικῶν πραγμάτων, καὶ καθὼς οἱ λαϊκοὶ δὲν ἔχουσι μετοχὴν εἰς τὴν ἱε-

ρατικὴν ὑπηρεσίαν τῶν ἱερέων, οὕτω καὶ οἱ ἱερεῖς δὲν δύνονται νὰ γένουν λαϊκοί· οὔτε νὰ μετέχουσιν ὅλως τῆς τῶν λαϊκῶν φροντίδος· «ἕκαστος» γὰρ φησὶν «ἐν ᾧ ἐκλήθη ἐν τούτῳ μενέτω»· καὶ πάλιν· «μὴ μέταιρα ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου· ἃ προσετάγη σοι ταῦτα διανοοῦ»· καὶ πάλιν ἡ εὐαγγελικὴ φωνὴ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ φανερὰ μᾶς διδάσκει, ὅτι «οὐκ ἔξεστι δυσὶ κυρίοις δουλεύειν Θεῷ τε καὶ μαμωνᾷ»· Ὥστε ὁ τοῦ Θεοῦ καὶ θεῖος ὑπηρέτης καὶ ἱερουργὸς δὲν δύναται κατ' οὐδένα τρόπον νὰ ἐμβαίνῃ καὶ νὰ εἰσέρχεται εἰς τὰς τοῦ μαμωνᾶ καὶ τοῦ κόσμου ὑπηρεσίας, καὶ ἐὰν τολμήσῃ νὰ εἰσέλθῃ γίνεται πλέον ἀνάξιος τῆς τοῦ Θεοῦ ὑπηρεσίας· «οὐδεὶς γὰρ βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸ ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν», κατὰ τὸ ἱερὸν λόγιον· καὶ διὰ τοῦτο οἱ ἱεροὶ τῶν Ἀποστόλων κανόνες ῥητῶς διορίζονται, ὅτι «ὅστις ἱερεὺς καὶ πρεσβύτερος ἀναλαμβάνει κοσμικὰς φροντίδας, ἢ παυσάσθω, ἢ καθαιρείσθω».* Λοιπὸν ἡμεῖς ὡς πνευματικοὶ προστάται καὶ κοινοὶ διαφεντευταὶ τῶν ἁπανταχοῦ ἁγίων ἐκκλησιῶν, καὶ φροντισταὶ τῆς κοινῆς τῶν χριστιανῶν εὐταξίας, μάλιστα δὲ τῶν ἱερωμένων, μὴ ἀνεχόμενοι, μηδὲ ὑποφέροντες νὰ παραβλέψωμεν ἀδιόρθωτον τὴν τοιαύτην ἀταξίαν, ἰδοὺ γράφοντες διὰ τοῦ παρόντος, ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων (ὡς σύνηθες), ἐντελλόμεθά τε καὶ παραγγέλλομεν πατρικῶς, καὶ πνευματικῶς νουθετοῦμεν, καὶ συμβουλεύομεν ὅλους ἐσᾶς τοὺς αὐτόθι χριστιανούς, ἱερωμένους καὶ λαϊκούς, ὅπως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς νὰ παύσῃ καὶ νὰ λείψῃ τέλεον ἡ τοιαύτη παράνομος καὶ ἀτοποτάτη ἀταξία τῶν ἱερέων, καὶ οὔτε αὐτοὶ οἱ ἱερεῖς οἴκοθεν καὶ ἀπὸ λόγου τους, οὔτε ἀπὸ παρακινήσεως καὶ ἐπαναγκάσεως ὑμῶν τῶν αὐτόθι λαϊκῶν χριστιανῶν νὰ τολμήσωσι τοῦ λοιποῦ νὰ ἀνακατωθῶσιν εἰς κοσμικὰς ὑποθέσεις καὶ νὰ ἀναλά-

---

* Ὁ Κανὼν ΣΤ´ οὐ λέγει παυσάσθω· « Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μὴ καθαιρείσθω ». Ἐπίσης ὁ ΠΑ´ τῶν ἁγίων Ἀποστόλων ἐπιβάλλει τῷ παραβάτῃ καθαίρεσιν, οὐχὶ παῦσιν.

δωσι χρείαν καὶ ὑπηρεσίαν ἡντιναοῦν τῆς κοινότητος τῆς πολιτείας, οὔτε νὰ συναναστρέφωνται καὶ νὰ μεσολαβοῦσιν εἰς ἐξωτερικὰ ἐξουσιαστῶν καὶ κριτῶν καὶ ζαμπίτιδων πρόσωπα δι' ἡντιναοῦν αἰτίαν, ἐπειδὴ καὶ ὡς εἴπομεν τὸ τοιοῦτον ἀτόπημα εἶναι μεγίστης ψυχικῆς ἀπωλείας αἴτιον· ἀλλὰ νὰ μένουσιν οἱ ἱερεῖς προσκαρτεροῦντες καὶ προσευκαιροῦντες ἀείποτε ταῖς ἐκκλησιαστικαῖς ὑπηρεσίαις καὶ ἱεραῖς ἀκολουθίαις, κατὰ τὸν τύπον καὶ ὅρον τοῦ ἱερατικοῦ ἐπαγγέλματος, καὶ κατὰ τὰς κανονικὰς καὶ νομικὰς διατάξεις, διὰ νὰ συμφωνῇ ὁ βίος αὐτῶν μὲ τὸ ἐπάγγελμα, καὶ νὰ ἐπαληθεύσῃ εἰς αὐτοὺς τὸ τῆς ἱερωσύνης ὄνομα, καὶ νὰ γίνωνται καλὸν παράδειγμα εἰς τοὺς χριστιανοὺς μὲ τὴν εὔτακτόν τους πολιτείαν. Ὃς δὲ καὶ ὁποῖος τῶν αὐτόθι ἱερέων φανῇ ἀπειθὴς καὶ παραβάτης τῆς πατριαρχικῆς ἡμῶν ταύτης καὶ συνοδικῆς παραγγελίας καὶ τολμήσῃ παραβόλως καὶ ἀπονενοημένως νὰ ἀνακατωθῇ τοῦ λοιποῦ εἰς κοινὴν καὶ πολιτικήν τινα ὑπόθεσιν ἀπᾴδουσαν καὶ ἀπηγορευμένην τῷ ἱερατικῷ ἐπαγγέλματι, ὁ τοιοῦτος ἀργὸς μενέτω, τόγε νῦν ἔχον, πάσης ἱεροπραξίας, καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος· εἰ δὲ καταφρονήσει τῆς ἀργίας, γινωσκέτω καλῶς ὁ τοιοῦτος ὅτι μετὰ ταῦτα καὶ τελείᾳ καθαιρέσει τῆς ἱερωσύνης αὐτοῦ θέλει ὑποπέσει, καὶ ἐξωτερικῇ βαρυτάτῃ παιδείᾳ θέλει κολασθῆ, ὡς ἀνάξιος τοῦ λοιποῦ γενόμενος τοῦ ἱερατεύειν Θεῷ, καὶ ὡς καταφρονητὴς γενόμενος τῆς ἐκκλησιαστικῆς ἡμῶν ταύτης παραγγελίας. Ποιήσατε οὖν ἅπαντες ὡς γράφομεν, ὑπακούοντες εὐπειθῶς καὶ εὐγνωμόνως τῇ πατρικῇ καὶ πνευματικῇ παραινέσει καὶ νουθεσίᾳ ἡμῶν ταύτῃ, ὡς τέκνα ὑπακοῆς καὶ εὐσεβεῖς χριστιανοί, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις (κ.λ.π. ὡς συνήθως).

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 106—108.

ΞΘ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Ἐπισκόπους ἀπολελυμένους ἤτοι χωρὶς ἐπαρχιῶν ἐπὶ ψιλοῖς ὀνόμασι μὴ χειροτονεῖσθαι ὑπὸ τῶν ἐν Πελοποννήσῳ ἀρχιερέων ἐπιτίμησις καὶ παραγγελία.

Πᾶσα οἰκοδομὴ εἰς τὴν παροῦσαν ζωὴν ἔχει χρείαν ἀναγκαίως νὰ στηρίζηται ἐπάνω εἰς ἕνα θεμέλιον, διὰ τοῦτο, κατὰ τὸν ὅμοιον τρόπον, καὶ εἰς τὰς ἐκκλησιαστικὰς καὶ πνευματικὰς ὑποθέσεις προϋποτίθεται θεμέλιον στερεὸν καὶ ἀσάλευτον, οἱ θεῖοι νόμοι καὶ ἱεροὶ κανόνες, καὶ ἐπάνω εἰς αὐτὰ θεμελιοῦται ἡ πνευματικὴ οἰκοδομὴ τῆς ἐκκλησιαστικῆς εὐταξίας, καὶ ἐν ὅσῳ τὰ χαρίσματα τοῦ Πνεύματος εὑρίσκονται ἐπιστηριγμένα εἰς τοὺς θείους νόμους καὶ ἱεροὺς κανόνας τῆς Ἐκκλησίας, ἕως τότε ἔχουσι καὶ τὴν δύναμιν, καὶ τὴν ἐνέργειαν, καὶ τὸ εἶναι καὶ λέγεσθαι ἱερὰ καὶ σεβάσμια, καὶ ὅσοι τῶν ἀξιωθέντων βαθμῶν ἱερατικῶν καὶ ἐκκλησιαστικῶν τάξεων στέκονται εἰς τὸ θεμέλιον αὐτὸ τῶν θείων νόμων καὶ ἱερῶν κανόνων, εἶναι ἄξιοι καὶ τιμῆς καὶ εὐλαβείας, ὡσὰν ὁποῦ φυλάττουσι τοὺς ὅρους καὶ τὰς τάξεις τῆς ἁγίας Ἐκκλησίας, ὅταν δὲ φανῶσι παραβάται τῶν ἐκκλησιαστικῶν διατάξεων, καὶ καταφρονήσωσι τῶν θείων νόμων καὶ κανόνων, τότε καὶ αὐτοὶ καταφρονοῦνται καὶ ἀτιμάζονται, καὶ ἐκπίπτουσι τοῦ ἐκκλησιαστικοῦ βαθμοῦ καὶ τῆς τιμῆς, καὶ ἀξίως, διότι λέγει τὸ ἱερὸν λόγιον· «μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου»· καὶ «ἃ προσετάγη σοι, ταῦτα διανοοῦ». Ἐπειδὴ λοιπὸν καὶ τινὲς τῶν εὑρισκομένων αὐτόθι ἐν Πελοποννήσῳ μητροπολιτῶν, καὶ ἔχουν ὑποκειμένους εἰς τοῦ λόγου τους ἐπισκόπους, οὐκ οἴδαμεν τί παθόντες, καὶ τῶν θείων καὶ ἱερῶν νόμων καὶ κανόνων καὶ τῆς τάξεως ϗ ἱ συνηθείας τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας καταφρονή-

σαντες τολμῶσι νὰ κάμωσι χειροτονίας ἐπισκόπων ἀπολελυμένως καὶ ἔξω τῆς κανονικῆς ἀκριβείας καὶ διατάξεως, καὶ ἄλλοι μὲν βάνουσι καὶ εὐγάλουσι καὶ χειροτονοῦσιν ἕνα ἐπάνω εἰς τὸν ἄλλον ἐπισκόπους ἐν ταῖς ἐπισκοπαῖς αὐτῶν, καὶ τοὺς μὲν πρωτέρους ἐξωθοῦσι καὶ ἀποκινοῦσι τῶν ἐπισκοπῶν καὶ ἐπαρχιῶν αὐτῶν χωρὶς καμμίαν αἰτίαν εὔλογον, καὶ βιάζοντες καὶ φοβερίζοντές τους νὰ παραιτοῦνται καὶ ἄκοντες, ἢ μὲ καμμίαν ἄλλην τέχνην καὶ διαβολὴν καὶ κατασκευὴν καὶ ἀπάτην ὑστεροῦντες αὐτοὺς τῶν ἐπαρχιῶν αὐτῶν, καὶ καθιστῶντες καὶ βάλλοντες ἄλλους εἰς τὸν τόπον αὐτῶν παρὰ κανόνας καὶ νόμους, καὶ πολυπλασιάζοντες εἰς οὐδὲν δέον τοὺς ἐπισκόπους, καὶ τοὺς μὲν ἐξωθουμένους ἀφίνοντες ἀκυβερνήτους καὶ ἀδικημένους, τοὺς δὲ ἀντικαθισταμένους βαρύνοντες καὶ πιέζοντες μὴ δυσβάστακτα χρέη, καὶ εἰς ὅλον τὸ ὕστερον ἀφανίζοντες αὐτοὺς καὶ τὰς ἐπισκοπάς, καὶ προξενοῦντες μεγάλην ἀκαταστασίαν καὶ σύγχισιν καὶ ταραχὴν καὶ σκάνδαλα καὶ ἀνευλάβειαν καὶ ψυχρότητα εἰς τοὺς ὑποκειμένους αὐτοῖς χριστιανούς· ἄλλοι πάλιν χειροτονοῦσι μὲ ψιλὸν ὄνομα τῶν ἰδίων τους ἐπισκοπῶν ἀπολελυμένους ἐπισκόπους, χωρὶς ἀκριβοῦς ἐξετάσεως καὶ μαρτυρίου καὶ δοκιμασίας, καὶ χωρὶς τὰ περιστατικὰ ἐκεῖνα, ὁποῦ διορίζουσι καὶ παραγγέλλουσιν οἱ ἀποστολικοὶ κανόνες καὶ οἱ θεῖοι καὶ ἱεροὶ νόμοι νὰ φυλάττωνται ἀκριβῶς εἰς τὴν χειροτονίαν τῶν ἐπισκόπων, ἀλλὰ πόρρωθεν καὶ ἀπὸ μακρινοὺς καὶ ξένους τόπους ἐρχομένους χωρὶς συστάσεως καὶ μαρτυρίου τινὸς καὶ ἀγνοουμένους κατὰ τὸν βίον καὶ τὴν πολιτείαν καὶ τὴν εὐσέβειαν ἢ τυχὸν ὄντας καὶ κατεγνωσμένους καὶ κατεμεμαρτυρημένους εἰς ἐγκλήματα ὁποῦ ἐμποδίζουσι τὴν ἀρχιερωσύνην, αὐτοὶ ἀνεξετάστως, διὰ πλεονεξίαν καὶ ἁρπαγὴν καὶ αἰσχροκέρδειαν, τοὺς χειροτονοῦσι, καὶ δίδοντές τους ὀνοματίας καὶ τιμὴν ἐπισκόπου τοὺς στέλλουσι πάλιν εἰς τόπους ἀλλοτρίους καὶ μακρινούς, καθὼς ἔκαμε πρὸ ὀλίγου καὶ ὁ χρηματίσας Παλαιῶν Πατρῶν κακοΔανιήλ, τὸν ὁποῖον διὰ τὰς τοιαύτας του παρανόμους χειροτονίας καὶ ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία συνοδι-

κῶς τὸν ἐκάθηρεν, καὶ τῆς ἐπαρχίας του τὸν ἔξωσεν, καὶ αὐτὸν καὶ τοὺς ὑπ' αὐτοῦ παρανόμως χειροτονηθέντας, ἐπειδὴ καὶ ἐτόλμησε νὰ χειροτονήσῃ δύο τινὰς ἀπολελυμένους ἐπισκόπους ἐπ' ὀνόματι Μοθώνης, καὶ μάλιστα κατεγνωσμένους ὄντας ὡς ἑτεροδόξους, καὶ νὰ τοὺς στείλῃ ἔξω εἰς τόπους μακρινούς, τὸ ὁποῖον εἶναι ἔξω τῆς κανονικῆς διατάξεως, ἐπειδὴ καὶ ῥητῶς λέγει ὁ λε' τῶν ἁγίων Ἀποστόλων κανὼν «ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίαν ποιεῖσθαι*, εἰδὲ ἐλεγχθείη τοῦτο πεποιηκώς, καθαιρείσθω, καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησε». Λοιπὸν διὰ νὰ παύσωσιν εἰς τὸ ἑξῆς τὰ τοιαῦτα ἄτοπα καὶ αἱ παράνομοι αὐταὶ χειροτονίαι, ἰδοὺ γράφοντες μὲ τὸ παρὸν συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς (κ.λ.π. ὡς συνήθως) ἐντελλόμεθα καὶ παραγγέλλομέν σας ὅπως ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς νὰ προσέχητε καλῶς νὰ μὴν τολμήσῃ κανένας μητροπολίτης νὰ κάμῃ τοιαύτας παρανόμους χειροτονίας εἰς τὰς ἐπισκοπάς του ἀλλ' ἐν ὅσῳ ζῇ ὁ ἐπίσκοπος ἑκάστης μητροπόλεως νὰ μὴν ἠμπορῇ νὰ ἐκβάλληται ἢ νὰ ἐξωθῆται ἀπὸ τὴν ἐπισκοπήν του μὲ κανένα τρόπον, οὔτε λόγῳ παραιτήσεως οὔτε τρόπῳ καθαιρέσεως, ἀλλὰ ἐὰν καθ' ὑπόθεσιν τύχῃ ὁ ἐπίσκοπος καὶ κάμῃ κανένα ἔγκλημα καὶ ἁμάρτημα ὑπεύθυνον καθαιρέσεως, ἢ ἐὰν θέλῃ νὰ παραιτηθῇ ἀπὸ τὴν ἐπισκοπήν του, νὰ ἀναφέρεται πρῶτον ἐδῶ εἰς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν ἡ τοιαύτη ὑπόθεσις, καὶ συνοδικῶς ἐξεταζομένου τοῦ πράγματος, ἀφοῦ φανερωθῶσι καὶ ἀποδειχθῶσι τὰ αἴτια, εἴτε τῆς καθαιρέσεως, ὁποῦ πρέπει νὰ πάθῃ, εἴτε τῆς παραιτήσεως, ὁποῦ θέλει νὰ κάμῃ, ἂν κριθῶσιν εὔλογα καὶ πρέποντα καὶ δίκαια καὶ δεκτὰ τῇ καθ' ἡμᾶς ἱερᾷ συνόδῳ, τότε νὰ εἰσακούωνται καὶ ἀπὸ ἐδῶ ἀπὸ τὴν Μεγάλην Ἐκκλησίαν συνοδικῶς νὰ γίνεται ἡ ἀπόφασις καὶ κρίσις

* Ἀτυχὴς ἡ τοῦ κανόνος ἐφαρμογὴ καὶ ἐνταῦθα· ὁ κανὼν λέγει· «μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι *εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας·* εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς *παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας ἢ τὰς χώρας γνώμην* καθαιρείσθω» κ.λ.π. Πρόσθες ὅτι ὁ κανὼν γράφεται κεκολοβωμένος.

περὶ αὐτῶν καὶ ἡ διάγνωσις τοῦ δικαίου, ἄλλως δὲ νὰ μὴν ἔχῃ ἄδειαν οὐδεὶς μητροπολίτης νὰ ἐξωθῇ καὶ νὰ ἀποκινῇ τὸν ἐπίσκοπον αὐτοῦ ἐφ' οἱᾳδήτινι προφάσει. Πρὸς δὲ τούτοις νὰ μὴν ἔχῃ ἄδειαν κανεὶς μητροπολίτης νὰ χειροτονῇ ἀπολελυμένους ἐπισκόπους μὲ ψιλὴν ὀνομασίαν ἐπισκοπῆς, **ἐπειδὴ καὶ αὐτὸ τὸ προνόμιον ἐδόθη μόνον εἰς τὸν πατριαρχικὸν οἰκουμενικὸν θρόνον,** καὶ εἰς τὴν περὶ αὐτὸν ἱερὰν σύνοδον, **νὰ προβιβάζῃ εἰς τὸ τῆς ἀρχιερωσύνης θεῖον ἀξίωμα μὲ γυμνὴν ὀνομασίαν ἐπισκοπῆς,** τὰ δι' ἀρετὴν καὶ καθαρότητα βίου ὑπάρχοντα ἄξια πρόσωπα, καὶ αὐτὸ σπανίως καὶ μὲ πολὺν στοχασμὸν, ἂν τὸ καλέσῃ ἡ χρεία τῶν πραγμάτων καὶ τοῦ καιροῦ· δὲν ἐδόθη δὲ εἰς μητροπολίτην, ἐπειδὴ καὶ ὁ λδ΄ τῶν ἁγίων Ἀποστόλων κανὼν λέγει ὅτι ὁ κάθε ἀρχιερεὺς πρέπει νὰ γνωρίζῃ τὸν προεστῶτα αὐτοῦ καὶ ἐκεῖνον νὰ νομίζῃ ὡς κεφαλὴν, καὶ νὰ μὴν κάμῃ κανένα περιττὸν χωρὶς τῆς ἐκείνου γνώμης, ἀλλὰ ἐκεῖνα μόνον νὰ πράττῃ ὅσα ἀνήκουσιν εἰς τὴν παροικίαν καὶ ἐπαρχίαν του. Καὶ λοιπὸν ἡ ἀπολελυμένη αὐτὴ χειροτονία εἶναι ἔργον τοῦ πατριάρχου καὶ τῆς συνόδου, οὐ μὴν δὲ τοῦ μητροπολίτου· διὰ τοῦτο καὶ ὅσαι τοιαῦται χειροτονίαι ἐγένοντο ἀπὸ τοὺς αὐτόθι μητροπολίτας εἶναι ἄκυροι καὶ ἀσύστατοι κατὰ τοὺς θείους νόμους, καὶ οἱ χειροτονηθέντες ὑπ' αὐτῶν εἶναι ἀχειροτόνητοι, καὶ ἀρχιερεῖς καὶ ἐπίσκοποι ψευδώνυμοι, καὶ ἀμέτοχοι τῆς ἀρχιερατικῆς ἀξίας καὶ τοῦ χαρίσματος. Διὰ τοῦτο νὰ προσέχετε καλῶς νὰ μὴν τολμήσετε πλέον εἰς τὸ ἑξῆς κανένα τοιοῦτον ἀτόπημα, ἀλλὰ ἔχοντες παράδειγμα τὸν ῥηθέντα Παλαιῶν Πατρῶν κακοΔανιὴλ, τὸ τί ἔπαθε διὰ τὴν τοιαύτην χειροτονίαν, νὰ φυλάττεσθε καλῶς, διὰ νὰ μὴν πάθετε καὶ ἐσεῖς τὰ ὅμοια· διότι ὅποιος τολμήσει νὰ παρακούσῃ τὴν πατριαρχικὴν καὶ συνοδικὴν ἡμῶν ταύτην προσταγὴν καὶ παραγγελίαν, καὶ ἢ ἐπίσκοπον νὰ χειροτονήσῃ ζῶντος τοῦ προτέρου, ἢ ἀπολελυμένην χειροτονίαν νὰ κάμῃ μὲ ὄνομα μόνον ἐπισκοπῆς, ἂς ἠξεύρῃ ἐξάπαντος ὅτι θέλει καθαιρεθῇ παρ' ἡμῶν συνοδικῶς κατὰ κανόνας, καὶ θέλει ἐξωσθῇ τῆς ἐπαρχίας αὐτοῦ, καὶ

νὰ παιδευθῇ καὶ ἐκκλησιαστικῶς καὶ ἐξωτερικῶς· ἀλλὰ καὶ ὅσοι ἄλλοι ἀρχιερεῖς καὶ ἐπίσκοποι ἀφίνοντες τὰς ἐπαρχίας αὐτῶν περιέρχονται καὶ περιπλανῶνται εἰς ξένους τόπους καὶ χώρας καὶ ἐπαρχίας, καὶ ἐκτελοῦσι χειροτονίας παρ' ἐνορίαν, χωρὶς νὰ ἔχωσι συστατικὰ καὶ ἀπολυτικὰ γράμματα ἀπὸ τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν, καὶ χωρὶς νὰ τοὺς ἠξεύρωμεν ὅλως τίνες καὶ ποταποὶ εἶναι, νὰ μὴν ἔχωσι πλέον εἰς τὸ ἑξῆς ἄδειαν οἱ τοιοῦτοι νὰ ἐκτελῶσι χειροτονίαν εἰς καμμίαν πολιτείαν καὶ ἐπαρχίαν τῶν ὀρθοδόξων χριστιανῶν τοῦ ἡμετέρου γένους, ἀλλὰ τὰς γινομένας ὑπ' αὐτῶν χειροτονίας ἀποφαινόμεθα νὰ εἶναι ἀσύστατοι καὶ ἄκυροι καὶ ἀνίσχυροι καὶ ἀνενέργητοι, καὶ αὐτούς, ἐὰν καὶ αὖθις τολμήσωσι νὰ ἐκτελέσωσι τοιαύτας παρ' ἐνορίαν χειροτονίας, τοὺς ἔχομεν καθῃρημένους, καὶ γεγυμνωμένους τῆς ἀρχιερατικῆς χάριτος, καθὼς ρητῶς ἀποφαίνονται οἱ θεῖοι καὶ ἱεροὶ τῶν ἁγίων Ἀποστόλων κανόνες, ἀλλὰ καὶ τοὺς ἀποδεχομένους τὰς χειροτονίας τῶν τοιούτων χριστιανοὺς ἔχομεν ὑπευθύνους εἰς τὰ ἐκκλησιαστικὰ τοῦ ἀφορισμοῦ ἐπιτίμια, ἐπειδὴ καὶ οἱ τοιοῦτοι λαοπλάνοι γίνονται πρόσκομμα καὶ κακὸν παράδειγμα εἰς τοὺς εὐσεβεῖς, καὶ προξενοῦσιν εἰς αὐτοὺς πολλὰ σκάνδαλα καὶ ψυχικὴν βλάβην τε καὶ ἀπώλειαν. Ποιήσατε οὖν ἅπαντες κατὰ τὰ ἐν τῷ παρόντι γεγραμμένα, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ ἡ εὐχὴ καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ πάντων ὑμῶν.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 168—170. Ἐπειδὴ ὁ Δανιήλ, οὗ μιμνήσκεται τὸ πατριαρχικὸν ἔγγραφον, ἐξελέγη μὲν μητροπολίτης Παλαιῶν Πατρῶν κατὰ ἀπρίλιον τοῦ 1653, καθῃρέθη δὲ τῷ 1674 ὑπὸ τοῦ οἰκουμενικοῦ πατριάρχου Γερασίμου Β´ τοῦ ἀπὸ Τορνόβου, πρόδηλον ὅτι τὸ γράμμα τοῦτο ἀπελύθη ἔτη τινὰ μετὰ τὴν καθαίρεσιν, ἢ κατὰ τὸ τέλος τοῦ ΙΖ´, ἢ κατὰ τὰς ἀρχὰς τοῦ ΙΗ´ αἰῶνος. Σημειούσθω δ' ὅτι πάντα τὰ ἐπὶ τίτλῳ «ἀδήλου πατριάρχου» ἐκδεδομένα ἐνταῦθα ἔγγραφα ἐξεδόθησαν, καθ' ἡμᾶς, ἀπὸ τῶν χρόνων τοῦ Καλλινίκου Β´ Ἀκαρνᾶνος μέχρι τῶν χρόνων Παϊσίου Γ´ τοῦ ἀπὸ Νικομηδείας, καὶ διὰ τοῦτο κατέχουσιν ἐν τῇ παρούσῃ Συλλογῇ τὸν χῶρον τοῦτον.

Ο΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Μεσιτεία ἐξωτερικὴ καὶ δυναστεία κατὰ τῶν χρωμένων ἐν τοῖς ἱεροῖς καὶ ἐκκλησιαστικοῖς ἀξιώμασι καὶ ὀφφικίοις καὶ λειτουργήμασιν.

Ἐντιμότατοι κληρικοὶ τῆς ἁγιωτάτης μητροπόλεως . . . . καὶ εὐλαβέστατοι ἱερεῖς καὶ ἀρχιερεῖς· χάρις εἴη ὑμῖν καὶ (κτλ). Ἐπειδή, οὐκ οἶδ' ὅπως, τινὲς χριστιανοὶ τῶν αὐτόθι, ὡς ἐμάθομεν, ὁρμώμενοι κακῶς, εἴτε ἐξ οἰκείας κακοβουλίας, αἰσχροκερδείας τε καὶ πλεονεξίας, εἴτε ἐξ ἐπηρείας καὶ παρακινήσεως τοῦ ψυχοφθόρου ἐχθροῦ καὶ μισοκάλου, τοῦ μηδέποτε παύοντος ἐφευρίσκειν καὶ ἐπινοεῖν τρόπους κακίας, φθορᾶς τε καὶ ἀκαταστασίας τῷ γένει τῶν ἀνθρώπων, ἡνίκα τύχῃ χρεία τις ἐκκλησιαστικὴ παρ' αὐτοῖς, οὐκ ἐπιζητοῦσιν αὐτὴν διὰ τῆς εὐθείας ὁδοῦ, ὡς χριστιανοὶ τὰ χριστιανικά, κατὰ τοὺς ὅρους καὶ κανόνας τῆς Ἐκκλησίας, ἀλλ' ἐξεγείρουσι πολεμίους κατ' αὐτῆς διὰ τὰ ζητήματα αὐτῶν, καὶ βάλλουν μεσίτας καὶ δυνάστας τοῦ δράξασθαι τῶν ἐκκλησιαστικῶν χαρισμάτων παρανόμῳ τρόπῳ καὶ θεομισεῖ, δι' ὧν μεσιτειῶν σκάνδαλα καὶ ζημίαι διάφοροι προξενοῦνται τῇ μητροπόλει ταύτῃ, φθοραί τε καὶ συμφοραὶ καὶ πάθη ἀνίατα, διὰ τοῦτο γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, γνώμῃ καὶ τῶν παρευρισκομένων, ἱερωτάτων ἀρχιερέων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν (κλπ. ὡς ἔθος), ἵνα ἀπὸ τῆς σήμερον ὁποῖοι ἂν τολμήσωσι βαλεῖν μεσιτείας ἢ καὶ δυναστείαν ἐπὶ τῷ λαβεῖν εἴτε ἱερωσύνην (ἥτις μηδὲ κῦρος ἔχει διὰ μεσιτειῶν λαμβανομένη, οὔτε σύστασιν), εἴτε ἐκκλησίαν καὶ ἐ[φημε]ρίαν, εἴτε ὀφφίκιον, εἴτε συνοικέσιον, εἴτε ἄλλην τινὰ ἐνέργειαν καὶ χρῆσιν ἐκκλησιαστικήν, καὶ ὅσοι συντρέξουσιν αὐτοῖς λόγῳ ἢ ἔργῳ, ἢ συμβουλεύσωσιν, ἢ ἑρμηνεύσωσιν, ἢ ἀναγκάσωσιν

αὐτοὺς εἰς τὸ μεταχειρισθῆναι μεσιτείας, ἱερωμένοι ὄντες ἢ λαϊκοὶ, νέοι ἢ γέροντες, ἀφωρισμένοι εἴησαν, καὶ κατηραμένοι (κ τ λ.) καὶ οἱ μὲν ἱερωμένοι μενέτωσαν ἀργοὶ πάσης ἱεροπραξίας παρ' οὐδενὸς συμφορούμενοι, ἢ συλλειτουργούμενοι, ἢ εἰσόδημα ἐκκλησιαστικὸν παρεχ[όμενον λαμβάνοντες] ἐν [βάρει] ἀργίας (κτλ. ὡς συνήθως)· οἱ δὲ λαϊκοὶ ἔξω τῆς Ἐκκλησίας, μὴ ἐκκλησιαζόμενοι ἢ ἁγιαζόμενοι, ἕως οὗ παύσωσι τῆς μεταχειρίσεως τῶν μεσιτειῶν καὶ δυναστειῶν, καὶ συγχωρηθήσονται.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 395—396. Ἐν τῷ τέλει ἡ κανονικὴ ἐγκύκλιος αὕτη συνεπληρώθη, διότι λέξεις πολλαί εἰσιν ἡμίγραπτοι.

ΟΑ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Κατὰ τῶν ἀποσκιρτώντων ἀπὸ τοῦ Ἁγίου Τάφου πατέρων, καὶ καταλιμπανόντων τὴν ἐκεῖσε μετάνοιαν αὐτῶν καὶ ἀπερχομένων εἰς τὸν οἰκουμενικὸν θρόνον ἢ εἰς ἄλλας ἀλλαχόθι ἐκκλησίας, καὶ λαμβανόντων ἀρχιερωσύνην, ἢ ἄλλα ὀφφίκια.

Τὸ ἄτακτον πανταχοῦ λυπηρὸν ἡ θεόφθογγος ἔφη φωνή· τί δὲ λέγω λυπηρὸν, ὅπου γε ἡ ἀταξία φθορᾶς ἁπάσης ἐν πᾶσιν ἐστὶ παραίτιος; καὶ γὰρ τῇ ἀταξίᾳ οὐ μόνον οἶκοι καὶ πόλεις, ἀλλὰ καὶ γένη καὶ φυλαὶ ὁλόκληροι ἠφανίσθησαν: ὅθεν καὶ λέγεται τάξει συνεστάναι τὰ πάντα, οὐ μὴν ἀλλὰ καὶ μέχρι τῶν οὐρανίων ἁψίδων καὶ αὐτῶν τῶν νοερῶν δυνάμεων ἡ τάξις ἀφικνεῖται, ὅθεν καὶ διακοσμήσεις καὶ τάγματα νοερὰ κατὰ τὸν ἱερομύστην Διονύσιον διανενέμηνται, καὶ χάριτι διαιρούμεναι καὶ εὐταξίᾳ συνιστάμεναί τε καὶ διαδιδόμεναι, ἅπαν δὲ τοὐναντίον τῇ ἀταξίᾳ μεθοδεύεται,

καὶ ὡς εἴρηται οὐ πόλεις, οὐ δῆμοι, οὐ ναοί, οὐ τεμένη, ἀλλὰ φυλαὶ καὶ γλῶσσαι τῇ παγχαλέπῳ ἀταξίᾳ εἰς τὸ μηδὲν ἀτεχνῶς προὐχώρησαν· ἐντεῦθεν νόμοι, κανόνες καὶ διατάξεις τὴν εὐταξίαν ὡς ζωοποιὸν συνιστᾶσι, καὶ τὴν ἀταξίαν ὡς φθοροποιὸν διιστᾶσι. Τί δή μοι τὸ προοίμιον βούλεται, ἢ ὅτι τοῦ ἁγίου καὶ σεβασμίου μοναστηρίου τοῦ πανσέπτου καὶ Ζωοδόχου καὶ Παναγίου Τάφου τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πατριαρχικῇ ἀξίᾳ τετιμημένου, καὶ προνομίοις κανονικοῖς κεκοσμημένου, οἱ ἐν αὐτῷ τὴν μετάνοιαν αὐτῶν ἐκτιθέμενοι (sic) πατέρες καὶ τὸ σταυροφορεῖν ἐν τούτῳ καὶ διατηρεῖν βίον ἀγγελοπρεπεῖ σχήματι προσήκοντα ἐπαγγειλάμενοι, ἄγοντες ἡσυχίαν κατὰ τοὺς ἐν αὐτῷ ἐκτεθειμένους ὅρους καὶ κανόνας, καὶ ὑπείκοντες τῷ κατὰ καιροὺς πατριαρχεύοντι [ἐν] τῷ ἁγιωτάτῳ καὶ ἀποστολικῷ θρόνῳ αὐτῷ, ἕκαστος κατὰ τὴν προχειρισθεῖσαν αὐτῷ ἐνέργειαν τοῦ ἁγίου Πνεύματος, ὁ μὲν εἰς ἀρχιερατικὸν βαθμόν, ὁ δὲ εἰς ἱερατικόν, ὁ δὲ εἰς διακονικόν, ἄλλος δὲ ἐν ὀφφικίῳ ἀρχιμανδρίτου, καὶ ἄλλος ἐν πρωτοσυγκέλλου, καθὼς ἑκάστῳ τὸ Πνεῦμα τὴν χάριν διένειμεν, ἀπερχόμενοι καὶ περιερχόμενοι κατὰ τὴν παρακέλευσιν τοῦ κατὰ καιροὺς πατριαρχεύοντος εἰς διοίκησιν τοῦ πανσέπτου μοναστηρίου τοῦ Ζωοδόχου Τάφου, εἰς συνάξεις ζητιῶν καὶ ἐλεημοσυνῶν παρὰ τῶν χριστιανῶν, εἰς ἐπιστασίας μοναστηρίων καὶ ἡγουμενιῶν, σκοπὸν ἕνα ἔχοντες, κατὰ τὴν διάταξιν τοῦ πατριαρχεύοντος ἐν αὐτοῖς, τὴν κυβέρνησιν τοῦ πανσέπτου μοναστηρίου, τὴν ἐλάφρωσιν τῶν χρεῶν τοῦ ἁγίου καὶ Ζωοδόχου Τάφου, καὶ οὕτως ἐσώζετο ἡ τοιαύτη εὐταξία, ὑπεικόντων καὶ ὑποτασσομένων, ὡς εἴρηται, τοῖς παρεστῶσι (sic) κατὰ καιροὺς πατριάρχαις· εἶτα, ὡς ἀπό τινος ζοφερᾶς συστροφῆς, κακίας δηλονότι τινῶν, συνεργείᾳ τοῦ πᾶν καλὸν ἀνατρέποντος σατανᾶ, ἤρξαντό τινες τῶν ἐν αὐτῷ πατέρων στρηνιᾶν καὶ τῆς εὐταξίας ἀποσκιρτᾶν καὶ ὡς ἀπὸ ἡλιακοῦ φέγγους εἰς ζοφώδη εἰσπίπτειν λαβύρινθον, ἀπορρίπτειν δηλονότι τὴν μετάνοιαν αὐτῶν καὶ τὸ σταυροφορεῖν, ἣν ἐν τῷ σεβασμίῳ μοναστηρίῳ τούτῳ ἐξέθεντο, καὶ ἀπὸ

μιᾶς παραιτεῖσθαι, καὶ διὰ λογισμῶν ἀνωδίας εἰς ἀνωδίας ἔργον ἀθεμίτως ἐξωκείλειν, ἐξ ὧν καί τινες μητροπολῖται εἰς ἐπαρχίας ὑποκειμένας τῷ οἰκουμενικῷ Θρόνῳ κεχειροτόνηνται, ἄλλοι δὲ εἰς ἄλλας αὐτοῦ ὑπηρεσίας τετάχαται, καὶ οὕτως ἀρχῆς κακίστης γεγονυίας, ἐπεὶ τὸ κακὸν εὐμίμητον, κίνδυνον ἠπείλει τὸ τοιοῦτον ἀτόπημα, μήτοι, κατὰ μικρὸν ἐξερχομένων ὡσαύτως, ἐρήμωσιν ἀνθρώπων εἰς ὑπηρεσίαν καὶ δούλευσιν τοῦ Ἁγίου Τάφου προξενηθῆναι. Ὅθεν ὁ μακαριώτατος καὶ λογιώτατος πατριάρχης Ἱεροσολύμων καὶ προστάτης τοῦ πανσέπτου μοναστηρίου τοῦ Ἁγίου καὶ Ζωοδόχου Τάφου, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ δ[οσίθεος;] τὴν ῥοὴν ταύτην ἀναχαιτίσαι σκοπῶν καὶ τὴν κακίστην ταύτην ἀταξίαν εἰς τὴν προτέραν εὐταξίαν μεταγαγεῖν, ὡς ἄριστος προμηθεύς, στὰς ἀνήγγειλε· καὶ τὴν ἐπαπειλουμένην ἀπὸ τῆς τοιαύτης ἀταξίας ζημίαν τῷ πανσέπτῳ μοναστηρίῳ τρανῶς διεσάφησε, ζητῶν ἀπὸ τοῦ οἰκουμενικοῦ Θρόνου τὴν τῆς πληγῆς ταύτης θεραπείαν καὶ ἴασιν· καὶ δὴ ὡς εὐλόγου οὐ μόνον τῆς αἰτήσεως οὔσης, ἀλλὰ καὶ ἀναγκαιοτάτης, δεῖ γὰρ τὸν οἰκουμενικὸν Θρόνον πάσαις μηχαναῖς ἐπικουρεῖν ταῖς ἀνάγκαις τοῦ Ἁγίου καὶ Ζωοδόχου Τάφου, καὶ βοηθεῖν, ὅση δύναμις, ὡς ἐκεῖθεν τῆς εὐαγγελικῆς ἀρξαμένης χάριτος, ἐκρίθη συνοδικῶς διὰ γραμμάτων ἐπιτιμίου τοὺς τοιούτους ἀναχαιτίσαι τῆς μιαρᾶς ἀποσκιρτήσεως ταύτης, καὶ μηκέτι τὸν οἰκουμενικὸν Θρόνον δέξασθαί τινα τούτων τῶν πατέρων τῶν ἁγιοταφιτῶν, οὔτε χειροτονεῖν μητροπολίτας, οὔτε προβιβάζειν εἰς ὀφφίκιον, οὐμὴν ἀλλὰ καὶ τοὺς ἀλλαχοῦ διατρίβοντας ἐπιτιμᾶν ἀπέρχεσθαι εἰς τὴν μετάνοιαν αὐτῶν. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα μετὰ τῆς περὶ ἡμᾶς τῶν ἀρχιερέων ὁμηγύρεως (κτλ. ὡς συνήθως).

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 441—443.

ΟΒ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Διαζύγιον γεγονὸς πρῶτον ὑπὸ τοῦ κατὰ τόπον ἀρχιερέως, ἐπὶ δυσωδίᾳ τοῦ στόματος τῆς γυναικὸς ἀφορήτου οὔσης τῷ ἀνδρὶ, καὶ ἐπιβεβαιωθὲν ὕστερον διὰ πατριαρχικοῦ γράμματος.

Τὰ καλῶς καὶ δικαίως καὶ σὺν τῷ προσήκοντι λόγῳ ἀποτελούμενα ἐν διαφόροις τόποις καὶ ἐπαρχίαις τῶν ὀρθοδόξων, καὶ τούτων μάλιστα ὅσα ποτὲ δυσκολίας τινὸς πειραθέντα ἐν τῇ καταστάσει αὐτῶν, καὶ ἀναγκαίως χρήζοντα ἐνδεχομένης τινὸς θεραπείας καὶ διορθώσεως, μετασκευάζονται ἐπὶ τὸ εὔθετον, καὶ ἐπανάγονται ἀπὸ τῆς δυσχερείας καὶ κακώσεως αὐτῶν προνοίᾳ καὶ κηδεμονίᾳ ἔμφρονι τῶν κατὰ τόπον προϊσταμένων, ταῦτα καὶ τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ, καὶ τῇ περιωπῇ τοῦ οἰκουμενικοῦ Θρόνου ἐμφανιζόμενα καὶ ἀναφερόμενα ἐπιβεβαιοῦνται ὡς καλῶς καὶ δικαίως γεγενημένα εἰς ἀσφαλεστέραν αὐτῶν καὶ μονιμωτέραν σύστασιν. Ἐπειδὴ τοιγαροῦν καὶ τανῦν ἀνηνέχθη ἡμῖν, ὡς ὁ αὐτόθι Φίλος ὀνόματι υἱὸς τοῦ χατζῆ Πολυζώη, λαβὼν εἰς γυναῖκα αὐτοῦ τὴν Ἄνναν, καὶ συνοικήσας μέχρι τινὸς μετ' αὐτῆς, χαλεπῆς καὶ ἀφορήτου τὸ παράπαν ἐξ ἀρχῆς ἐπειράθη τῆς μετ' αὐτῆς συνοικήσεως, διά τινα ἐνοῦσαν αὐτῆς τῷ στόματι νόσον καὶ ἀποφορὰν μετ' ἀηδίας ἥκιστα φορητῆς, δι' ἣν αἰτίαν ἀδυνάτως ἔχων πάντη προσεγγίζειν αὐτῇ ἄχρηστόν τε καὶ μάταιον καὶ ἀνενέργητον ὅλως ἀνεδείκνυτο αὐτῷ τὸ τοῦ γάμου μυστήριον, ἐκίνησεν ἀγωγὴν περὶ τούτου αὐτόθι ἐπὶ τοῦ ἐκκλησιαστικοῦ κριτηρίου τῆς θεοφιλίας σου, καὶ παραστήσας τὸ τοιοῦτον ἐλάττωμα καὶ χαλεπὸν νόσημα τῆς γυναικὸς αὐτοῦ ταύτης, διὰ μαρτυρίας τῆς μητρὸς αὐτῆς, συμφωνίας τε γενομένης ἐκ κοινῆς συναινέσεως

τῶν μερῶν ἀμφοτέρων διαλυθῆναι τὸν γάμον, ἀπεφάνθη ἐκκλησιαστικῶς ὑπὸ τῆς θεοφιλίας σου καὶ τῶν κληρικῶν καὶ ἀρχόντων τῆς ἐπαρχίας σου διαζευχθῆναι αὐτοὺς ἀπ' ἀλλήλων καὶ διαχωρισθῆναι τοῦ λοιποῦ τῆς μεταξὺ γαμικῆς συναφείας, κἀντεῦθεν καὶ διεζεύχθησαν ἀπ' ἀλλήλων, καὶ λαβοῦσα ἡ ῥηθεῖσα Ἄννα μετὰ τῆς μητρὸς αὐτῆς πᾶσαν αὐτῆς τὴν προῖκα, ἄσπρα τε καὶ πράγματα καὶ λοιπὰ ἔξοδα αὐτῶν παρὰ τοῦ ῥηθέντος Φίλου ἐξώφλησαν πρὸς αὐτὸν, καὶ ἐξισάσθησαν κατὰ τέλειον ἐξισασμὸν, καθὼς καὶ τὸ ἐμφανισθὲν ἡμῖν μετὰ τὴν γενομένην αὐτόθι τελείαν ἐκκλησιαστικὴν διάζευξιν ἐξοφλητικὸν γράμμα δηλοποιεῖ κατησφαλισμένον ὃν ἐπιβεβαιώσει τῆς σῆς θεοφιλίας, καὶ μαρτυρικαῖς ὑπογραφαῖς τῶν κληρικῶν καὶ γερόντων τῆς ἐπαρχίας σου· κἀντεῦθεν ὁ ῥηθεὶς Φίλος ἐδεήθη καὶ τῆς ἡμῶν μετριότητος ἐπιβεβαιωθῆναι αὐτῷ καὶ παρ' ἡμῶν τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ κρίσει τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας τὴν ἀπὸ τῆς ῥηθείσης γυναικὸς αὐτοῦ Ἄννης διάζευξιν καὶ δι' ἡμετέρου πατριαρχικοῦ διαζυγίου γράμματος· οὗ τὴν δέησιν ὡς εὔλογον καὶ δικαίαν προσηνῶς ἀποδεξάμενοι, γράφοντες ἀποφαινόμεθα, ἵνα ὁ ῥηθεὶς Φίλος ὑπάρχῃ διεζευγμένος καὶ κεχωρισμένος τοῦ λοιποῦ ἀπὸ τῆς ῥηθείσης γυναικὸς αὐτοῦ Ἄννης, καὶ μηδαμῶς ἔχῃ τοῦ γάμου συνάφειαν μετ' αὐτῆς ὡς πάντῃ ξένος καὶ ἀλλότριος· ἔχει δὲ καὶ ἄδειαν λαβεῖν ἑτέραν γυναῖκα κατὰ νόμον ἀκώλυτον αὐτῷ καὶ στεφανωθῆναι ἐκείνην ἐκκλησιαστικῶς, μηδενὸς ἐναντιουμένου αὐτῷ ἢ αὐτῇ ἱερωμένου ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. Ὅθεν εἰς ἔνδειξιν τοῦ διαζευχθῆναι αὐτὸν ἤδη καὶ παρ' ἡμῶν, τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ κρίσει τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐδόθη αὐτῷ καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν τοῦ διαζυγίου γράμμα.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου, σελ. 255—256. Τὸ διατακτικὸν μέρος συνεπληρώθη, ἅτε τῶν λέξεων ἡμιγράπτων ἐν τῷ Κώδηκι μενουσῶν.

ΟΓ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Διαζύγιον εἰς διάλυσιν ἀρραβῶνος δι' ἱερολογίας γεγονότος.

Ἱερώτατε μητροπολῖτα πρώην Παλαιῶν Πατρῶν καὶ πρόεδρε Τζερνίκης κὺρ Δανιὴλ, χάρις εἴη σοῦ τῇ ἱερότητι, καὶ εἰρήνη παρὰ Θεοῦ. Ἐπειδὴ ὡς ἔγνωμεν καὶ ἐβεβαιώθημεν ἀπὸ γράμματος τῆς ἀρχιερωσύνης σου, ἡ Βιολέτα τοῦ Γκόλφη, ἡ εὑρισκομένη εἰς τὴν χώραν καὶ πολιτείαν Καλάβριτα, ἔφθασε μὲν πρὸ χρόνιων ἤδη πέντε μνηστευθῆναι καὶ ἀρραβωνισθῆναι δι' ἱερῶν εὐχῶν καὶ δι' ἱερολογίας, κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ συνήθειαν, μετὰ τοῦ Χρυσαθάκη Χαρτοφύλακος, τοῦ ὄντος μὲν ἀπὸ χωρίου Ποταμίας, εὑρισκομένου δὲ ἤδη ἐνταῦθα ἐν Κωνσταντινουπόλει καὶ δουλεύοντος μπακάλη κατὰ τὸν Γαλατᾶν, ἀλλὰ διὰ τὴν παρέλευσιν τοσούτου χρόνου μηκέτι δυναμένη ὑποφέρειν τὴν στέρησιν τῆς ἀγαμίας καὶ ἀνδρικῆς περιθάλψεως, κινδυνεύουσα δὲ μᾶλλον κατὰ ψυχὴν, διεμήνυσεν αὐτῷ τῷ ῥηθέντι Χρυσαθάκη μνηστῆρι αὐτῆς ἢ ἀπελθεῖν ἐκεῖσε εἰς Καλάβριτα καὶ στεφανωθῆναι μετ' αὐτῆς, ἢ διαλυθῆναι καὶ διαζευχθῆναι ἀπ' αὐτῆς, καὶ τῷ τρόπῳ τούτῳ δυνηθῆναι αὐτὴν εἰς ἕτερον ἀποβλέψαι συνοικέσιον, ὥστε διεκφυγεῖν τὸν ἐπικείμενον αὐτῇ κίνδυνον κατὰ ψυχὴν ἐκ τῆς τοιαύτης ἀτελεσφορήτου παρατάσεως τοῦ καιροῦ καὶ ἀργοπορίας· οὗ ἕνεκα διαμηνυθεὶς ὑπὸ τῆς ἡμῶν μετριότητος ὁ ῥηθεὶς Χρυσαθάκης καὶ ἐπιτιμηθεὶς σφοδρότατα ὅπως ἀπέλθῃ εἰς Καλάβριτα καὶ στεφανωθῇ μετὰ τῆς ῥηθείσης Βιολέτας, ἅτε τῆς ῥηθείσης μνηστείας αὐτῶν δι' ἱερολογίας συντελεσθείσης, τὰ ἴσα τε τοῦ γάμου ἐπεχούσης, καὶ μὴ διαλυομένης ῥαδίως, καὶ χωρὶς εὐλόγου καὶ νομίμου αἰτίας, αὐτὸς ἀπελογήσατο καὶ προὐβάλετο

ἀδυνάτως ἔχειν ἀποδημῆσαι ἐντεῦθεν καὶ ἀπελθεῖν εἰς Καλάβριτα, διὰ τὴν ἐπισυμβᾶσαν αὐτῷ δυστυχίαν καὶ διὰ τὸ ἐπικείμενον αὐτῷ βαρὺ χρέος, τῶν δανειστῶν αὐτοῦ μὴ ἀφιέντων, μηδὲ συγχωρούντων αὐτῷ τὴν ἐντεῦθεν ἀποδημίαν· τούτου χάριν, τῆς ἀνάγκης αὐτοῦ ταύτης μηδεμίαν διόρθωσιν καὶ θεραπείαν ἐπιδεχομένης, καὶ τῆς γαμικῆς αὐτῶν συνοικήσεως ἀδυνάτου ἀναφανείσης, ἐπειδὴ οἱ ἱεροὶ καὶ θεῖοι νόμοι πρὸς ταῖς ἄλλαις αἰτίαις, ἐφ' αἷς ἀξιοῦσι διαλύεσθαι τὴν μνηστείαν, μίαν τίθενται καὶ ἀριθμοῦσι καὶ τὴν τῆς τύχης ἀπαλλαγὴν, ὁπότε δηλαδὴ δυστυχίᾳ περιπέσῃ θάτερον μέρος τῶν μνηστευομένων, καθὼς ἐπὶ τοῦ ῥηθέντος Χρυσανθάκη συνέβη, τοῦτο μὲν διὰ τὴν δυστυχίαν αὐτοῦ, νόμιμον οὖσαν αἰτίαν εἰς διάλυσιν, τοῦτο δὲ προνοούμενοι τῆς ῥηθείσης Βιολέτας, ὥστε μετὰ τὴν πενταετῆ ὑπομονὴν μηκέτι κινδυνεύειν περαιτέρω κατὰ ψυχὴν, διὰ τὴν στέρησιν τῆς ἀνδρικῆς περιθάλψεως, κυβερνήσεώς τε καὶ ζωοτροφίας αὐτῆς, δεῖν ἔγνωμεν διαζεῦξαι αὐτοὺς ἀπ' ἀλλήλων ἐκκλησιαστικῶς· καὶ γράφοντες ἀποφαινόμεθα ἵνα ἡ διαληφθεῖσα Βιολέτα ὑπάρχῃ διεζευγμένη καὶ διακεχωρισμένη ἀπὸ τοῦ ῥηθέντος μνηστῆρος αὐτῆς Χρυσανθάκη, ἐλευθέρα τε καὶ ἀπολελυμένη ἀπὸ τῆς μετ' αὐτοῦ συντελεσθείσης δι' ἱερολογίας μνηστείας, ἔχῃ δὲ καὶ ἄδειαν λαβεῖν ἕτερον ἄνδρα νόμιμον ἐκκλησιαστικῶς, καὶ στεφανωθῆναι ἐκεῖνον κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ συνήθειαν καὶ παρατήρησιν, μηδενὸς ἐναντιουμένου αὐτῇ ἢ ἀντιλέγοντος. Ὅθεν εἰς ἔνδειξιν ἐδόθη αὐτῇ τῇ Βιολέτᾳ καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν ἐκκλησιαστικὸν γράμμα τοῦ διαζυγίου, εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 256—257.

ΟΔ΄.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Εἰς διάλυσιν ἀρραβῶνος διὰ ψιλῶν συμφώνων συγχώρησις, διὰ πληρωμῆς τοῦ διπλοῦ ἀρραβῶνος.

Τῆς ἐκκλησιαστικῆς περὶ πάντα προνοίας ἔργον διατελεῖ σκοπιμώτατον ἡ τῶν ἱερῶν κανόνων καὶ θείων νόμων ἀκριβὴς καὶ ἀπαρεγχείρητος φυλακὴ καὶ συντήρησις, οὓς ἄνωθεν οἱ νομοθέται καὶ τῆς Ἐκκλησίας κοσμήτορες ἐπ' αὐτὸ τοῦτο συνέθεντο ὑπὸ τοῦ θείου ἐνηχηθέντες πυρὸς, καὶ διέταξαν ἐφ' ᾧ εἶναι ὅρους ἱεροὺς καὶ θριγγία καὶ χάρακας τοῦ τῆς εὐσεβείας πληρώματος, καὶ κατ' ἐκείνους βιοῦν καὶ πολιτεύεσθαι καὶ ρυθμίζεσθαι τοὺς εὐσεβεῖν ἐπαγγελλομένους, καὶ μηδένα ἀφίστασθαι καὶ ἐκπίπτειν καὶ θρασέως ὑπεράλλεσθαι καὶ ὑπερπηδᾶν, ἢ μεταποιεῖν, ἢ μετατάττειν καὶ ἀντεισάγειν καινόν τι, ἀλλ' εἴσω τῶν ὁρίων μένειν τῶν καλῶς τοῖς πατρᾶσι διαταχθέντων καὶ τῇ ἀρχαίᾳ στέργειν διατάξει· μὴ μέταιρε γὰρ, φησὶν, ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου· ἃ προσετάγη σοι ταῦτα διανοοῦ. Ἐπειδὴ τοιγαροῦν καὶ τανῦν παραστὰς ἐπὶ τοῦ ἐκκλησιαστικοῦ ἡμῶν κριτηρίου ὁ ἀπὸ τῆς πολιτείας ὑμῶν ταύτης Κώνστας Μακρῆς, ἀνήγγειλε μετὰ πολλῆς δεινοπαθείας τὴν ἐπιγενομένην αὐτῷ εἰς τὰ αὐτόθι ἄδικον ὕβριν καὶ ἀτιμίαν καὶ παιδείαν ἐκκλησιαστικὴν, ἀπεναντίας τῇ ἐκκλησιαστικῇ καὶ κανονικῇ διατάξει κατ' αὐτοῦ ἐξενεχθεῖσαν· καὶ γὰρ ἀρραβωνισθεὶς διὰ ψιλῶν συμφώνων μετὰ τῆς Ἀλεξάνδρας, θυγατρὸς τοῦ ποτὲ Σταύρου Τζηπαλέμα καὶ μεταμεληθεὶς, καὶ ὀφείλων μόνον ἀποδοῦναι τὸ κατὰ νόμους διωρισμένον πρόστιμον τῆς μεταμελείας, ἤτοι τὸν διπλοῦν ἀρραβῶνα, καὶ στέργων τῇ ποινῇ ταύτῃ τοῦ προστίμου, αὐτὸς δὲ πανοικὶ μετὰ τῶν ἀδελφῶν καὶ μητρὸς καὶ συγγενῶν ἐκκήρυκτος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καὶ ἐσχάτῃ ἐκκλησιαστικῇ ποινῇ, ἔξω παντὸς λόγου καὶ δικαίου, συνελεύσει πανδήμῳ, ὥσπερ

τις αἱρετικὸς καὶ ἐπὶ ἐγκλήμασι μεγίστοις κατακεκριμένος, καθυποβέβληται, αἴτιον δὲ τῆς τηλικαύτης κατ'αὐτοῦ παιδείας ὥσπου καὶ ἡ σταλθεῖσα παρ' ὑμῶν κατ' αὐτοῦ ἀναφορὰ δηλοποιεῖ, τὸ ἐπικρατῆσαν ἄγραφον ἔθος ἐν τῇ πολιτείᾳ ὑμῶν, μὴ λύεσθαι τὴν διὰ ψιλῶν συμφώνων μνηστείαν, ἀλλ' ἰσοδυναμεῖν τῇ τελείᾳ καὶ δι' ἱερολογίας συνισταμένῃ, ὅπερ ὅσης ἔχεται ἀτοπίας αὐτόθεν δῆλον· ἡ γὰρ ἄγραφος συνήθεια ἐνίοτε ἀποδεκτέα νομίζεται, ὅταν μὴ ἀντιφάσκῃ αὐτῇ ἔγγραφος νόμος· καὶ γὰρ οὕτω ῥητῶς οἱ θεῖοι νόμοι φασὶ, περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν, ὅπου δὲ νόμοι ῥητῶς ἐξετέθησαν, καὶ τὴν μνηστείαν διχῇ διεῖλον, καὶ τὴν μὲν δι' ἱερολογίας προβαίνουσαν τὰ ἴσα ἔχειν τοῦ γάμου ἀπεφήναντο, τὴν δ' ἐν ψιλοῖς συμφώνοις συνεστῶσαν μετὰ τῆς ἀποτίσεως τοῦ προστίμου διαλύεσθαι διωρίσαντο, πῶς οὐκ ἄτοπον ἀντινομοθετεῖν ταῖς νομικαῖς διατάξεσι ταύταις, τὸ παράλογον τοῦτο, καὶ ὁρμαῖς τῶν τυχόντων προβαλλόμενον ἔθος, οὔτε ἀκουσθὲν πρότερον, οὔτε βεβαιωθὲν, ὅπουγε, καθὼς καὶ τοῦτο ῥητῶς οἱ νόμοι φασὶ, τότε κεχρήμεθα τῇ συνηθείᾳ τινὸς πόλεως καὶ ἐπαρχίας, ὅτε ἀμφισβητηθεῖσα ἐν δικαστηρίῳ ἐβεβαιώθη, τουτέστιν ὁπότε, φιλονεικίας καὶ ἀντιρρήσεως περὶ ταύτης γενομένης, ψῆφος δικαστικὴ ταύτην ἐκύρωσεν· ἄλλως τε καὶ τότε κρατεῖ ἡ συνήθεια, ὅτε οὐκ ἔστι νόμος ἔγγραφος, καὶ ἔχει καὶ λογισμὸν εὔλογον, τότε γὰρ κρατεῖ τὸ ἔθος ὡς ἔθος, ὅταν ἐστὶν εὔλογον, οὐ μὴν δὲ ὅτι ἐγγράφοις διαμάχεται νόμοις καὶ ἀλόγως εἰσήχθη τὴν ἀρχὴν, ὅτι δὲ ἄλογον τοῦτο τὸ ἔθος δῆλον ἐντεῦθεν· εἰ μὲν γὰρ ἄλυτον ἀξιοῦσιν εἶναι τὴν μνηστείαν, ἔχουσι τὴν δι' ἱερολογίας, εἰ δὲ λύεσθαι θέλουσιν, ἀκολουθείτωσαν τὴν διὰ ψιλῶν ῥημάτων, ὥστε οὐδεμία χρεία αὐτοῖς τοῦ προβαλλομένου ἀγράφου ἔθους, οὐδὲ τῆς ἀντινομοθετούσης μετατάξεως ταύτης· ᾔδεισαν γὰρ οἱ νομοθέται ὅτι καὶ ἀμφοτέρων χρεία, καὶ ἑκατέρας τὸν ὅρον ἄριστα καὶ μετὰ τοῦ πνεύματος ἐκδεδώκασι· καὶ τὴν μὲν δι' εὐχῶν τελουμένην τῷ ἀδιαλύτῳ εἰκότως προτετιμήκασι, καὶ τὰ ἴσα τοῦ γάμου ἔχειν ἠξίωσαν, τὴν δὲ στερουμένην εὐχῶν

καὶ ῥήμασι ψιλοῖς συμφωνουμένην, ὥς τι πολιτικὸν καὶ ἀνθρώπινον συμβόλαιον τῷ ὑποβεβηκότι βαθμῷ τῆς τοῦ προστίμου τιμῆς λύεσθαι συνεχώρησαν, ἄτοπος ἄρα ἡ ἐξ ἀλόγου ἔθους βία κατὰ τοῦ διαλύοντος τὸ τοιοῦτο συνάλλαγμα, καὶ τῇ Ἐκκλησίᾳ καὶ τοῖς ἱεροῖς νόμοις ἀγνοουμένη, πολλῷ δ' ἔτι ἀτοπωτέρα καὶ ἡ τηλικαύτη πάνδημος τῆς Ἐκκλησίας ἐκκήρυξις, καὶ τὰ τοσαῦτα ἐπιτίμια, ἐφ' οἷς οἱ νόμοι τὴν λύσιν συνεχώρησαν, ἐπὶ μιᾷ ταύτῃ ἀνυποστάτῳ καὶ παραλόγῳ προφάσει τοῦ ἀγράφου ἔθους· οὗ ἕνεκα μὴ ἀνεχόμενος ὁ ῥηθεὶς Κώνστας τῆς ἀδίκου ταύτης καὶ παραλόγου καὶ ἔξω τῆς ἐκκλησιαστικῆς θεσμοθεσίας γενομένης κατ' αὐτοῦ ἐκκλησιαστικῆς παιδείας προσέδραμε τῇ προνοίᾳ καὶ δεφενδεύσει τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ τῇ καθόλου ἐξουσίᾳ καὶ προστασίᾳ τοῦ οἰκουμενικοῦ Θρόνου, δι' οὗ διεκδικοῦνται αἱ ὁπῇ ποτε κατὰ μέρος τοιαῦται παρατροπαί, καὶ ἐδεήθη τυχεῖν ἀθωώσεως ἅμα καὶ λύσεως τῆς ἧς μετεμελήθη μνηστείας, μετὰ καὶ τοῦ διωρισμένου προστίμου κατὰ τὴν πανταχοῦ ἐνεργουμένην καὶ ἀπαρατρέπτως φυλαττομένην ἐκκλησιαστικὴν καὶ κανονικὴν διάταξιν, περὶ τῶν διὰ ψιλοῦ συμφώνου γινομένων ἀρραβώνων, οὗ τὴν δέησιν εὔλογον καὶ δικαίαν οὖσαν, καὶ τοῖς ἱεροῖς νόμοις συμφθεγγομένην εὐμενῶς ἀποδεξάμενοι, ἄλλως τε καὶ χρέος ἀπαραίτητον ἔχοντες κρατύνειν καὶ συνιστᾶν τὰ νόμιμα καὶ δίκαια, καὶ τῶν ἀδίκως ἐπηρεαζομένων προΐστασθαι, καὶ ὥσπερ στάθμῃ τινὶ τῇ κανονικῇ ἀκριβείᾳ καὶ τῇ τῶν νόμων εὐθυδικίᾳ ἐξομαλίζειν καὶ διορθοῦν πᾶν ἀνίσουν καὶ ἀνώμαλον καὶ τοῖς νόμοις ἀπᾶδον, γράφοντες διὰ τοῦ παρόντος ἀποφαινόμεθα συνοδικῶς ἵνα ὁ διαληφθεὶς Κώνστας, ὡς μὴ στέργων πληρῶσαι τὸ διωρισμένον ἐκ τῶν νόμων τοῖς παραιτουμένοις καὶ μεταμελομένοις πρόστιμον, ἤτοι τὸν διπλοῦν ἀρραβῶνα, ὑπάρχῃ ἀνεπικλήτως λελυμένος ἀπὸ τῆς διὰ ψιλῶν συμφώνων προβεβηκυίας μετὰ τῆς ῥηθείσης Ἀλεξάνδρας μνηστείας, ὡς δὲ ἀδίκως ὑποπεσὼν ταῖς ὅπως δήπως κατ' αὐτοῦ καὶ τῆς μητρὸς καὶ τῶν ἀδελφῶν καὶ συγγενῶν αὐτοῦ ἐκφωνηθείσαις ἀραῖς ἐν τῇ πολιτείᾳ ὑμῶν ταύτῃ

καὶ ἐκκλησιαστικοῖς ἐπιτιμίοις, ὑπάρχῃ αὐτός τε ὁ Κώνστας καὶ οἱ μετ' αὐτοῦ πάντες συγγενεῖς καὶ οἰκεῖοι συγκεχωρημένοι.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου σελ. 257—258.

ΟΕ'.

ΙΕΡΕΜΙΟΥ ΤΟΥ ΑΠΟ ΚΑΙΣΑΡΕΙΑΣ

Κληρονομία ἀνδρὸς ἀτέκνου καὶ ἀδιαθέτου θανόντος καὶ καταλιπόντος γυναῖκα καὶ ἀδελφοὺς κληρονόμους, καὶ τῆς γυναικὸς διὰ τὸ ἐπιληπτικὸν πάθος μὴ δικαιουμένης λαβεῖν τὸ διὰ φυλακὴν χηρείας νενομισμένον τεταρτημόριον καὶ διορισμὸς εὐλογοφανὴς περὶ τούτων.

Ἱερώτατε μητροπολῖτα Ἰωαννίνων, ὑπέρτιμε καὶ ἔξαρχε Κερκύρας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς, καὶ χρήσιμοι ἄρχοντες τῆς πολιτείας ταύτης, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ, εὐχὴ δὲ καὶ εὐλογία καὶ συγχώρησις παρ' ἡμῶν. Ὁ Κωνσταντῖνος καὶ ὁ Πάνος οἱ αὐτάδελφοι καὶ υἱοὶ τοῦ Θεοδοσίου, ἀνέφερον ἡμῖν, ὡς εἶχον γνήσιον ἀδελφὸν τὸν Ἰωάννην τοῦ Θεοδοσίου, οὗτινος αἰφνιδίῳ θανάτῳ, ἀπὸ ἐπισυμβάντος ἀποπληκτικοῦ πάθους, ἀτέκνου καὶ ἀδιαθέτου ἀποθανόντος, ἔμειναν κληρονόμοι ἐκείνου κατὰ νόμους οἱ εἰρημένοι δύο αὐτάδελφοι, ὑπελείφθη δὲ καὶ ἡ γυνὴ ἐκείνου Ἀλεξάνδρα ὀνόματι· διαφορᾶς δὲ ἀναφανείσης καὶ συζητήσεως μεταξὺ τῶν εἰρημένων, τῆς τε γυναικὸς καὶ τῶν ἀδελφῶν, περὶ τοῦ ἀνήκοντος ἑκατέροις δικαίου, ἀπὸ τῆς τοῦ θανόντος τούτου Ἰωάννου περιουσίας, ἀνηνέχθη τὰ κατ' αὐτοὺς τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ, καὶ ἐζητήθη γενέσθαι τὸν ἀνήκοντα

τούτοις διορισμὸν, κατά γε τὴν τῶν θείων νόμων καὶ ἱερῶν κανόνων ἀκρίβειαν· καὶ ἐπειδὴ ἐκ μέρους μὲν τῆς ῥηθείσης Ἀλεξάνδρας, ὑποσχομένης φυλάττειν χηρείαν εἰς τὸ ἑξῆς παντελῆ, πρὸς τῇ ἀποκαταστάσει τῆς προικὸς αὐτῇ; καὶ τῶν πρὸ γάμου δωρεῶν, προὔβάλλετο καὶ ἐζητεῖτο μέρος κληρονομίας τὸ τοῖς νόμοις διοριζόμενον ἐκ τῆς τοῦ ἀνδρὸς περιουσίας τῇ μὴ δευτερογαμούσῃ γυναικὶ, ἐκ δὲ τοῦ μέρους τῶν δύο ἀδελφῶν καὶ κληρονόμων προὔβάλλετο εἰς δικαιολογίαν, μὴ δι' ἀρετὴν καὶ ἀγαθὴν προαίρεσιν γίνεσθαι τὴν προβαλλομένην ὑπὸ τῆς Ἀλεξάνδρας ὑπόσχεσιν τῆς χηρείας, ἀλλὰ διὰ τὴν ἀνάγκην τοῦ ἐνόντος αὐτῇ ἀρχαίου ἐπιληπτικοῦ πάθους τε καὶ νοσήματος, δι' ὃ μὴ δύνασθαι αὐτὴν, καὶ εἴπερ ἤθελεν, εἰς δεύτερον γάμον ἐλθεῖν, πασιδήλου οὔσης τῆς κατ' αὐτὴν ἀτυχίας, ταύτῃ τοι καὶ τὴν ἀνάγκην φασὶν αὐτὴν ποιεῖσθαι φιλοτιμίαν ἐφ' ᾧ πρόφασις αὐτῇ γένηται κέρδους. Τοῦ οὖν προβλήματος καὶ ζητήματος τούτου συνοδικῶς κοινολογηθέντος, καὶ συνῳδὰ ταῖς νομικαῖς διατάξεσι γυμνασθέντος, ἐπειδὴ παραστάντες μάρτυρες ἐπὶ συνόδου ἐκ τῶν αὐτόθεν χριστιανῶν, ὅ τε Μάνος ῥάπτης καὶ ὁ Γεώργιος τοῦ . . . . .* καὶ ἐρωτηθέντες δι' ἐκφωνήσεως ἐπιτιμίων εἰπεῖν καὶ ὁμολογῆσαι τὴν ἀλήθειαν, ἐμαρτύρησαν ἐν φόβῳ Θεοῦ τὴν ῥηθεῖσαν Ἀλεξάνδραν πρὸ χρόνων πολλῶν, καὶ ἐξ αὐτῆς τῆς τοῦ γάμου προκατάρξεως, τῷ ἐπιληπτικῷ τούτῳ κατέχεσθαι πάθει, καὶ συνεχῶς ἐκ περιόδου ὑπ' αὐτοῦ ἐνοχλεῖσθαι, καὶ ὅτι πολλάκις ὁ ῥηθεὶς σύζυγος αὐτῆς ποτὲ Ἰωάννης, δι' αἰτίαν τοῦ πάθους τούτου, ὁρμηθεὶς εἰς τὴν ἀπ' ἐκείνης διάλυσιν οἴκτῳ καμφθεὶς ἐδυσωπήθη ἀνέχεσθαι τῆς ἐν κακουχίᾳ συνοικήσεως ταύτης, καὶ ἑπομένως ἐπέφερον ἐγνωσμένον εἶναι τοῖς πᾶσι τὸ τοιοῦτον αὐτῆς ἀτύχημα· συνεπεράνθη ἐκ τῆς τοιαύτης αὐτῶν μαρτυρίας ἀνυπόσπαστον εἶναι τὴν τῆς χηρείας ὑπόσχεσιν· ταύτην γὰρ ὡς ἑκούσιον ἀρετῆς καὶ σωφροσύνης κατόρθωμα οἱ ἱεροὶ νόμοι ἀμειβόμενοι τῷ γέρατι τοῦ τῆς κληρονομίας τεταρτημορίου ἐτίμησαν, ἐν δὲ τοῖς ἀκουσίοις καὶ μὴ ἐφ' ἡμῖν κει-

* Χάσμα ἐν τῷ κώδηκι.

μένοις, ἔνθα οὔτε προαίρεσις ἐξετάζεται, οὔτε ἀρετὴ κατορθοῦται, ἐν τοῖς τοιούτοις, ὁμολογουμένως, οὔτε γέρας πρόκειται, οὔτε ἆθλα δίδοται. Τοιγαροῦν ἀπρακτησάσης τῆς εἰρημένης ἐπιπλάστου ὑποσχέσεως, καὶ διὰ τὸ ἀνένδεκτον ἀγεράστου καταλειφθείσης, ἐπειδὴ δίκαιον ἐκρίθη καθάπαξ καὶ εὔλογον παρὰ τῆς ἐκκλησιαστικῆς φιλανθρωπίας τὴν ῥηθεῖσαν Ἀλεξάνδραν μετὰ τὸ λαβεῖν τὰ κατὰ νόμους ὀφειλόμενα αὐτῇ δίκαια, καί τινος παραμυθίας τυχεῖν, ἐπισκέψεώς τε καὶ περιθάλψεως, καὶ εὐπορίας τῶν πρὸς τὸ εὐκόσμως καὶ ἐν ἀνέσει ζῆν ἀναγκαίων, ἀπεφάνθη κατὰ συνοδικὴν διάγνωσιν παρ' ἡμῶν λαβεῖν κατὰ πρῶτον μὲν σῶαν αὐτῆς τὴν γεγραμμένην κατὰ διατίμησιν προῖκα, ἤτοι τὰς ἐννενήκοντα χιλιάδας τῶν ἄσπρων, εἶτα καὶ τὰς πρὸ γάμου δωρεάς, ὡς καὶ αὐτὰς ἐχούσας κατὰ νόμους τὸ κῦρος καὶ τὴν ἰσχύν. Τὰς δὲ μετὰ γάμον γενομένας εἰς αὐτὴν παρὰ τοῦ ἀνδρὸς δωρεάς, ἐπειδὴ αἱ νομικαὶ διατάξεις ἀκύρους εἶναι διακελεύουσι, φάσκουσαι ῥητῶς, ὡς ἡ μεταξὺ ἀνδρὸς καὶ γυναικὸς δωρεὰ οὐκ ἔρρωται, καὶ τὰς αἰτίας ἐκτιθεῖσαι, δι' ἃς ἔχειν τὸ κῦρος αὐτοὺς οὐκ ἠξίωσε ταύτας ἀποκατασταθῆναι τοῖς ἀδελφοῖς καὶ κληρονόμοις ἀποφαινόμεθα, ἐκτὸς εἰ μήπου ἀποδειχθεῖεν ἐξ αὐτῶν ἰδικά τινα αὐτῆς ὄντα καὶ ἄλλοθέν ποθεν λεγατευθέντα· ταῦτα γὰρ μένειν ὀφείλουσι παρ' αὐτῇ μετὰ τὴν ἀπόδειξιν, ὁμοῦ μετὰ τῶν ἀναγκαίων καὶ χρειωδῶν καὶ προσηκόντων αὐτῇ ἐνδυμάτων· ἐπεὶ δὲ τὸ διωρισμένον ταῖς χηρείαν φυλαττούσαις μέρος ἐκ τῆς τοῦ ἀνδρὸς περιουσίας ψηφίσασθαι ἐξ ὁλοκλήρου τῇ ῥηθείσῃ Ἀλεξάνδρᾳ οὐκ ἦν δίκαιον, διὰ τὴν ῥηθεῖσαν αἰτίαν τοῦ πάθους, καὶ τὸ τῆς χηρείας ἀκούσιον, καὶ τὸ τῆς ὑποσχέσεως ἀνυπόστατον· τὸ δ' αὖ πάλιν ἐκ διαμέτρου καταλιπεῖν αὐτὴν εἰς τὸ παντελὲς ἀπαραμύθητον οὐκ ἦν τῆς ἐκκλησιαστικῆς φιλανθρωπίας, δεῖν ἔγνωμεν μέσως πως καὶ μετρίως διαιτῆσαι τὸ πρᾶγμα, πόρρω ὑπερβολῆς καὶ ἐλλείψεως· καὶ δῆτα ἀπεφηνάμεθα καὶ διωρισάμεθα τὴν ῥηθεῖσαν Ἀλεξάνδραν μετὰ τὸ λαβεῖν τὰς ῥηθείσας ἐννενήκοντα χιλιάδας τῶν ἄσπρων διὰ τὴν προῖκα, καὶ τὰς πρὸ γάμου δωρεὰς μετὰ τῶν

ἀναγκαίων ἐνδυμάτων, λαμβάνειν αὐτὴν ἔτι ἑκατὸν εἴκοσι χιλιάδας τῶν ἄσπρων ἐκ τῆς τοῦ ἀνδρὸς αὐτῆς περιουσίας, διὰ σωματικὴν αὐτῆς περίθαλψιν καὶ ζωοτροφίαν, ὡς ἀρκούσης ἀποχρόντως τῆς τοσαύτης ποσότητος εἰς τὴν εὔκοσμον καὶ ἐν ἀνέσει αὐτῆς τοῦ βίου κυβέρνησιν, τὰς μὲν ἑξήκοντα χιλιάδας παρακρατοῦσαν ἐκ τῶν μετὰ γάμου γενομένων αὐτῇ δωρεῶν, τὰς δὲ λοιπὰς ἑξήκοντα χιλιάδας τῶν ἄσπρων λαμβάνουσαν ἐκ τῆς ἄλλης τοῦ ἀνδρὸς περιουσίας, τὴν δὲ λοιπὴν ἁπαξάπασαν περιουσίαν τοῦ θανόντος τούτου Ἰωάννου, κινητὴν καὶ ἀκίνητον, εἴτε ἐν μετρητοῖς, εἴτε ἐν κτήμασι καὶ παντοδαποῖς πράγμασι, τζεβαχερικῶν, μαλαγματικῶν, καὶ λοιπῆς οσπητιακῆς ὕλης εἰδῶν ὁμοῦ μετὰ τῶν μετὰ γάμου δωρεῶν, ὅσα τε εἶχεν ἐν χρήσει ἡ ῥηθεῖσα Ἀλεξάνδρα (ἐκτὸς τῶν προσεχῶς αὐτῇ διορισθέντων παρακρατεῖν μέχρι τῶν ἑξήκοντα χιλιάδων), καὶ ὅσα ἐφυλάττοντο ἀπόθετα καὶ τεταμιευμένα, ἔτι καὶ ὅσα εὑρίσκονται αὐτόθι εἰς Ἰωάννινα, ἢ ἀλλαχόθι εἰς πραγματείαν ἀπεσταλμένα, καὶ χρεωστούμενα ἢ δι' ὁμολογιῶν, ἢ συντροφικῶς, ἢ ὁπωσοῦν ἄλλως, καὶ ὄντα ἐκ τῆς περιουσίας τοῦ ῥηθέντος ποτὲ Ἰωάννου, ταῦτα πάντα ἔχωσι λαμβάνειν καὶ κληρονομεῖν ἀναμφιβόλως οἱ ῥηθέντες δύο ἀδελφοὶ καὶ κληρονόμοι αὐτοῦ. Ὅθεν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων (κλπ. ὡς συνήθως), ἵνα τῆς συνοδικῆς ἡμῶν καὶ ἐκκλησιαστικῆς ἀποφάσεως ταύτης, σὺν τῷ δικαίῳ, ἅμα τε καὶ φιλανθρώπῳ ἐξενεχθείσης προνοίᾳ, τοῦ μήτε τοὺς γνησίους ἀδελφοὺς καὶ κληρονόμους ἀδικηθῆναι, καὶ τὴν ῥηθεῖσαν Ἀλεξάνδραν τῆς δυνατῆς παραμυθίας ἀξιωθῆναι, λαβοῦσαν τὰς ἐννενήκοντα χιλιάδας τῆς προικὸς ὁμοῦ μετὰ τῶν πρὸ γάμου δωρεῶν καὶ τῶν ἀναγκαίων ἐνδυμάτων, ἔτι δὲ καὶ τὰς ἑκατὸν εἴκοσι χιλιάδας, ἀντὶ τοῦ ἀνήκοντος αὐτῇ μέρους, κατὰ τὸν διορισθέντα τρόπον, καὶ μηδὲν ἄλλο περαιτέρω ἐπιζητοῦσαν, καὶ διὰ τοῦτο ὀφειλούσης ἔχειν πάντως τὸ κῦρος καὶ τὴν ἰσχὺν βεβαίαν καὶ ἀμετάθετον. Ὅστις καὶ ὁποῖος τολμήσῃ φανῆναι ἀπειθὴς καὶ ἐναντίος τοῖς ἐν τῷ παρόντι συνοδικῶς ἀποφα-

σισθεῖσί τε καὶ διορισθεῖσιν, εἴτε οἱ ῥηθέντες κληρονόμοι, εἴτε ἡ ῥηθεῖσα Ἀλεξάνδρα, εἴτε τις συγγενὴς ὢν αὐτῶν, ἢ ξένος, καὶ θελήσῃ ἀνατρέψαι τὸν γεγονότα τοῦτον ἐκκλησιαστικὸν διορισμὸν ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος (ἕπονται καθεξῆς αἱ συνήθεις τότε αὐστηρόταται ἀραί). Οὕτω γενέσθω καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως.

͵αψλγ΄. Ἐν μηνὶ Ἰουνίῳ. Ἰνδικτιῶνος ΙΑ΄.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 192—194.

ΟϚ΄.

ΝΕΟΦΥΤΟΥ ΤΟΥ ΑΠΟ ΚΑΙΣΑΡΕΙΑΣ

Κατὰ προικοδοσιῶν.

«Τοιαύταις οἰκονομίαις ἐχρήσατο ἡ Ἐκκλησία καὶ περὶ τῆς παρεισφρησάσης εἰς Κωνσταντινούπολιν ἀτάκτου καὶ ὑπερόγκου προικοδοσίας. Καὶ γὰρ πρὸς διακώλυσιν τῆς κοινοβλαβοῦς ταύτης συνηθείας δὶς κατὰ τοὺς προπαρελθόντας χρόνους ἤτοι ἐπὶ τοῦ ἀειμνήστου πατριάρχου κυροῦ Νεοφύτου τοῦ πάλαι, καὶ ἐπὶ τοῦ ἀειμνήστου πατριάρχου κυροῦ Σαμουὴλ ἐξέδωκε φρικτὰ πατριαρχικὰ καὶ συνοδικὰ ἐπιτίμια» κτλ.

Σημ. Γράμμα Γερμανοῦ Δ΄ τοῦ ἀπὸ Δέρκων (1841), ὅπερ ἴδε ἐν τῇ σειρᾷ τῶν «Κανονικῶν» τούτων «διατάξεων». Ἄγνωστον πότε ἀπελύθη τὸ τοῦ Νεοφύτου γράμμα περὶ προικοδοσιῶν, διότι ὁ Νεόφυτος ἐκόσμησε τὸν οἰκουμενικὸν θρόνον δίς· ἀπὸ τοῦ 1734=1740 καὶ μεταξὺ τῶν ἐτῶν 1743—1744.

ΟΖ΄.

ΤΟΥ ΑΥΤΟΥ ΝΕΟΦΥΤΟΥ

Μοραβικῶν τῶν καὶ Θεοφυλακτικῶν καλουμένων τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ προσδραμόντων ὡς ὁμοφωνούντων ἡμῖν περὶ τὸ σέβας, σύστασις εἰς τοὺς λοιποὺς πατριάρχας εἰς τὸ ἀποδέχεσθαι αὐτοὺς ὡς εὐσεβεῖς καὶ ὀρθοδόξους.

Τοῖς Μακαριωτάτοις καὶ ἁγιωτάτοις τῷ τε πάπᾳ καὶ πατριάρχῃ τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ πάσης γῆς Αἰγύπτου κυρίῳ κυρίῳ Κοσμᾷ, καὶ τῷ τῆς μεγάλης Θεουπόλεως Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς*, καὶ τῷ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης τε Συρίας τε καὶ Ἀραβίας κυρίῳ κυρίῳ Παρθενίῳ, καὶ τοῖς ὑποτελοῦσιν ἱερωτάτοις μητροπολίταις καὶ θεοφιλεστάτοις ἐπισκόποις τοῖς ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητοῖς ἡμῶν συναδελφοῖς καὶ συλλειτουργοῖς τὸν ἐν Χριστῷ ἀσπασμόν.

Μητρὸς φιλοστόργου δίκην ἡ καθ' ἡμᾶς Ἁγία Ἀνατολικὴ τοῦ Χριστοῦ Ἐκκλησία ἡ μεγαλυνομένη τῇ τοῦ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου ἀξίᾳ πρὸς πάσας τὰς ἁπανταχοῦ Ἐκκλησίας καὶ παροικίας τῶν εὐσεβῶν ἔργον τελοῦσα, ὅσαι Χριστοῦ χάριτι σώζονται καὶ ἀνθοῦσιν ἐν τοῖς παροῦσι καιροῖς καὶ τὸ καθ' ἡμᾶς ἱερὸν σέβας τῆς ἀμωμήτου πίστεως ἐν τῇ ταυτότητι τῶν δογμάτων καὶ τῆς εὐσεβείας πρεσβεύουσιν, οὐ διαλείπει κατὰ πάντα καιρὸν τὰ τῆς φιλοστοργίας αὐταῖς ἐπιδεικνύειν, καὶ ἀντιλαμβάνεσθαι διὰ τῆς ἐν Χριστῷ ἀγάπης καὶ ἀδελφότητος τῶν οἰκείων μελῶν, ἐφ' ᾧ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν σώζειν τὴν ἑαυτῆς

* Οὐ σημειοῦται τὸ ὄνομα τοῦ πατριάρχου τῆς Ἀντιοχείας· ἦν δὲ τηνικαῦτα ὁ Σίλβεστρος.

ὁλομέλειαν καὶ τὸ ὀρθόδοξον τῶν χριστιανῶν σύστημα, συνεργοῦντος καὶ ἐνδυναμοῦντος τοῦ Κυρίου, ἐπιδιδόναι εἰς αὔξησιν τῆς ἀληθοῦς ἐν τῇ τοῦ Θεοῦ λατρείᾳ ἐπιγνώσεως· καὶ δῆτα καὶ τὴν ἐν τῇ Βοεμίᾳ καὶ Μοραβίᾳ συγκροτηθεῖσαν κοινότητα τῶν ἀδελφῶν τῶν Μοραβικῶν καὶ Θεοφυλακτικῶν καλουμένων ἀναμαθόντες καὶ πληροφορηθέντες τέως ἄνωθεν μὲν καὶ ἐκ πρώτης αὐτοῖς ἐν τῇ εὐσεβείᾳ προκατάρξεως, ἐξ ὅτουπερ τὸ κήρυγμα τοῦ εὐαγγελικοῦ ἐδέξαντο λόγου, ἀρχηγοὺς καὶ διδασκάλους ἐσχηκέναι τοὺς ἐν τῷ καθ' ἡμᾶς ἑλληνικῷ γένει τῆς ἀνατολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐπὶ εὐσεβείᾳ καὶ διδασκαλίᾳ ἠκμακότας κατ' ἐκεῖνο καιροῦ, καὶ τὰ πρῶτα σπέρματα τῆς ὀρθοδόξου καὶ ἀμωμήτου πίστεως ἡμῶν ἐκεῖσε καταφυτεύσαντας, διαγενέσθαι δ' αὐτοὺς ἄχρι τοῦδε ἐπιμένοντας τῇ αὐτῇ πίστει καὶ ἀποστολικῇ διδασκαλίᾳ εἰς ὅσαπερ ἀφορῶσι πρὸς τὰ δογματικά τε καὶ καίρια καὶ κεφαλαιώδη τῆς εὐσεβοῦς ἡμῶν πίστεως, εἰ καί τί πως ἐν ταῖς τελεταῖς καί τισιν ὀργιασμοῖς τε καὶ παραδόσεσι τῆς ἀρχαίας ἡμῶν Ἐκκλησίας διὰ τὰς τοῦ καιροῦ περιστάσεις καὶ τὰς τῶν ἐναντίων βίας τε καὶ ἐπιδρομὰς τὸ παρηλλαγμένον ἐσχήκασι, καθὼς ἀπὸ τῶν πεμφθέντων ἐκεῖθεν ἤδη ἡμῖν ἐγγράφων διὰ τοῦ τιμίου Ἀρβίδου Γραδίνου δῆλον γίνεται, δι' ὧν ἥ τε κατ' αὐτοὺς ἱστορία, καὶ ἡ τῆς πίστεως ἐν τοῖς καιρίοις καὶ δογματικοῖς ἀνόθευτος καὶ ἀπαράτρεπτος αὐτῶν ὁμολογία ἐναργῶς παρίσταται, πρεσβευόντων μὲν καὶ ἀποδεχομένων εὐσεβοφρόνως τὰ τῆς ἀρχαίας ἡμῶν Ἀνατολικῆς Ἐκκλησίας, ὑποσχομένων δὲ καὶ ὁποί ποτ' ἂν γένοιντο τῷ τύπῳ παρακολουθεῖν τῆς ὑγιαινούσης καὶ ὀρθῆς ἀνατολικῆς τοῦ τῶν ἑλλήνων γένους ὀρθοδόξου διδασκαλίας, ἔν τε τοῖς ἱεροῖς δόγμασι καὶ ταῖς λοιπαῖς ἐκκλησιαστικαῖς παραδόσεσι καὶ τῇ τῶν ἱερῶν μυστηρίων λειτουργίᾳ, καὶ ἐπὶ τούτοις ἀξιούντων ἡμᾶς τὴν ἕνωσιν καὶ κοινωνίαν αὐτῶν τῆς πίστεως ἀποδεξαμένους, μετὰ τῆς καθηκούσης ἀγάπης, ἐκ τῶν ἐνόντων συνηγορῆσαι, ὡς ἀδελφοῖς συστῆσαί τε καὶ γνωρίσαι τούτους πρὸς τὰς ἁπανταχοῦ κατὰ τὴν Ἀνατολὴν Ἐκκλησίας, καὶ

τοὺς ἐν αὐταῖς προϊσταμένους. Τοιγαροῦν ἐπὶ τῇ τοιαύτῃ αὐτῶν ὑποσχέσει, ὡς ἐπὶ ἀρραγεῖ θεμελίῳ, τοῦ τὴν ὑγιαίνουσαν πίστιν τὴν εἰς Χριστὸν καὶ τὴν ὀρθόδοξον αὐτοῦ Ἐκκλησίαν διασώζεσθαι πάντῃ ἀνόθευτον καὶ κηρύττεσθαι διὰ τῆς ὀρθῆς τοῦ εὐαγγελικοῦ λόγου διδασκαλίας, ἥτις ἔσχε μὲν τὴν ἀρχὴν ἀπ' αὐτοῦ τοῦ Σωτῆρος Χριστοῦ καὶ τῶν θείων αὐτοῦ μαθητῶν καὶ ἀποστόλων, ἐσφραγίσθη δὲ ὑπὸ τῶν συγκροτηθεισῶν οἰκουμενικῶν ἑπτὰ συνόδων, ὑφ' ὧν ἐξεδόθη καὶ τὸ ἱερὸν τῆς πίστεως ἡμῶν σύμβολον, τὸ ἀνόθευτον καὶ χωρὶς τῆς προσθήκης ὑπὸ τῶν ἑλλήνων χριστιανῶν ὁμολογούμενον καὶ ἐκφωνούμενον, ὅσα τε ἐν δόγμασιν εὐσεβοφρόνως πιστεύεται, τὴν μὲν θείαν φύσιν ἐν τριάδι ὑποστάσεων καὶ μονάδι οὐσίας προσκυνουμένην Πατρί, Υἱῷ τε καὶ Πνεύματι, καὶ τὸν μὲν Πατέρα μόνον αἴτιον, γεννήτορά τε καὶ προβολέα, τὸν δὲ Υἱὸν αἰτιατόν, ὡς ἐκ τοῦ Πατρὸς ἀϊδίως γεννώμενον, καὶ τὸ Πνεῦμα αἰτιατόν, ὡς ἐκ τοῦ αὐτοῦ Πατρὸς μόνον ἀϊδίως ἐκπορευόμενον· ὅσα τε τῆς οἰκονομίας, καθ' ἣν τὸν Υἱὸν καὶ λόγον τοῦ Θεοῦ ὁμολογοῦμεν ἐνανθρωπήσαντα δι' ἡμᾶς καὶ τέλειον ὄντα Θεόν, τέλειον ἄνθρωπον γενέσθαι τῇ καθ' ὑπόστασιν ὑπερφυεῖ ἑνώσει· ὅσα τε ἁγιστεύεται περὶ τῶν ἑπτὰ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας μυστηρίων καὶ λοιπῶν ἐκκλησιαστικῶν παραδόσεων, ἀποπεμπομένης καὶ ἐκβαλλομένης μακρὰν πάσης καινοτομίας καὶ νεωτερικῆς διδασκαλίας, ὅση διὰ σοφισμάτων ἐριστικῶν καὶ φρενοβλαβοῦς ἀπάτης τὴν ἀρχαίαν τοῦ Χριστοῦ Ἐκκλησίαν μίαν οὖσαν ἐν τῇ πίστει σχισθῆναι καὶ διαιρεθῆναι κακομηχάνως πεποίηκεν. Ἐπὶ τῇ τοιαύτῃ τοιγαροῦν ὑγιαινούσῃ καὶ ὀρθῇ τῆς ὀρθοδόξου πίστεως ἡμῶν ὁμολογίᾳ τε καὶ διδασκαλίᾳ, ἀπταίστῳ συστοιχούσῃ καὶ συμβαινούσῃ ὁμοφώνως τῷ τύπῳ καὶ τοῖς κανόσι καὶ τῇ παραδόσει τῆς Ἀνατολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καθὼς οἱ τοῦ ἡμετέρου γένους ἕλληνες ὀρθόδοξοι χριστιανοὶ ἄνωθεν παρέλαβον καὶ φρονοῦσι καὶ πιστεύουσι κηρυττομένης καὶ πιστευομένης καὶ ὑπὸ τῶν ῥηθέντων Μοραβικῶν καὶ Θεοφυλακτικῶν ἀδελφῶν, προτρέπομεν ἐν παρακλήσει ἀδελφικῇ καὶ τὴν ὑμῶν Μακαριότητα καὶ ἱερότητα,

ὅπως τοὺς ἐκεῖθεν προσερχομένους ἀδελφοὺς χάριν περιηγήσεως, καὶ ἐν τῇ ἀμωμήτῳ ἡμῶν πίστει, κατὰ τὸν ἐν συνόψει ἐκτεθέντα τύπον, μὴ παραλλάττοντας, καὶ ἐν τοῖς καιρίοις καὶ δογματικοῖς τὸ ἀκριβὲς φυλάττοντας, καὶ τὴν ἱερὰν λειτουργίαν καὶ τὰς τελετὰς κατὰ τὸ ἔθος τῆς Ἀνατολικῆς ἡμῶν Ἐκκλησίας ἐκτελοῦντας, ἀποδοχῆς ἀξίους ἡγούμενοι μετὰ τῆς προσηκούσης ἀγάπης, ὡς ἀδελφοὺς ἐν τῇ πίστει προσλαμβάνητε, καὶ τὴν ἐνοῦσαν βοήθειαν καὶ περιποίησιν ἐπιδεικνύητε πρὸς καταρτισμὸν τῆς εὐσεβοῦς ἡμῶν πίστεως καὶ τοῦ χριστωνύμου πληρώματος· καὶ γὰρ ἀποστολικῶς ἐδιδάχθημεν ἀλλήλους προσλαμβάνεσθαι καὶ ὑπὲρ ἀλλήλων μεριμνᾶν, καὶ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν σπουδάζειν καταρτίζειν ἐκ τῶν ἐνόντων εἰς μίαν ἑνότητα καὶ κοινωνίαν πίστεως, κεφαλὴν ἔχουσαν καὶ ἀρχιποίμενα καὶ ἄκρον ἀρχιερέα αὐτὸν τὸν Σωτῆρα Χριστόν, οὗ ἡ χάρις εἴη μετὰ πάντων ὑμῶν. ͵αψμ΄.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 102—103.

ΟΗ΄.

ΠΑΪΣΙΟΥ ΤΟΥ ΑΠΟ ΝΙΚΟΜΗΔΕΙΑΣ

Βεβαιωτικὸν διαθήκης ἀτελοῦς μὴ ὑπογραφείσης διὰ ἐφεστώσας πολεμικὰς ἀνάγκας· κατασκευάζεται δὲ νομικαῖς ἀποδείξεσιν.

Παΐσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε μητροπολῖτα Οὐγγροβλαχίας, ὑπέρτιμε καὶ ἔξαρχε Πλαγηνῶν, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, καὶ ὁσιώτατοι καθηγούμενοι τῶν αὐτόθι ἱερῶν καὶ σεβασμίων μοναστηρίων, εὐγενέστατοι ἄρχοντες καὶ χρήσιμοι πραγ-

ματευταί, καὶ λοιποὶ ἀπαξάπαντες εὐλογημένοι χριστιανοὶ τῆς θεοσώστου πολιτείας καὶ αὐθεντικῆς ταύτης τζάρας· χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ, εὐχὴ δὲ καὶ εὐλογία καὶ συγχώρησις παρ' ἡμῶν. Τοῖς τῇ χριστωνύμῳ προσηγορίᾳ σεμνυνομένοις, καὶ χριστιανικῶς πράττειν καὶ πολιτεύεσθαι ἐπανηρημένοις ἐπάναγκες δήπουθεν καὶ τοῖς χριστιανῶν νόμοις εἴκειν καὶ ὑποτάσσεσθαι, καὶ τούτοις συνῳδὰ τὸν ἑαυτῶν βίον οἰκονομεῖν, ὅσους δηλαδὴ ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία, καὶ τὰ τῶν εὐσεβῶν βασιλέων θεσπίσματα, ἥ τε τῶν ἱερῶν Συνόδων διάγνωσις εὐσεβοφρόνως καὶ ὁσίως διετάξαντο καὶ ἐθέσπισαν· τὰ γὰρ ὅσια ὁσίως γίνεσθαι ἡ ἀποστολικὴ σάλπιγξ διατόρως βοᾷ. Ταύτῃ τοι καὶ ἡ κοινὴ μήτηρ πασῶν τῶν ἐκκλησιῶν, ἡ τῇ τῆς πατριαρχικῆς περιωπῆς καὶ τοῦ οἰκουμενικοῦ θρόνου ἀξίᾳ καὶ κοσμιότητι κεκοσμημένη, καὶ ὡς ἐξ ὑπερδεξίου χώρου περισκοποῦσα τὰς πέριξ ἁπανταχοῦ ἐκκλησίας, τάς τε συμπιπτούσας ἐν αὐταῖς ὑποθέσεις καὶ χρείας, ὅσαι κατὰ καιροὺς πρὸς αὐτὴν ἀναφέρονται τῆς ἐκ τῶν νόμων θεραπείας ἐπιδεόμεναι, ἀνακρίνουσα καὶ θεωροῦσα νομίμως κατὰ τὰ ἅπερ ἔλαχεν ἀνέκαθεν προνόμια ὁ καθ' ἡμᾶς οἰκουμενικὸς οὗτος θρόνος, ἐπιβάλλειν ταῖς ἁπανταχοῦ ἐπαρχίαις καὶ παροικίαις, οὐ παραιτεῖται ἐμμελῶς ἄγαν καὶ πεφροντισμένως διευθετεῖν, ὅσαπερ στάθμῃ τινὶ τῇ τῶν ἱερῶν νόμων ἀκριβείᾳ καὶ ἀναπτύξει, τὰ εἰς σκέψιν καὶ ἔρευναν προκείμενα τῶν ὀρθοδόξων αἰτήματα, καὶ πρὸς τὸ δίκαιον ἀπευθύνειν καὶ ἐξομαλίζειν τὰς ἐνούσας αὐτοῖς σκολιότητας, ὑπ' ὄψιν καὶ εἰς φῶς ἄγουσα, εἴτι λανθάνον πρόσεστιν, ὡς ὑπὸ παραπετάσματι καιρικῇ τινι περιπετείᾳ κεκαλυμμένον, τοὺς μὴ ἐξηκριβωκότας τῆς ἱερᾶς νομοθεσίας τὸν νοῦν· ἐπεὶ γὰρ τὸ καθ' αὑτὸ καὶ προηγουμένως τοῖς θείοις νόμοις σκοπούμενον ἡ τοῦ δικαίου ἐστὶ φυλακή. Συντρέχουσι δ' ἐπὶ τούτῳ συνθῆκαι καὶ ὅροι, μεθ' ὧν ὀφείλει διεκπεραίνεσθαι, ἀντεπάγονται δ' αὖ καιροὶ καὶ περιπέτειαι, κατ' ἀνάγκην ἐνίοτε τὴν τῶν ὅρων λύσιν ἐπάγουσαι, φιλανθρώπως ἄγαν καὶ κηδεμονικῶς οἱ ἱεροὶ νομοθέται πρὸς τὰς τοιαύτας τοῦ καιροῦ ἀποβλέποντες ἀνάγκας καὶ περιστά-

σεις, καὶ τοῦ δικαίου προηγουμένως φροντίζοντες, ἀμφοτέροις τὴν θεραπείαν νομίμως ἀποδιδόασιν, οὔτε τοὺς ὅρους πάντη ἀνατρέποντες, καὶ τῇ ἀνάγκῃ ἐνδιδόντες, ὧν τῇ διαιτήσει καὶ ψήφῳ συστοιχοῦντες καὶ ἡμεῖς, οἱ τέως, θείῳ ἐλέει, τὴν κοινὴν προστασίαν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐμπεπιστευμένοι, τὰς ἐμφανιζομένας καὶ προσαγομένας ἡμῖν παρὰ τῶν ἁπανταχοῦ εὐσεβῶν ὑποθέσεις συμφώνως τοῖς ἱεροῖς νόμοις ἀναπτύσσοντες, διορθοῦν καὶ θεραπεύειν αὐτάς, καὶ ἀποκαθιστᾶν κατὰ χώραν τὸ δίκαιον οὐ παραιτούμεθα. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ εἰς τὰ αὐτόθι εὑρισκόμενος ἄρχων μεδελνιτζιάρης ποτὲ Πανταζῆς, ἐν τῷ τῆς προλαβούσης ἐξ ἐπιδρομῶν καὶ ἐφόδων ἀλλεπαλλήλων πολεμικῶν, τῶν ὁμορουσῶν καὶ γειτνιαζουσῶν ἐπικρατειῶν κατὰ τὰ αὐτόθι μέρη ἀνωμαλίας καιρῷ, ἀπαχθέντων βίᾳ καὶ δυναστείᾳ καὶ ἄλλων τινῶν ἐντοπίων ἀρχόντων εἰς ὑπερόριον γῆν, φόβῳ τοῦ ἐπικειμένου κινδύνου, συναπῆλθε καὶ αὐτός, κἀκεῖσε ἐν ἀλλοτρίᾳ διάγων ἔλαβεν εἰς γυναῖκα νόμιμον τὴν ἀρχόντισσαν Σάφταν θυγατέρα τοῦ μακαρίτου Ραδουκάνου Κανтακουζηνοῦ, ἐπὶ συμφωνίᾳ προκεκυρωμένῃ τοῦ καταλιπεῖν αὐτὴν κληρονόμον μετὰ θάνατον αὐτοῦ· καὶ μετὰ τὸ συνοικῆσαι καιρόν τινα μετ' αὐτῆς, νόσῳ συσχεθείς, καὶ ἅμα τοῖς τοῦ ἐπικρατοῦντος δεινοῦ ἐνναλίου φόβοις καὶ κινδύνοις περικυκλούμενος, ἔχων τε ὑγιεῖς τὰς φρένας καὶ τὸν νοῦν, καὶ ἰδίᾳ θελήσει καὶ βουλῇ, προσκαλεσάμενος τὸν πνευματικὸν αὐτοῦ πατέρα, καὶ ἐξομολογησάμενος τὸν σκοπὸν αὐτοῦ καὶ τὴν γνώμην, ἔχων δὲ καὶ τὸν γραφέα αὐτοῦ παρόντα, ὑπηγόρευσε καὶ πεποίηκεν ἔγγραφον διαθήκην, ἐν ᾗ διαταξάμενος περὶ τῶν ὑπαρχόντων αὐτοῦ, ὅσα μὲν ἐκέκτητο ἐν τῇ πατρίδι αὐτοῦ κείμενα κτήματα καὶ ὑποστατικὰ ἀπὸ πατρικῆς καὶ συγγενῶν κληρονομίας αὐτῷ περιελθόντα, ἀφῆκεν εἰς τοὺς συγγενεῖς καὶ κληρονόμους αὐτοῦ· ὅσα δὲ αὐτὸς ἰδίοις πόνοις καὶ ἱδρῶσιν ἐκτήσατο ἴδια πεκούλια ὄντα, τούτων, διὰ τὴν ἐνοῦσαν ἀτεκνίαν, τὰ μὲν εἰς ἐλεημοσύνας καὶ εὐποιίας ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας καὶ μνημοσύνων διαταξά-

μενος· τὰ δὲ εἰς ἅπερ ἂν ἠβουλήθη πρόσωπα, λεγατεύσας τὴν ῥηθεῖσαν σύζυγον αὐτοῦ Σάφταν, κατὰ τὴν πρὸ γάμου συμφωνίαν αὐτοῦ, κληρονόμον ἁπλῶς μετὰ θάνατον αὐτοῦ εἰς ἅπασαν τὴν ἰδιόκτητον περιουσίαν, καὶ ἐπίτροπον καὶ κυβερνήτην τῶν ὧν ἀφῆκε λεγάτων καὶ ἐλεημοσυνῶν διωρίσατο καὶ οὕτως ἐτελεύτησεν. Εἶτα μετὰ θάνατον αὐτοῦ ἐλθὼν τὸ πρῶτον ὁ ἐκ πρώτης ἐξαδέλφης ἀνεψιὸς Ἀθανάσης, ἐπίτροπος ὢν διὰ γράμματος τοῦ θείου αὐτοῦ Παναγιώτου Πόπα, τοῦ καὶ πρώτου ἐξαδέλφου καὶ κληρονόμου πλησιεστέρου τυγχάνοντος τοῦ ῥηθέντος ποτὲ Πανταζῆ, ἐπὶ τῷ ζητῆσαι καὶ λαβεῖν ἐπιτροπικῶς τὸ ἀνῆκον τῷ Πόπᾳ τῆς κληρονομίας μερίδιον, κινήσας τε ἀγωγὴν ἐπὶ τοῦ αὐτόθι ἐκκλησιαστικοῦ κριτηρίου, καὶ τὴν ῥηθεῖσαν διαθήκην ὡς ἀτελῆ ἐπιμεμψάμενος, μὴ γυμνασθέντος τοῦ πράγματος ἀκριβέστερον τῇ τῶν περιστατικῶν συνδρομῇ, ἔτυχε φιλανθρωπότερον τοῖς ἐν τριμοιρίᾳ διαιτήσεως, καὶ ἐξισάσθη ἐπιτροπικῶς, συγκατανευσάσης καὶ τῆς ῥηθείσης Σάφτας τῷ ἐξισασμῷ τούτῳ οἰκονομηθέντι διὰ τὴν εἰρήνην, καὶ βεβαιωθέντι διὰ γραμμάτων ἐξοφλητικῶν· ἐν οἷς μετὰ τὴν ἐξόφλησιν, ὑπόσχεται ὁ αὐτὸς ἐπίτροπος Ἀθανάσης μένειν τοῦ λοιποῦ ἀκαταζήτητον πάντῃ καὶ ἀνενόχλητον τὴν διαληφθεῖσαν Σάφταν παρὰ παντὸς προσώπου. Ἀλλὰ μετὰ παρέλευσιν καιροῦ δυσαρεστηθεὶς ὁ ῥηθεὶς Πόπας, τῷ διὰ τοῦ ἰδίου ἐπιτρόπου γεγονότι τούτῳ ἐξισασμῷ, ἐκίνησεν αὖθις ἀγωγὴν, οὗ χάριν καὶ δεύτερον ἀνακριθείσης τε καὶ ἀναθεωρηθείσης ἐκκλησιαστικῶς εἰς τὰ αὐτόθι τῆς αὐτῆς ὑποθέσεως, ἐπειδὴ ἔφθασε συντελεσθῆναι πρότερον ἡ τῆς τριμοιρίας εὐλογοφανὴς δίαιτα, διὰ τὴν εἰρήνην, ὡς εἴρηται, πάλιν τὸν αὐτὸν τῆς εἰρήνης τρόπον ἐπικρίναντες καὶ οἱ δεύτερον ἐκκλησιαστικῶς συνελθόντες, ἀδείᾳ τοῦ κατ' ἐκεῖνο καιροῦ ὑψηλοτάτου καὶ θεοσεβεστάτου αὐθέντου καὶ ἡγεμόνος κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου Νικολάου Βοεβόδα, τοῦ κατὰ πνεῦμα υἱοῦ ἀγαπητοῦ καὶ περιποθήτου τῆς ἡμῶν μετριότητος, καὶ ὡς πρὸς τὸν Πόπαν φιλανθρωπίᾳ χρησάμενοι, ἐπεκύρωσαν τὴν προγεγενημένην τῆς τριμοιρίας δίαιταν νομικαῖς

διατάξεσι διὰ τοῦ ἐκδοθέντος ἐκκλησιαστικοῦ αὐτῶν γράμματος. Ὁ μέν τοι Πόπας ἐκ περιουσίας δύστροπος ὤν, καὶ ἀμφοτέραιν ταῖν διαίταιν, καὶ ταῦτα πρὸς χάριν αὐτοῦ γεγενημέναιν, μὴ ἐφησυχάσας, καὶ ἐκ τρίτου δι' ἐκκλήτου κεκίνηκεν ἀγωγὴν πρὸς τὸ καθ' ἡμᾶς οἰκουμενικὸν [πατριαρχικὸν] κριτήριον, ζητῶν ἀναθεωρηθῆναι καὶ παρ' ἡμῶν συνοδικῶς τε καὶ ἐκκλησιαστικῶς τὴν περὶ τῆς ῥηθείσης διαθήκης τοῦ ποτὲ Πανταζῆ κρίσιν καὶ ἔρευναν. Καὶ δὴ παραγενομένου αὐτοῦ εἰς τὰ ὧδε, πρὸ ἱκανοῦ ἤδη καιροῦ, παρὰ τῆς ῥηθείσης Σάφτας ἑτέρου προσώπου ἐπιτρόπου κατασταθέντος καὶ διορισθέντος ἐνταῦθα, ἐπὶ τῷ συμπαρασταθῆναι μετ' αὐτοῦ ἐπὶ τοῦ οἰκουμενικοῦ ἡμῶν κριτηρίου, καὶ κρισολογηθῆναι (καὶ κατὰ τὴν γενομένην πρὸς ἡμᾶς προτροπὴν, καὶ ἀξιώσει τοῦ ἤδη ὑψηλοτάτου καὶ θεοσεβεστάτου αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγγροβλαχίας κυρίου κυρίου Ἰωάννου Μηχαὴλ Ρακοβίτζα Βοεβόδα, τοῦ κατὰ πνεῦμα υἱοῦ ἀγαπητοῦ καὶ περιποθήτου τῆς ἡμῶν μετριότητος, δι' αὐθεντικοῦ καὶ παντίμου αὐτοῦ γράμματος διαμηνυθῆναι κατὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν τὸν ῥηθέντα Πόπαν, καὶ μὴ ἀπαντήσαντος ἀποπερατωθῆναι τοῦ λοιποῦ παρ' ἡμῶν διὰ συνοδικοῦ γράμματος τὴν ἐκ τοῦ νόμου δικαίαν ἀπόφασιν), διαμηνυθέντος πολλάκις, καὶ μετὰ πολλὰς διαμηνύσεις μὴ ἀπαντηκότος, ἀλλὰ φευγοδίκου ἀναφανέντος, καὶ τὴν ἣν κεκίνηκεν ἔκκλητον ἐθελοκάκως παραδιδόντος, δεῖν ἔγνωμεν καὶ ἡμεῖς συνοδικῇ διασκέψει δοῦναι πέρας τῷ πράγματι, καὶ μηκέτι ἐκ διαστροφῆς τοῦ ἀντιδίκου ἀναβάλλεσθαι τὸν ὁρισθέντα τῇ δίκῃ χρόνον. Κἀντεῦθεν ἀναπτύξαντες ἐπιμελῶς τὰς τῶν ἱερῶν νόμων καὶ βασιλικῶν θεσπισμάτων ψήφους καὶ ἀποφάσεις, καὶ ἀκριβέστερον γυμνάσαντες τὴν ὑπόθεσιν ταῖς τοῦ καιροῦ περιπετείαις, ταῖς ἐπιγενομέναις τῷ πράγματι, εὕρομεν τὴν ῥηθεῖσαν διαθήκην ὡς ἀληθῆ καὶ ἰδίαν βούλησιν τοῦ ποτὲ Πανταζῆ μαρτυρουμένην ἐνόρκως ὑπό τε τοῦ πνευματικοῦ αὐτοῦ πατρὸς, καὶ τοῦ γράψαντος ταύτην γραφέως, ἔχειν ἐκ τῶν νόμων τὸ κῦρος καὶ τὴν ἰσχὺν μὴ παραβλαπτομένην, τῇ ἐνδείᾳ τῶν ἐπιζητουμένων ὑπογραφῶν καὶ

μαρτύρων· τὸ μὲν ὅτι ἐν πολεμίᾳ ἐγένετο καὶ ὑπερορίῳ φυγῇ, ὅπουπερ ὡσανεὶ στρατιωτικῶς καὶ ἐν κινδύνῳ ζωῆς διετέλει ὁ διατιθέμενος, τὸ δὲ ὅτι καὶ κίνδυνος ἦν, εἰ βεβαιωθεὶς ὑπογραφαῖς ἀνάρπαστον μὲν γενέσθαι τὴν περιουσίαν τοῦ θανόντος, ἢ πᾶσαν, ἢ τὴν πλείονα τοὺς δὲ παρευρεθέντας ἐντοπίους ἄρχοντας κρατηθῆναι ἐν πολεμίᾳ, καὶ ἀλλοτρίᾳ, καὶ ἀνέχεσθαι ἐπὶ χρόνον πολὺν δι' ἀναζήτησιν τῆς τοῦ τετελευτηκότος περιουσίας καὶ συνδιακινδυνεῦσαι κἀκείνους. Ὅθεν ἐκ προνοίας καὶ κοινῇ συμβουλῇ καὶ σκέψει τούτων ἁπάντων, ἐκρίθη ἀναγκαῖον τὸ μὴ ὑπογραφῆναι τὴν διαθήκην, εἰς ἀποφυγὴν τοῦ ἐπηρτημένου κινδύνου· ὅτι δ' ἐν τοιαύταις περιστάσεσι συνίσταται ἐκ τῶν νόμων ἡ ἀνυπόγραφος καὶ ἀμάρτυρος διαθήκη, δῆλον ἐκ τῶν στρατιωτῶν, οἷς διὰ τὴν τοῦ πολέμου ἀνάγκην καὶ τοὺς κινδύνους, ἐφιᾶσιν οἱ νόμο ὡς βούλονται καὶ ὡς δύνανται διατίθεσθαι. Ἐν γὰρ τῷ ΛΕ' τῶν Βασιλικῶν νόμων, τίτλῳ κα', κεφ. μ' καὶ μα' φησίν: ἐὰν ὑπαγορεύσῃ στρατιώτης διαθήκην, καὶ μὴ φθάσῃ γραφῆναι, δεχόμεθα τὰ σημεῖα εἰς διαθήκην, ὥστε εἴτε ἐν τῇ ξιφοθήκῃ, ἢ τῇ ἀσπίδι, εἴτε εἰς τὸν κονιορτὸν, τουτέστιν εἰς τὴν γῆν ἐγγράψῃ, ἔχειν τὸ βέβαιον· καὶ πάλιν οἱ μὴ δυνάμενοι στρατιωτικῶς διατίθεσθαι, εἴτε ἄρχοντες ἐπαρχιῶν εἰσιν, εἴτε τινὲς ἕτεροι, ἐὰν ἐν τῷ πολέμῳ καταλειφθέντες ἀποθάνωσι, διατίθενται καὶ ὡς ἂν βούλωνται, καὶ ὡς ἂν δύνανται· καὶ παρακατιών: ἐὰν οἱ τοιοῦτοι τὰς γυναῖκας, ἢ τοὺς παῖδας, ἢ τοὺς φίλους, ἢ ὡς ἐν κεφαλαίῳ οἱουδήποτε γένους ἀνθρώπους ἀγαπῆσαι βουληθείησαν, τὰς τῆς τελευταίας βουλήσεως διαθέσεις, οἱῳδήποτε τρόπῳ δύνανται καὶ βούλονται, διατιθέσθωσαν· κἂν τῷ τέλει συμπεραίνων φησί: καὶ τὴν τοιαύτην βούλησιν αὐτῶν ἰσχυρὰν εἶναι θεσπίζομεν. Δῆλον οὖν ἐκ τῶν εἰρημένων τοὺς ἐν πολεμικαῖς ἐφόδοις καὶ ἀνάγκαις καὶ ὑπερορίῳ φυγῇ τελευτῶντας μὴ ὑποκεῖσθαι τῇ νομικῇ ἀκριβείᾳ, ἥτις ἀπαιτεῖ τοὺς ἐλευθέρως καὶ ἐκτὸς τοιούτων κινδύνων διατιθεμένους, καὶ ἐν φιλίᾳ διάγοντας, ὡρισμένους τὸν ἀριθμὸν ἔχειν μάρτυρας καὶ ὑπογραφαῖς βεβαιοῦσθαι, ὅπου γε κἀκείνοις δι' ἀνάγκην ἐνίο-

τε ὁ επταδικὸς ἀριθμὸς τῶν μαρτύρων μέχρι τοῦ τριαδικοῦ ὑφαιρεῖται καὶ καταβιβάζεται. Τούτων οὖν οὕτως ἐχόντων, καθὼς ὑπὸ τῶν ἀκριβῶς ἐπισταμένων καὶ μετὰ πάσης ἀληθείας ἀναγγειλάντων ἡμῖν ἐπιστώθημεν συνενεχθῆναι τὰς ῥηθείσας περιπετείας τῷ πράγματι. Ἐπειδὴ τὸ αὐτόθι ἐκκλησιαστικὸν κριτήριον, ἅπαξ καὶ δὶς, ὡς εἴρηται, ἔκρινε καὶ ἀπεφήνατο τὴν τῆς τριμοιρίας διανομὴν ἐν τῇ τοῦ θανόντος Πανταζῆ περιουσίᾳ, ὥστε ἀνὰ ἓν τριτημόριον λαβεῖν τήν τε ῥηθεῖσαν Σάφταν καὶ τὸν διαληφθέντα Πόπαν, καὶ τὸ λοιπὸν εἰς τὰς ἐλεημοσύνας καὶ λεγάτα ἀναλωθῆναι ἐπὶ ὑποθέσει τοῦ τὴν διαθήκην ἐντελῆ εἶναι διὰ τὴν στέρησιν τῆς ὑπογραφῆς καὶ μαρτύρων, φιλανθρωπευσαμένων τρόποις οἰκονομίας καὶ διὰ τὴν εἰρήνην χαρισαμένων τῷ Πόπᾳ τῶν οὑτωσὶ διῃτηκότων, αὐτὸς δ' ἐφάνη δυσαρεστῶν καὶ πάντῃ ἀγνώμων τῇ τοιαύτῃ περὶ αὐτὸν ἐκ περιουσίας φιλανθρωπίᾳ καὶ χάριτι, καὶ τέως ἔκκλητον κεκινηκὼς πρὸς τὸ καθ' ἡμᾶς οἰκουμενικὸν κριτήριον, ἐφωράθη καὶ ταύτης καταψευσάμενος, καὶ ἐπὶ σκοπῷ τοῦ ἐπηρεάζειν ἀδίκως τὸν καιρὸν ἀναβάλλων, δεῖν ἔγνωμεν ἐξενεγκεῖν τὴν δικαίως καὶ προσήκουσαν τῷ πράγματι τῆς ἐκκλησιαστικῆς ἡμῶν κρίσεως κατὰ νόμους ἀπόφασιν. Καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ μὲν ῥηθεῖσα διαθήκη τοῦ ποτὲ Πανταζῆ, ὡς ἀληθὴς καὶ βεβαία αὐτοῦ βούλησις, καθὼς ὑπὸ τοῦ πνευματικοῦ αὐτοῦ πατρὸς, ἐνόρκως μαρτυροῦντος, καὶ ὑπὸ τοῦ γραφέως μαρτυρεῖται, καὶ ὡς τὸ δίκαιον σώζουσα, ἐπὶ τὰ ἀπὸ πατρικῆς καὶ τῆς τῶν συγγενῶν περιουσίας περιελθόντα ἐν τῇ πατρίδι αὐτοῦ κτήματα τοῖς συγγενέσιν ἀφίησι, καὶ ὡς ἀγωγῆς ἁπάσης τῆς ἐκ τῶν νόμων ἀνωτέρα. Οὔτε γὰρ μέμψιν ἐπιδέχεται, ταύτην γὰρ πατράσι καὶ παισὶ καὶ ἀδελφοῖς οἱ νόμοι διδόασιν, οὐ μὴν δὲ πρωτεξαδέλφοις, οἷός ἐστιν ὁ Πόπας, οὔτε ἐναντιώσει ὑπόκειται τῶν συγγενῶν μὴ καταλειφθέντων ἀμνημονεύτων, ἀλλὰ κληρουμένων τὰ ἐν τῇ πατρίδι, καὶ ὡς διὰ τὸ ἀτελὲς αὐτῆς, ἐπὶ

τῇ στερήσει τῆς ὑπογραφῆς καὶ τῶν μαρτύρων, ἐκ τῶν ἐκτεθέντων ἀνωτέρω νομικῶν κεφαλαίων, τὴν θεραπείαν ἐπιδεχομένη, διὰ τὰς εἰρημένας τοῦ καιροῦ περιπετείας, καὶ συνελόντι, ὡς τὸ ἄμεμπτον καὶ ἀνεπίληπτον ἔχουσα πανταχόθεν, ὑπάρχῃ βεβαία καὶ ἀσφαλής, καὶ ἔχῃ τὸ κῦρος καὶ τὴν ἰσχὺν μόνιμον καὶ ἀμετάθετον, ἥ τε ῥηθεῖσα σύζυγος αὐτοῦ ἀρχόντισσα Σάφτα ὑπάρχῃ κληρονόμος καὶ ἐπίτροπος τοῦ θανόντος εἰς ἅπασαν τὴν ἰδιόκτητον περιουσίαν ἐκείνου, ὀφείλουσα διανεῖμαι τὰ εἰς ἐλεημοσύνην καὶ λεγάτα διωρισμένα, καὶ τὰ λοιπὰ κατασχεῖν, ὅσα εἰς κληρονομίαν αὐτῇ καταλιμπάνεται. Ὁ δὲ ῥηθεὶς Πόπας, ἐπεὶ οὐκ εὐγνωμόνησε, καὶ οὐκ εὐηρεστήθη τῇ κατὰ χάριν προγεγενημένῃ εἰς αὐτὸν ὑπὸ τοῦ αὐτόθι ἐκκλησιαστικοῦ κριτηρίου τῆς τριμοιρίας διαίτῃ κατ' οἰκονομίαν διὰ τὴν εἰρήνην, συγκατανευσάσης ἐπὶ τούτῳ, κατ' ἐκεῖνο καιροῦ, καὶ τῆς ῥηθείσης Σάφτας δι' εὐγνώμονα καὶ τοῖς χριστιανοῖς προσήκουσαν ὑποταγήν, καὶ οὐκ ἔστερξε λαβὼν τὸ τριτημόριον ἀποχὴν τοῦ λοιποῦ ποιῆσαι κατὰ τελείαν ἐξόφλησιν, ἀλλ' ἐπέμενε τῇ αὐτῇ διαστροφῇ καὶ ἀγνωμοσύνῃ καὶ πεισμονῇ, μηδεμίαν τοῦ λοιποῦ μετοχὴν ἐχέτω ἡστινοσοῦν ἐκκλησιαστικῆς ἀγωγῆς καὶ ἀπαιτήσεως, ἅτε δή, κατὰ τὰς ἀπηριθμημένας ἀνωτέρω νομικὰς διατάξεις, δίκαιον ἔχων οὐδὲν ἐν τοῖς ἰδίοις πεκουλίοις τοῦ ποτὲ Παντάζῃ. Ἐὰν δέ, μετὰ τὴν συνοδικὴν ἡμῶν ταύτην καὶ δικαίαν καὶ νόμιμον ἀπόφασιν, τολμήσῃ ὀψέποτε ἐνοχλῆσαι καὶ ἐπηρεάσαι τὴν διαληφθεῖσαν ἀρχόντισσαν Σάφταν, καθ' ὁντιναοῦν ἄλλον τρόπον, καὶ ζημίαν τινὰ αὐτῇ ἐπαγαγεῖν, ἐπὶ προφάσει κληρονομικοῦ δῆθεν δικαίου, ἀπ' ἐναντίας φερόμενος τῇ χριστιανικῇ καταστάσει, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ Κυρίου (ἕπονται καθ' ἑξῆς αἱ συνήθεις τότε αὐστηρόταται ἀραί).

Ἐν ἔτει σωτηρίῳ ͵αψμβ'.

† *ὁ Καισαρείας Παρθένιος· — † ὁ Ἡρακλείας Γεράσιμος· — † ὁ Κυζίκου Ἀνανίας· — † ὁ Νικομηδείας Θεόκλητος· — † ὁ Νικαίας Καλλίνικος· — † ὁ Χαλκηδόνος Καλλίνικος· — † ὁ Θεσσαλονίκης Ἰωακείμ· — † ὁ Τορνόβου Ἄνθιμος· — † ὁ Σερρῶν Γαβριήλ· — † ὁ Οὐγγροβλαχίας*

Νεόφυτος· — † ὁ Τραπεζοῦντος Ἱερεμίας· — † ὁ Μελενίκου Κύριλλος· — † ὁ Ἰωαννίνων Γρηγόριος· — † ὁ Ἀδριανουπόλεως Κύριλλος· — † ὁ Μεσημβρίας Γρηγόριος. — † ὁ Ἀγχιάλου Ναθαναήλ· — † ὁ Δέρκων Σαμουήλ.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 199—202.

ΟΘ΄.

ΝΕΟΦΥΤΟΥ ΤΟΥ ΑΠΟ ΚΑΙΣΑΡΕΙΑΣ

Ἕτερον γράμμα περὶ τῆς αὐτῆς ὑποθέσεως ἐναντίον τοῦ ἀνωτέρω.

Νεόφυτος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε μητροπολῖτα Οὐγγροβλαχίας, ὑπέρτιμε καὶ ἔξαρχε Πλαγηνῶν, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ· ὁσιώτατοι καθηγούμενοι τῶν αὐτόθι ἱερῶν καὶ σεβασμίων μοναστηρίων· εὐγενέστατοι ἄρχοντες καὶ χρήσιμοι πραγματευταί· χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ, εὐχὴ δὲ καὶ εὐλογία καὶ συγχώρησις παρ' ἡμῶν. Πολυσχεδῆ καὶ ποικίλα τὰ τῆς ἀπάτης ἀποτελέσματα· αὕτη καὶ γὰρ πηγὴ καὶ ῥίζα τῶν κακῶν ἀνέκαθεν πέφυκεν. Ἀλλὰ δὴ ὅσα κατὰ ἀπάτην ἔφθασε γενέσθαι, καὶ τοῦ δικαίου ὅπως δήπως ἐξολισθῆσαι, ὡς ἐξ ἀρχῆς ἀνυποστάτου τὸ εἶναι λαβόντων, ἀκυροῦται δικαίως μάλα παρὰ τῆς Ἐκκλησίας ἐλεγχόμενα. Τὸ γὰρ ἄδικον οὐκ εὐλογεῖταί ποτε, κἂν τὸν χρόνον λάβῃ συνήγορον, ἀλλὰ φωραθὲν ἐξελέγχεται, τοῦ δικαίου κατὰ χώραν δευτέραις ἐπικρίσεσι καὶ σκέψεσιν ἀνακαλουμένου τε καὶ ἀποκαθισταμένου. Ἐπειδὴ τοιγαροῦν προλαβόντως ἐπὶ τῶν ἡμερῶν τοῦ πρὸ ἡμῶν κὺρ Παϊσίου, ἔφθασεν ἐκδοθῆναι κατὰ ἀπάτην τῇ ἀρχοντίσῃ Σάφτᾳ Καντακουζηνοῦ, συζύγῳ τοῦ μακαρίτου ἄρ-

χοντος μεδελνιτζιάρη Πανταζῆ, πατριαρχικὸν συνοδικὸν ἀποφασιστικὸν γράμμα, ἐπερειδόμενον δῆθεν προκεκυρωμένῃ συμφωνίᾳ, τοῦ καταλιπεῖν αὐτὸν ἐκείνην κληρονόμον μετὰ θάνατον αὐτοῦ, καὶ τῇ ὑπ' ἐκείνου ἐν τῷ θνήσκειν γεγονυίᾳ ἐγγράφῳ διαθήκῃ, ταύτην μόνην τὴν σύζυγον αὐτοῦ διορίζοντος ἐν ἐκείνῃ κληρονόμον αὐτοῦ, ἅτε παίδων χωρὶς τελευτήσαντος, πρὸς δὲ τούτοις τὸ μὴ στέρξαι τὸν πρωτεξάδελφον, καὶ πλησιέστερον κατὰ νόμους κληρονόμον ἐκείνου, Παναγιώτην Πόπαν, τῇ τῆς τριμοιρίας διαίτῃ, κατὰ τὴν αὐτόθι ἅπαξ καὶ δὶς, δι' ἰδίου αὐτοῦ ἐπιτρόπου, καὶ μικροῦ ἀνεψιοῦ 'Αθανάση, καὶ δι' ἑαυτοῦ γενομένην ἐκκλησιαστικὴν ἀπόφασιν· τέλος δὴ τὸ ἔκκλητον κεκινηκέναι αὐτὸν ἐπὶ τοῦ καθ' ἡμᾶς οἰκουμενικοῦ κριτηρίου, καὶ μὴ ἀπηντηκέναι τῷ ἐπιτρόπῳ τῆς ῥηθείσης Σάφτας, καίτοι διαμηνυθέντα, κἀπὶ τούτοις πᾶσι τὸ αὐτὸ συνοδικὸν γράμμα διορίζον τε καὶ ἀποφαινόμενον, ὅπως ἡ ἀρχόντισα αὕτη Σάφτα ὑπάρχῃ μόνη κληρονόμος ἁπάσης τῆς τοῦ ἀνδρὸς αὐτῆς ποτὲ Πανταζῆ αὐτόθι περιουσίας. Ἔμπης παραστὰς ἤδη ἐπὶ τοῦ καθ' ἡμᾶς ἐκκλησιαστικοῦ κριτηρίου συνοδικῶς ἔμπροσθεν τῆς ἡμῶν μετριότητος καὶ τῶν ἐνταῦθα ἐνδημούντων περὶ ἡμᾶς ἱερωτάτων συναδελφῶν ἡμῶν ἀρχιερέων ὁ ἀπό τε τοῦ εἰρημένου συνοδικοῦ γράμματος, καὶ ἐξ ἑτέρων ἐμφανισθέντων ἡμῖν ἤδη ἀποδεικτικῶν γραμμάτων, καὶ ἀπὸ μαρτυρίας ἀξιολόγων προσώπων, μόνος κατὰ νόμους πλησιέστερος συγγενὴς καὶ πρωτοεξάδελφος καὶ κληρονόμος τοῦ ποτὲ Πανταζῆ μαρτυρούμενός τε καὶ ἀποδεικνυόμενος Παναγιώτης Πόπας, ἀγωγὴν ἐκίνησε κατὰ τῆς ῥηθείσης Σάφτας, καὶ προσενεφάνισεν ἡμῖν ἐνυπόγραφον αὐτῆς καὶ ἐνσφράγιστον γράμμα, κατησφαλισμένον ὂν καὶ μαρτυρικαῖς ἀξιολόγοις ὑπογραφαῖς τριῶν τινων ἐκ τῶν αὐτόθι τιμιωτάτων καὶ εὐγενεστάτων ἀρχόντων, τοῦ τε μεγάλου μπάνου κυρίτζη Γρηγορίου Γρετζάλου (;), τοῦ μεγάλου λογοθέτου κυρίτζη Κωνσταντίνου Δουδεσκούλου, καὶ τοῦ μεγάλου κλουτζιάρη κυρίτζη 'Αντωνάκη, υἱῶν κατὰ πνεῦμα ἀγαπητῶν τῆς ἡμῶν μετριότητος, διαλαμβάνον τε καὶ μαρτυροῦν τὸν ῥηθέντα ποτὲ Παντα-

ζῆν ἀδιάθετον πάντη τεθνᾶναι. Κἀντεῦθεν ἡ ἐκείνου διαθήκη αὕτη ἀπεδείχθη καὶ ἀπηλέγχθη ψευδεπίπλαστος πάντη, καὶ ἀνύπαρκτος, καὶ ἀντ' οὐδενὸς λογιζομένη, ὡς μετὰ θάνατον ἐκείνου δολορραφεῖσά τε καὶ κατασκευασθεῖσα. Περὶ δὲ τῆς προκεκυρωμένης δῆθεν συμφωνίας, τοῦ καταλιπεῖν τὸν διαληφθέντα Πανταζῆν τὴν σύζυγον αὐτοῦ Σάφταν κληρονόμον μετὰ θάνατον αὐτοῦ, ῥητῶς οὑτωσὶν οἱ νόμοι διακελεύονται: Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον ἄχρηστόν ἐστι· τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς γυναικὸς συμφωνησάσης πρὸς τὸν ἄνδρα ἐννοεῖται, οὐ μὴν ἀλλ' οὐδὲ ἡ τριμοιρία χώραν ἔχει ἐνταῦθα· ἡ γὰρ τριμοιρία μεταγενεστέρα ἐστὶ νομοθεσία καὶ νεαρὸν ψήφισμα τοῦ ἁγιωτάτου πατριάρχου Ἀθανασίου καὶ τῆς ὑπ' αὐτὸν συνόδου, ὃ γέγονεν ὁρισμῷ τοῦ ἀοιδίμου βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου: κελεύομεν, φησὶν, ἀκυρωθῆναι καὶ τὸν νόμον, ὃς διορίζεται τοὺς ἐν τέκνῳ χηρεύσαντας ἄνδρας τε καὶ γυναῖκας, εἶτα καὶ τοῦ τέκνου κατὰ πόδας ἀποιχομένου, κληρονομεῖν τὸ ζῶν μέρος καὶ τὰ τοῦ παιδὸς πατρῷα πάντα ἢ μητρικὰ, τοὺς δὲ τοῦ τεθνεῶτος γονεῖς πρὸς τῇ τοῦ τέκνου ἀποβολῇ ἀδικώτατα καὶ τῆς περιουσίας στερίσκεσθαι· ἀλλὰ τηρεῖσθαι τὸ τρίτον τῆ προικὸς εἰς μνημόσυνον τοῦ ἀποιχομένου, τὸ δὲ τρίτον τῆς γυναικὸς, καὶ τὸ τρίτον τῷ καταλειφθέντι μέρει. Ἐνταῦθα δὲ οὐχ οὕτως ἔχει· τοῦ γὰρ εἰρημένου Πανταζῆ ἄπαιδός τε καὶ ἀδιαθέτου τελευτήσαντος, ἔμεινε μόνος κατὰ νόμους κληρονόμος ἐκείνου ὁ ῥηθεὶς πρωτεξάδελφος αὐτοῦ Παναγιώτης, ὡς τῷ βαθμῷ ἐγγύτερος τυγχάνων, καθὰ προαποδέδεικται καὶ μεμαρτύρηται. Καὶ δὴ συνοδικῇ τε διαγνώσει οὑτωσὶ δέον ἤδη ἐκρίθη καὶ ἀπεφάνθη· τὰ γὰρ κακῶς καὶ κατὰ ἀπάτην κριθέντα καὶ τυπωθέντα μετὰ τὸ διευκρινηθῆναί τε καὶ ἀπελεγχθῆναι δευτέραις συνοδικαῖς ἐπικρίσεσι καὶ σκέψεσιν ἀκυροῦνται καὶ ἀνατρέπονται εὐλόγως καὶ σὺν τῷ δικαίῳ· ἡ γὰρ δευτέρα σκέψις κρείττων τῆς πρώτης. Τούτου χάριν γράφοντες διὰ τοῦ παρόντος, ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν

ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ μὲν προειρημένον συνοδικὸν ἀποφασιστικὸν γράμμα, ὡς κατὰ ἀπάτην τῇ ῥηθείσῃ Σάφτᾳ ἐκδοθὲν, μετὰ πάντων τῶν ἐμπεριεχομένων τε καὶ διοριζομένων ἐν αὐτῷ, καὶ πᾶσα ὁπωσδήπως προγεγονυῖα αὐτόθι κατὰ τόπον σκέψις καὶ διορισμὸς, καὶ πᾶν ὁτιοῦν προγραφὲν περὶ τῆς αὐτῆς ὑποθέσεως γράμμα, ἔτι δὲ καὶ ἡ μετὰ θάνατον τοῦ ῥηθέντος Πανταζῆ δολορραφεῖσά τε καὶ κατασκευασθεῖσα διαθήκη, ὡς ἀπατηλά τε καὶ ψευδεπίπλαστα πάντα, μένωσιν ἄκυρα πάντῃ, καὶ ἀνίσχυρα, καὶ ἀνενέργητα, καὶ ἀντ' οὐδενὸς λογιζόμενα· ὁ δὲ ῥηθεὶς πρωτεξάδελφος τοῦ θανόντος Πανταζῆ Παναγιώτης ὑπάρχῃ κατὰ πάντα δικαίου λόγον κληρονόμος ἐκείνου, ἐν τῷ βαθμῷ ἐγγύτερος. Ὅσοι δ' ἂν καὶ ὁποῖοι χριστιανοὶ ἱερωμένοι ἢ λαϊκοὶ, ἄνδρες ἢ γυναῖκες, καὶ μάλιστα ἡ διαληφθεῖσα Σάφτα, φανῶσιν ἀπειθεῖς καὶ ἀνυπότακτοι τῷ ἐκκλησιαστικῷ τούτῳ διορισμῷ, καὶ τῇ συνοδικῇ ἡμῶν ταύτῃ νομικῇ τε καὶ δικαίᾳ ἀποφάσει, καὶ τολμήσωσιν οἱῳδήτινι τρόπῳ κατατρέξαι καὶ ζημιῶσαι τὸν γνήσιον τοῦτον τοῦ μακαρίτου Πανταζῆ κατὰ νόμους κληρονόμον Παναγιώτην Πόπαν, ἀλλὰ καὶ οἱ ὁπωσοῦν διακατέχοντες τὴν καταλειφθεῖσαν περιουσίαν ἐκείνου, ἄσπρα δηλαδὴ μετρητὰ, ἢ χρεωστούμενα δι' ὁμολογιῶν, ἢ ἄνευ ὁμολογιῶν, ἢ λόγῳ παρακαταθήκης καὶ ἐνεχείρου, τζεβαχερικὰ, μαλαγματικὰ, ἀσημικὰ, ῥουχικὰ, χαλκωματικὰ, ὀσπήτια, ἀμπέλια, χωράφια, ὑποστατικὰ, μοσίας, Ἀθιγκάνους, ζῶα ἢ ἄλλα ὁποιουτινοσοῦν εἴδους καὶ ὀσπητιακῆς ὕλης πράγματα, ἢ ὁμολογίας χρεωστικὰς, καὶ λοιπὰ χρειώδη, καὶ ἀναγκαῖα γράμματα καὶ κατάστιχα, ἢ ὁμολογίας ἐπώλησαν διορθωθέντες μετὰ τῶν δανειστῶν ἐκείνου καὶ ἐξοφλήσαντες, ἂν μὴ φανερώσωσι πάντα, καὶ ἀποκαταστήσωσι πρὸς αὐτὸν, καὶ μὴ ποιήσωσι τὴν μετὰ καλοῦ τρόπου τελείαν περὶ πάντων διόρθωσιν καὶ ἐξόφλησιν κατὰ τὸ δίκαιον, ὡσαύτως δὲ καὶ οἱ συντρέχοντες καὶ βοηθοῦντες τῇ ῥηθείσῃ Σάφτᾳ ἐπὶ τὸ ἀδικῆσαι αὐτὸν, ἂν μὴ παύσωνται τοῦ τοιούτου παραλόγου ἐγχειρήματος, ἔτι δὲ καὶ οἱ γινώσκοντες τοὺς ἀμετόχως τε

καὶ ἀδίκως βαστάζοντας καὶ διακρατοῦντας πολλὰ ἢ ὀλίγα ἄσπρα, ἢ πράγματα, καὶ ὁμολογίας, καὶ λοιπὰ ἀναγκαῖα γράμματα τοῦ θανόντος, ἐὰν μὴ μετρήσωσιν ἀφιλοπροσώπως καὶ ἐν φόβῳ Θεοῦ ἅπασαν τὴν ἀλήθειαν διὰ τὸ δίκαιον, ὁμοῦ ἀφωρισμένοι εἴησαν ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος (αἱ συνήθεις ἀραί). Οἱ δὲ πλεονεκτικῶς καταπατοῦντες, πολὺ ἢ ὀλίγον δίκαιον τοῦ μικροῦ ἀνεψιοῦ Ἀθανάση, εἴτε ἡ διαληφθεῖσα σύζυγος ἐκείνου Σάφτα, εἴτε ἄλλοι, μετὰ τὸ φωραθῆναι καὶ ἀπελεγχθῆναι ὡς ἐπιμένοντες τῇ ἀδικίᾳ ταύτῃ, ἱερεῖς μὲν ὄντες οἱ τοιοῦτοι ἀργοὶ μένωσι τό γε νῦν ἔχον πάσης ἱερατικῆς ἐνεργείας καὶ τάξεως, καὶ ἐστερημένοι παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, παρ' οὐδενὸς συμφορούμενοι καὶ συλλειτουργούμενοι, ἢ τὰς χεῖρας αὐτῶν ἀσπαζόμενοι, ἢ ὡς ἱερεῖς τιμώμενοι, ἢ εἰσόδημα ἐκκλησίας πολὺ ἢ ὀλίγον παρεχόμενοι, ἐν βάρει ἀργίας καὶ ἀφορισμοῦ, λαϊκοὶ δὲ ὑπάρχοντες καὶ ἔξω τῆς τοῦ Χριστοῦ Ἐκκλησίας· μηδεὶς ἐκκλησιάσῃ αὐτούς, ἢ ἁγιάσῃ, ἢ θυμιάσῃ, ἢ ἀντίδωρον αὐτοῖς δῷ, ἢ συμφάγῃ, ἢ συμπίῃ, ἢ συνδουλεύσῃ, ἢ συνεργασθῇ, ἢ συμπραγματευθῇ, ἢ ὅλως συναναστραφῇ καὶ χαιρετήσῃ, ἢ μετὰ θάνατον ταφῆς ἀξιώσῃ. Οὕτω γενέσθω ἐν βάρει ἀργίας ἀσυγγνώστου, καὶ ἀφορισμοῦ ἀλύτου, τοῦ ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος· καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως.

,αψμγ'.

† ὁ Νικομηδείας Θεόκλητος· — † ὁ Νικαίας Καλλίνικος· — † ὁ Χαλκηδόνος Καλλίνικος· — † ὁ Κρήτης Γεράσιμος· — † ὁ Μεσημβρίας Γρηγόριος· — † ὁ Ἀγχιάλου Ναθαναήλ· — † ὁ Μετρῶν ..... — † ὁ Δέρκων Σαμουήλ.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 203—205. Τὸ δὲ ὄνομα τοῦ Μετρῶν οὐ κεῖται ἐν τῷ Κώδηκι. Εἰκάζω ὅμως ὅτι ἦν τότε ὁ *Σίλβεστρος*, ὅστις ἅμα προΐστατο καὶ τοῦ ναοῦ τῆς Θεοτόκου τοῦ ἐν Ἐγρικαπίῳ.

Π'.

ΠΑΪΣΙΟΥ ΤΟΥ ΑΠΟ ΝΙΚΟΜΗΔΕΙΑΣ

Ἕτερον γράμμα περὶ τῆς αὐτῆς ὑποθέσεως. Ἐπιδεβαίωσις τοῦ πρώτου καὶ ἀνατροπὴ τοῦ δευτέρου.

Παΐσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε μητροπολῖτα Οὐγγροβλαχίας, ὑπέρτιμε καὶ ἔξαρχε Πλαγηνῶν, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ· ὁσιώτατοι καθηγούμενοι τῶν αὐτόθι ἱερῶν καὶ σεβασμίων μοναστηρίων· τιμιώτατοι καὶ εὐγενέστατοι ἄρχοντες τῆς ἐκλάμπρου καὶ εὐλογημένης αὐθεντικῆς τζάρας, καὶ χρήσιμοι πραγματευταί· χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος, εὐχὴ δὲ καὶ εὐλογία καὶ συγχώρησις παρ' ἡμῶν. Τῶν τῇ ἐκκλησιαστικῇ ἐπικρίσει, εὐθυδικίᾳ τε καὶ δεφενδεύσει καθάπαξ ἀνενεχθέντων πραγμάτων καὶ ὑποθέσεων, οἱ ἄνωθεν κατὰ καιροὺς ἐμπεπιστευμένοι τὴν καθ'ὅλου προστασίαν καὶ πρόνοιαν ἀείποτε διευθετεῖν αὐτὰ καὶ καταρτίζειν προσφυῶς εἰς τὸν πρὸς ὃν ὅρον τοῦ δικαίου χρέος ἀπαραίτητον κεκτημένοι, καὶ μηδέποτε παραχωρεῖν ὀφείλοντες προχωρῆσαι ἀταξίαν τινὰ καὶ σύγχυσιν ἐν αὐτοῖς βλάβην ἐπάγουσαν, καὶ ἀνατροπὴν τοῖς καλῶς διευκρινηθεῖσί τε καὶ διορισθεῖσι, καὶ τῆς οἰκείας ἔσθ' ὅτε θέσεως ἐξοικίζουσαν περιστάσεσιν ὅπως ποτέ τισιν τοῦ καιροῦ καὶ ἐναλλαγαῖς προσώπων, καὶ ἐρευρολογιῶν ποικιλίαις, καὶ ἀπατηλαῖς προφάσεσιν, ὥστε τοὺς προσφυεῖς τῆς σφῶν καταστάσεως ὅρους τέως ἀποτελέσαντα, πῆ μὲν ὧδε, πῆ δ' ἐκεῖσε ἀντιθέτως καθέλκεσθαι, καὶ τῆς πρὸς τὸν κτησάμενον ἰδικῆς καὶ διωρισμένης δεσποτείας ἀποπεσεῖν· ἀλλὰ καὶ εἴ ποτε κατά τινα παρατροπὴν ἐπεισφρήσειεν ἀνωμαλία τις, πειρᾶσθαι

ἀνατρέπειν αὐτὴν καὶ ἐπιδιορθοῦν μετὰ πάσης σπουδῆς, φροντίζοντες εὐλόγως καὶ δικαίως, οὐ διαλείπουσιν, ἀνάγκης οὔσης, ἀκριβεστέραις σκέψεσι καὶ ἐπικρίσεσιν, ἀναλαμβάνειν τὰ ὁπωσοῦν τῆς οἰκείας στάσεως κατά τινα παρατροπὴν ἐκπεπτωκότα καὶ ἐξοικισθέντα, καὶ ἀποκαθιστᾶν αὖθις εἰς τὸν προσφυῆ τοῦ δικαίου τόπον, καὶ ἐπὶ τὴν ἰδίαν θέσιν τε καὶ στάσιν κανόσι ποτέ τισι τῆς ἠκριβωμένης διαιτήσεως. Ἐπειδὴ τοιγαροῦν προλαβόντως, ἐπὶ τῆς δευτέρας ἡμῶν πατριαρχείας, ἐξεδόθη τῇ αὐτόθι ἀρχοντίσῃ Σάφτα Καντακουζηνῇ ἡμέτερον πατριαρχικὸν συνοδικὸν ἐκκλησιαστικῆς ἀποφάσεως γράμμα, εἰς πλάτος γραφὲν, διορίζον τε καὶ ἀποφαινόμενον ἐν πάσῃ ἀκριβείᾳ καὶ ἀναπτύξει τῶν ἱερῶν νόμων, βεβαιώσει τε καὶ εὐθυδικίᾳ, ἐπὶ τὸ ἔχειν τὸ κῦρος καὶ τὴν ἰσχὺν ἀμετάτρεπτον καὶ ἀμεταποίητον τὴν κατὰ νόμους ἔγγραφον διαθήκην τοῦ παίδων χωρὶς ἐν ἀλλοδαπῆς τόπῳ τελευτήσαντος ἄρχοντος μεδελνηζιάρη Πανταζῆ, συζύγου τῆς ῥηθείσης Σάφτας, εἶναί τε καὶ γινώσκεσθαι ταύτην μόνην νόμιμον καὶ γνησίαν κληρονόμον τῆς αὐτόθι καταλειφθείσης ἰδιοκτήτου ἐκείνου περιουσίας, καὶ ἐπίτροπος αὐτοῦ, κατὰ τὴν διαταγὴν καὶ παραγγελίαν ἐκείνου, καὶ κατὰ πάντα δικαίου λόγον, καθὼς ἐν τῷ προρρηθέντι ἐκκλησιαστικῷ ἡμῶν γράμματι συνοδικῶς διωρίσθη καὶ ἀπεφάνθη. Μετ' οὐ πολὺ δὲ πατριαρχεύσαντος αὖθις τοῦ κὺρ Νεοφύτου, ἀδείας καιροῦ δραξάμενος ὁ πρωτεξάδελφος τοῦ θανόντος Παναγιώτης Πόπας, καὶ παραστὰς μόνος ἐπὶ συνόδου, καὶ ἐμφανίσας ἐνυπόγραφον καὶ ἐμμάρτυρον γράμμα τῆς ἀρχοντίσσης Σάφτας, κατὰ ἀπάτην καὶ λόγῳ οἰκονομίας παρ'αὐτῆς ληφθὲν, καθὼς κατωτέρω ὁρισθήσεται καὶ ἀποδειχθήσεται, καὶ διαλαμβάνον ἀδιάθετον δῆθεν τεθνᾶναι τὸν ῥηθέντα σύζυγον ἐκείνης Πανταζῆν, ἑτέραις τε ποικίλαις πλαστολογίαις, καὶ ἀπατηλαῖς προφάσεσι χρησάμενος. ἔπεισεν ὅπως δήποτε, καὶ ἔλαβε κἀκεῖνος τηνικαῦτα συνοδικὸν ἀποφασιστικὸν γράμμα, ἀνατρέπον μὲν ὁπωσοῦν καὶ ἀκυροῦν τὸ εὐλόγως καὶ σὺν τῷ δικαίῳ προεκδοθὲν παρ' ἡμῶν ἐκκλησιαστικὸν γράμμα περὶ τῆς αὐτῆς κληρονομικῆς ὑποθέσεως, ἀποδεικνύον δὲ τοῦτον

μόνον κληρονόμον καὶ ἐγκρατῆ ἁπάσης τῆς ὑπολειφθείσης περιουσίας τοῦ ποτὲ Πανταζῆ. Καὶ ταῦτα μὲν οὕτω κατὰ διαφόρους καιροὺς καὶ τρόπους ἔφθασε γενέσθαι ὡς εἴρηται. Ἀλλ' οὖν τῆς ὑποθέσεως ταύτης δεομένης αὖθις κρείττονός τινος ἐρεύνης τε καὶ ἐξετάσεως, προσεκομίσθη καὶ ἐνεφανίσθη ἡμῖν ἤδη κοινὴ ὑμῶν ἔγγραφος ἀναφορὰ, κατησφαλισμένη οὖσα ἀξιολόγοις ὑπογραφαῖς, μαρτυρικαῖς τε ἀποδείξεσι καὶ βεβαιώσεσι τῆς τε ἀρχιερωσύνης σου καὶ τῶν παρευρεθέντων εἰς τὸ αὐτόθι κατὰ τόπον ἐκκλησιαστικὸν κριτήριον λοιπῶν συναδελφῶν ἡμῶν ἀρχιερέων, τιμιωτάτων καὶ εὐγενεστάτων ἀρχόντων τῆς ἐκλάμπρου καὶ εὐλογημένης τζάρας, διαλαμβάνουσαν ὅτι διὰ τὴν τῶν προεκδοθέντων δύο συνοδικῶν γραμμάτων πρὸς ἄλληλα ἀντιλογίαν καὶ διάφορον ἀπόφασιν τῆς κληρονομικῆς ταύτης ὑποθέσεως, καὶ ἐφεσιβαλλομένης, καὶ τῆς ἀληθείας ἀγνοουμένης, δέον καὶ ἐπάναγκες ἐφάνη ἐτασθῆναι ἀκριβέστερον καὶ διευκρινηθῆναι αὐτόθι τὸ εἶναι τῆς ὑποθέσεως, καὶ δηλοποιηθῆναι τρανῶς ἐνταῦθα ἅπασαν τὴν ἀλήθειαν. Κἀντεῦθεν εἰς ἓν πάντων ἡμῶν συνελθόντων ἐπὶ τοῦ κατὰ τόπον ἐκκλησιαστικοῦ κριτηρίου, ἀκριβοῦς τε ἐρεύνης καὶ ἐξετάσεως γενομένης περὶ τῆς αὐτῆς ὑποθέσεως, δι' ἐκκλησιαστικοῦ φρικτοῦ ἐπιτιμίου, ἐκφωνηθέντος πρῶτον παρὰ τῆς σῆς ἱερότητος δι' ὠμοφορίου καὶ ἐπιτραχηλίου, ἀπεδείχθη καὶ ἐμαρτυρήθη ὑφ' ἱκανῶν ἀξιολόγων τε καὶ ἀξιοπίστων ἀρχόντων, παρευρεθέντων ἐν τῷ θανάτῳ τοῦ εἰρημένου Πανταζῆ, αὐτοπτῶν τε καὶ αὐτηκόων γενομένων, καὶ μαρτυρησάντων ἀφιλοπροσώπως καὶ ἐν φόβῳ Θεοῦ καὶ καθαρῷ συνειδότι, ὡς ὁ διαληφθεὶς ποτὲ Πανταζῆς ἔτι ζῶν, καὶ ἐν ἀλλοτρίᾳ τὰς διατριβὰς μετ' αὐτῶν ποιούμενος, διὰ τὰς ἐν τῷ τότε ἐπικρατούσας καιρικὰς ἀνωμαλίας, σῶας τε καὶ ὑγιεῖς τὰς φρένας ἔχων, ὑπηγόρευσεν ἔμπροσθεν αὐτῶν καὶ πεποίηκεν ἰδιοθελεῖ αὐτοῦ καὶ ἀβιάστῳ γνώμῃ καὶ προαιρέσει τελευταίως ἔγγραφον διαθήκην· ἐν ᾗ διαταξάμενος περὶ τῶν ὑπαρχόντων αὐτοῦ, ὅσα μὲν ἐκέκτητο ἐν τῇ ἰδίᾳ πατρίδι κείμενα κτήματα καὶ ὑποστατικὰ, ἀπὸ πατρικῆς καὶ συγγενῶν κληρονομίας περιελθόντα αὐτῷ

ἀφῆκεν εἰς τοὺς συγγενεῖς αὐτοῦ· ὅσα δὲ αὐτὸς ἰδίοις πόνοις καὶ ἱδρῶσιν ἐκτήσατο, ἴδια πεκούλια ὄντα, τούτων διὰ τὴν μεσολαβήσασαν ἀπαιδείαν, τὰ μὲν εἰς ἐλεημοσύνας καὶ εὐποιΐας ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας καὶ μνημοσύνων διαταξάμενος, τὰ δὲ εἰς ἅπερ ἂν ἐβουλήθη πρόσωπα λεγατεύσας καὶ διορισάμενος τὴν ῥηθεῖσαν αὐτοῦ σύζυγον Σάφταν κληρονόμον ἁπλῶς μετὰ θάνατον αὐτοῦ εἰς ἅπασαν τὴν καταληφθεῖσαν ἰδιόκτητον περιουσίαν αὐτοῦ, καὶ ἐπίτροπον καὶ διοικητὴν τῶν ὧν ἀφῆκε λεγάτων καὶ ἐλεημοσυνῶν διωρίσατο καὶ κατέστησε, καὶ οὕτως ἐτελεύτησεν ἐν πολεμίᾳ καὶ ὑπερορίῳ φυγῇ· διὰ δὲ τὰ τηνικαῦτα ἐναντία καιρικὰ περιστατικά, καὶ εἰς ἀποφυγὴν τοῦ ἐπηρτημένου κινδύνου, οὐκ ἐφάνη εὔλογον βεβαιωθῆναι τὴν διαθήκην ταύτην ὑπογραφαῖς τῶν παρευρεθέντων ἀρχόντων. Περὶ δὲ τοῦ παρὰ τῷ Πόπᾳ σωζομένου, καὶ ἐπὶ συνόδου ἐμφανισθέντος μετὰ ταῦτα ἐναντίου τῇ ἀληθινῇ καὶ νομίμῳ διαθήκῃ ταύτῃ, ἐνυπογράφου καὶ ἐμμαρτύρου γράμματος τῆς ἀρχοντίσσης Σάφτας, ᾧτινι καὶ τὸ δεύτερον συνοδικὸν γράμμα ἐπερειδόμενον, ἀποφαίνεται, ἔγνωμεν καὶ ἐβεβαιώθημεν ὡσαύτως ἐκ τῆς κοινῆς ἡμῶν ἀξιολόγου ταύτης ἐνυπογράφου ἀναφορᾶς, ὅτι διὰ μεσολαβήσεως τῶν δύο τούτων εὐγενεστάτων ἀρχόντων, τοῦ τε μεγάλου βιστιάρη τῆς ἐκλαμπροτάτης αὐθεντείας ταύτης Οὐγγροβλαχίας κυρίτζη Χέρα Πρατζογιάνου, καὶ τοῦ μεγάλου κλουτζιάρη κυρίτζη Ἀντωνάκη Παλλαδᾶ, υἱῶν κατὰ πνεῦμα ἀγαπητῶν τῆς ἡμῶν μετριότητος, λόγῳ τε οἰκονομίας καὶ κατὰ ἀπάτην ἐδόθη τῷ σαδράρῃ Ἀθανάσῃ ἐπιτρόπῳ τοῦ Πόπα, καθ' ὃν καιρὸν συνεφωνήθη μεταξὺ αὐτοῦ τε καὶ τῆς ἀρχοντίσσης Σάφτας γενέσθαι δῆθεν τριμοιρίαν ἐπὶ τῇ καταληφθείσῃ περιουσίᾳ τοῦ ποτὲ Πανταζῆ, καὶ ὅτι ὑπάρχει πάντῃ ψευδὲς ἐκεῖνο, καὶ ἀσύστατον, καὶ μηδεμιᾶς ἀληθείας ἐχόμενον, καθὼς οἱ αὐτοὶ εὐγενέστατοι ἄρχοντες ὡμολόγησαν ἀμφότεροι παρρησίᾳ ἐπὶ τοῦ αὐτόθι ἐκκλησιαστικοῦ κριτηρίου, διὰ τὸ προεκφωνηθὲν ἐπιτίμιον, ὅτι ἐστάθησαν μεσῖται καὶ ἐργάται τοῦ τοιούτου κατασκευασθέντος γράμματος, καὶ κατὰ ἀπάτην ὑπὸ τῆς Σάφτας ὑπογραφέντος,

ἐπ' ἐλπίδι τῆς γεγραμμένης ἐν αὐτῷ συμφωνίας, καὶ διαλαμβάνοντος ψευδῶς τὸ ἀδιάθετον τοῦ θανόντος Πανταζῆ, τοῦ ἔχειν οὕτω τὴν ἀλήθειαν, ὡς ἱκανῶς προαποδέδεικται, ἀλλὰ κατὰ ζήτησιν καὶ θέλησιν μόνου τοῦ εἰρημένου Ἀθανάτη, καὶ κατὰ ἀπάτην γεγονότος ἐπὶ μαρτυρίᾳ δῆθεν τῶν ὑπογεγραμμένων αὐτῷ τριῶν ἑτέρων εὐγενεστάτων ἀρχόντων. Τούτου χάριν, κατὰ τὴν κοινὴν ἡμῶν ταύτην ἐνυπόγραφον ἀναφορὰν καὶ ἀξιόπιστον μαρτυρίαν καὶ ἀκριβῆ βεβαίωσιν, γράφοντες καὶ αὖθις διὰ τοῦ παρόντος, ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ μὲν ἐκδοθὲν τῷ Πόπᾳ δεύτερον συνοδικὸν γράμμα, ἐπὶ τῆς πατριαρχείας τοῦ ἤδη πρὸ ἡμῶν κὺρ Νεοφύτου, ὡς κατὰ ἀπάτην ληφθὲν διὰ τοῦ παρὰ τῷ αὐτῷ Πόπᾳ σωζομένου ψευδεπιπλάστου ἐκείνου γράμματος, καθὰ προαποδέδεικται καὶ μεμαρτύρηται ἀκριβέστατα καὶ ἀληθέστατα, αὐτὰ δὴ ταῦτα τὰ δύο γράμματα, μετὰ πάντων τῶν ἐμπεριεχομένων καὶ διοριζομένων ἐν ἐκείνοις ἕνεκεν τῆς ὑπολειφθείσης περιουσίας τοῦ θανόντος ἄρχοντος μεδελνητζιάρη Πανταζῆ μένωσιν ἄκυρα πάντῃ καὶ ἀνίσχυρα, καὶ ἄπρακτα, καὶ ἀνενέργητα, καὶ ἀντ' οὐδενος λογιζόμενα· τὰ γὰρ κακῶς καὶ κατὰ ἀπάτην κριθέντα καὶ τυπωθέντα, μετὰ τὸ εὐκρινηθῆναί τε καὶ ἀπελεγχθῆναι ἀκριβεστέραις τοπικαῖς καὶ συνοδικαῖς ἐπικρίσεσι καὶ σκέψεσιν, ἀκυροῦνται καὶ ἀνατρέπονται εὐλόγως καὶ σὺν τῷ δικαίῳ παρὰ τῆς Ἐκκλησίας. Τὸ δὲ κατὰ πάντα δικαίου λόγου προεκδοθὲν τῇ ἀρχοντίσσῃ Σάφτᾳ, περὶ τῆς αὐτῆς κληρονομικῆς ὑποθέσεως, ἡμέτερον πατριαρχικὸν συνοδικὸν ἀποφασιστικὸν γράμμα, ἔτι δὲ καὶ ἡ διαθήκη τοῦ ποτὲ ἀνδρὸς αὐτῆς Πανταζῆ, ὡς καὶ κατ' ἐκεῖνο καιροῦ καὶ ἤδη μάλιστα εὔλογός τε καὶ νόμιμος ἀποδειχθεῖσά τε καὶ μαρτυρηθεῖσα μετὰ πάντων τῶν ἐν αὐτοῖς καταγραφέντων, καὶ καλῶς διορισθέντων καὶ ἀποφανθέτων, ἔχωσι τὸ κῦρος μόνιμον καὶ ἀμετάθετον κατὰ πάντα καιρὸν καὶ ἐν παντὶ δικαιοσύνης κριτηρίῳ ἐξάπαντος· ἥ τε ῥηθεῖσα σύζυγος αὐτοῦ

ἀρχόντισα Σάφτα ὑπάρχῃ μόνη κληρονόμος καὶ ἐπίτροπος ἐκείνου εἰς ἅπασαν τὴν ἰδιόκτητον αὐτοῦ περιουσίαν, ὀφείλουσα διανεῖμαι τὰ εἰς ἐλεημοσύνας καὶ λεγάτα διωρισμένα, καὶ τὰ λοιπὰ κατασχεῖν, ὅσα εἰς κληρονομίαν αὐτῇ καταλιμπάνεται, κατὰ τὴν διαταγὴν καὶ παραγγελίαν ἐκείνου. Ὁ δὲ ῥηθεὶς Παναγιώτης Πόπας μηδεμίαν ἐχέτω τοῦ λοιποῦ μετοχὴν ἡστινοσοῦν ἐκκλησιαστικῆς ἀγωγῆς καὶ ἀπαιτήσεως, ἅτε μηδὲν δίκαιον ἔχων ἐν τοῖς ἰδίοις πεκουλίοις τοῦ ποτὲ Πανταζῆ, κατὰ τὴν περίληψιν τοῦ εἰρημένου ἡμῶν συνοδικοῦ γράμματος, καὶ κατὰ τὰς ἐν ἐκείνῳ ἐκτεθείσας νομικὰς διακελεύσεις, καὶ κατὰ πάντα δικαίου λόγον. Ἐὰν δὲ, καὶ μετὰ τὴν δευτέραν καὶ ἀκριβεστέραν συνοδικὴν ἡμῶν ταύτην καὶ δικαίαν καὶ νόμιμον ἀπόφασιν, τολμήσῃ ὀψέποτε ἐνοχλῆσαι καὶ ἐπηρεᾶσαι τὴν διαληφθεῖσαν ἀρχόντισαν Σάφταν, καθ' ὁντιναοῦν ἄλλον τρόπον, καὶ ζημίαν τινὰ αὐτῇ ἐπαγαγεῖν ἐπὶ προφάσει κληρονομικοῦ δῆθεν δικαίου, ἀπεναντίας φερόμενος τῇ νομικῇ διατάξει καὶ χριστιανικῇ καταστάσει, ἀλλὰ καὶ ὅσοι χριστιανοὶ συγγενεῖς ἢ ξένοι, συνεργήσωσι καὶ βοηθήσωσιν αὐτῷ ἐπὶ τῇ ἀδικίᾳ ταύτῃ, ἂν μὴ παύσωνται τῆς οἰκείας αὐτῶν ἐθελοκακίας καὶ τοῦ παραλόγου τούτου ἐγχειρήματος, ὁμοῦ μετὰ τοῦ αὐτοῦ Πόπα ἀφωρισμένοι εἴησαν ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος, καὶ κατηραμένοι (ἕπονται αἱ συνήθεις αὐστηρόταται ἀραί).

,αψ[μδ]'. Ἐν μηνὶ Μαρτίῳ, Ἰνδικτιῶνος Ζ'.

† *ὁ Καισαρείας Παρθένιος*· — † *ὁ Ἡρακλείας Γεράσιμος*· — † *ὁ Κυζίκου Ἀνανίας*· — † *ὁ Νικομηδείας Θεόκλητος*· — † *ὁ Νικαίας Καλλίνικος*· — † *ὁ Χαλκηδόνος Καλλίνικος*· — † *ὁ Θεσσαλονίκης Ἰωακείμ*· — † *ὁ Τορνόβου Ἄνθιμος*· — † *ὁ Σερρῶν Γαβριήλ*· — † *ὁ Οὐγγροβλαχίας Νεόφυτος*· — † *ὁ Τραπεζοῦντος Ἱερεμίας*· — † *ὁ Μελενίκου Κύριλλος*· — † *ὁ Ἰωαννίνων Γρηγόριος*· — † *ὁ Ἀδριανουπόλεως Κύριλλος*· — † *ὁ Μεσημβρίας Γρηγόριος*· — † *ὁ Ἀγχιάλου Ναθαναήλ*· — † *ὁ Δέρκων Σαμουήλ*.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 205—207.

ΠΑ΄.

ΝΕΟΦΥΤΟΥ ΤΟΥ ΑΠΟ ΚΑΙΣΑΡΕΙΑΣ

Διαθήκης μεταγενεστέρας βεβαίωσις, καὶ τῆς προτέρας ἀνατροπή, καὶ τίνες τῶν κληρονόμων, καὶ πότε δύνανται κινεῖν ἀγωγὴν κατὰ τῆς διαθήκης ἢ ἐναντιώσεως ἢ μέμψεως.

Νεόφυτος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε μητροπολῖτα Οὐγγροβλαχίας, ὑπέρτιμε καὶ ἔξαρχε Πλαγηνῶν, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ· καὶ ὁσιώτατοι καθηγούμενοι τῶν αὐτόθι ἱερῶν καὶ σεβασμίων μοναστηρίων· καὶ εὐγενέστατοι ἄρχοντες, καὶ χρήσιμοι πραγματευταί, καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοί· τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος· χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ, καὶ παρ' ἡμῶν εὐχή, εὐλογία, καὶ συγχώρησις. Ὁ Ῥαδουκάνος ἀδελφὸς καὶ κληρονόμος τοῦ εἰς τὰ αὐτόθι ἀποθανόντος ἄπαιδος Κηρύκου πραγματευτοῦ, ἀπὸ Τυργοβύστου, ἀνέφερεν ἡμῖν, ὅτι τοῦ εἰρημένου θείου αὐτοῦ, ἐν τῷ μέλλειν ἀποθανεῖν, ἔχοντος ἔτι τὰς φρένας καὶ τὸν νοῦν ὑγιᾶ, διαθήκην ἔγγραφον τελευταίαν πεποιηκότος καὶ διορισαμένου ἐν αὐτῇ, κατ' ἰδίαν αὐτοῦ θέλησίν τε καὶ βούλησιν, διαφόρους εὐποιίας καὶ ἀγαθοεργίας διὰ ψυχικὴν αὐτοῦ σωτηρίαν καὶ μνημόσυνον αἰώνιον· ἔτι δὲ αὐτῷ τε τῷ Ῥαδουκάνῳ, καὶ πᾶσι τοῖς λοιποῖς ἀνεψιοῖς, καὶ συγγενέσι, καὶ οἰκείοις αὐτοῦ ἐπαφιέντος καὶ διορίσαντος τὸ ὅσονπερ ἤθελε δοθῆναι ἑνὶ ἑκάστῳ αὐτῶν ἀπὸ τῆς ἰδίας περιουσίας μέρος, τὸν δὲ ῥηθέντα Ῥαδουκάνον, καὶ υἱὸν θετὸν ὀνομάσαντος ἐν τῇ διαθήκῃ ταύτῃ, καὶ ἐπίτροπον καταστήσαντος ἐπὶ τὸ ἐνεργῆσαι καὶ διανεῖμαι τὰ ἐν αὐτῇ διορισθέντα· ὁ διαληφθεὶς Ῥαδουκάνος, μετὰ θάνατον ἐκείνου τοῦ θείου αὐτοῦ, παραλαβὼν εἰς χεῖρας αὐτοῦ τὴν ἐκείνου περιουσίαν, διένειμε καὶ ἐνεχείρισεν ἀπά-

σας τὰς ἐλεημοσύνας καὶ εὐποιίας εἰς τοὺς διορισθέντας ἐν τῇ ῥηθείσῃ διαθήκῃ τόπους ἀνελλιπῶς· μετὰ δὲ ταῦτα ἐπαναστὰς κατ᾽αὐτοῦ ὁ ἐξάδελφος καὶ συγκληρονόμος αὐτοῦ Γιάννης, ἀνεψιὸς ὢν καὶ αὐτὸς ἐξ ἑτέρου ἀδελφοῦ, καὶ μὴ εὐαρεστηθεὶς ἐπὶ τῇ ῥηθείσῃ τελευταίᾳ διαθήκῃ τοῦ θείου αὐτοῦ, ἐκίνησεν ἀγωγὴν ἐπὶ τοῦ αὐτόθι ἐκκλησιαστικοῦ κριτηρίου, προβάλλων καὶ δικαιολογούμενος, ὡς ὁ θεῖος αὐτοῦ οὗτος Κηρύκος πρὸ χρόνων τινῶν ἐπεποιήκει ἑτέραν διαθήκην, ἐν ᾗ διωρίσατο καὶ κατέστησεν αὐτὸν τὸν Γιάννην ἐπίτροπον, ὅθεν καὶ ἠξίου ἐκείνην τὴν πρώτην διαθήκην ἔχειν τὸ κῦρος, τὴν δὲ τελευταίαν ταύτην ἀναιρεθῆναι, καὶ προβάλλων προσέτι ἓν συμφωνητικὸν γράμμα γεγονὸς μεταξὺ αὐτοῦ τε καὶ τοῦ ῥηθέντος Ραδουκάνου, μετὰ θάνατον τοῦ εἰρημένου θείου αὐτῶν, ἐν ᾧ ὑπόσχεται ὁ αὐτὸς Ραδουκάνος τὰ περισσευθέντα ἐκ τῶν ἐλεημοσυνῶν ἀπὸ τῆς τοῦ θείου αὐτῶν περιουσίας μερίζεσθαι ἐξ ἴσου μετὰ τοῦ εἰρημένου Γιάννη καὶ τῶν λοιπῶν ἀδελφῶν αὐτοῦ· δι᾽ ὧν προβλημάτων θεωρηθέντων ἔμπροσθεν τῆς σῆς ἱερότητος, οὐκ οἴδαμεν ὅπως ἀπεναντίας τοῖς ἱεροῖς νόμοις ἐγένετο ἡ κρίσις καὶ ἀπόφασις, καθὼς ἀπὸ τοῦ ἐμφανισθέντος ἡμῖν ἴσου τοῦ τῆς τοιαύτης κρίσεως γράμματος βεβαιωθέντες ἔγνωμεν, ὥστε τὴν τελευταίαν διαθήκην ἀνατραπῆναι ἐπὶ προφάσει τῆς προγενεστέρας καὶ τοῦ ῥηθέντος συμφωνητικοῦ γράμματος. Ὅθεν τὸν ῥηθέντα Ραδουκάνον προσελθόντα τῷ ἐλέει καὶ τῇ προνοίᾳ τῆς καθ᾽ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ εἰς τὸ οἰκουμενικὸν κριτήριον ἐκκαλούμενον τὴν κρίσιν αὐτοῦ ταύτην, καὶ δεόμενον νομίμως καὶ δικαίως ἀποπερατωθῆναι, φιλανθρώπως ἀποδεξάμενοι, δεῖν ἔγνωμεν κατὰ τὴν νομικὴν ἀκρίβειαν συστῆσαι τὸ δίκαιον αὐτοῦ, καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ μὲν ῥηθεῖσα τελευταία διαθήκη τοῦ ποτὲ Κηρύκου, ὡς νόμιμος καὶ δικαία βούλησις αὐτοῦ, καὶ ὡς μνημονεύουσα πάντων τῶν ἀνεψιῶν καὶ κληρονόμων αὐτοῦ, καὶ αὐτοῦ τοῦ τὴν ἀγωγὴν κινοῦντος Γιάννη, καὶ

τοσαύτας ἐλεημοσύνας καὶ ἀγαθοεργίας διορίζουσα, καὶ τὸν διατιθέμενον ἔχουσα ὑγιαίνοντα τὰς φρένας, καὶ κατὰ πάντα ἄμεμπτος διατελοῦσα (οὔτε γὰρ ἐναντίωσιν ἐπιδέχεται, διὰ τὸ μηδένα τῶν κληρονόμων καταλιπεῖν ἀμνημόνευτον, οὔτε μέμψιν ἔχει διὰ τὸ τὸν φαλκίδιον χώραν οὐκ ἔχειν ἐν αὐτῇ μὴ ὑπόντων παίδων· ἡ γὰρ κατὰ τῆς διαθήκης ἐναντίωσις, ὡς οἱ θεῖοι νόμοι φασὶ, παρὰ τοῦ ἀμνημονεύτου κινεῖται, ἡ δὲ μέμψις παρὰ τοῦ ἔλαττον τοῦ φαλκιδίου λαμβάνοντος) ἔχειν ὀφείλει τὸ κῦρος καὶ τὴν ἰσχὺν ἐν πᾶσι τοῖς διοριζομένοις ἐν αὐτῇ, καὶ μὴν καὶ ἐν τῇ ἀποκαταστάσει τοῦ ῥηθέντος ἐπιτρόπου Ραδουκάνου, καὶ αἱ διανεμηθεῖσαι ἐλεημοσύναι ὑπ' αὐτοῦ κατὰ τὴν διάταξιν τοῦ θανόντος ἔχωσι μένειν κατὰ χώραν, εἰς τοὺς οὓς ἐπεδόθησαν τόπους, ἀναφαίρετοι καὶ ἀναπόσπαστοι· ἡ δὲ προγενεστέρα διαθήκη, ἣν προβάλλει ὁ ῥηθεὶς Γιάννης, ὡς διορισθεὶς ἐν αὐτῇ ἐπίτροπος, οὐδεμίαν ἔχει σύστασιν καὶ βεβαίωσιν, ἀνατραπεῖσα ὑπὸ τῆς μεταγενεστέρας· ῥητῶς καὶ γὰρ οἱ θεῖοι νόμοι φασὶν, « ἡ προγενεστέρα διαθήκη ἀνατρέπεται ὑπὸ τῆς μεταγενεστέρας τελείας οὔσης· ἀσύστατον δὲ πάντῃ καὶ τὸ ζητεῖν ἀχαριστίας αἴτια διὰ τὴν ἀποβολὴν τοῦ πρώτου ἐπιτρόπου», τοῦτο γὰρ ἐπὶ τῶν ἀποκλήρων μόνον οἱ νόμοι προσέταξαν, καὶ τὰς τῆς ἀχαριστίας αἰτίας ἐγγράφους ὡρίσαντο· ἐπίτροπον δέ τις ζῶν κατ' ἀρέσκειαν ἰδίαν καὶ τίθησι καὶ ἀποτίθησιν, αἰτίαν ὑπὸ τῶν νόμων οὐκ ἐπερωτώμενος, ὅπου γε καὶ εἰ βούλοιτό τις κἀνταῦθα ἐκ τοῦ παρέλκοντος αἰτίας ἐπιζητεῖν μαρτυρεῖται προδήλως ἡ τοῦ ῥηθέντος Γιάννη πρὸς τὸν ῥηθέντα θεῖον αὐτοῦ Κηρύκον, ἅπαξ καὶ δὶς, ἐν μυρίοις ἀτοπήμασι καὶ ἁμαρτήμασιν, ἐπιβουλαῖς τε καὶ καταδρομαῖς πρόσκρουσις, δι' ἣν καὶ μέχρι τέλους τῆς ζωῆς αὐτοῦ οὕτως ἦν ἐποργιζόμενος αὐτῷ, ὡς καὶ ἀπόβλητον ἔχειν αὐτὸν, καὶ μόλις περὶ τὸ τέλος τοῦ βίου διαλλαγῆναι αὐτῷ, μεσιτείᾳ καὶ παρακλήσει πολλῇ ἱερωμένων καὶ λαϊκῶν, καθὼς ἀπὸ τοῦ ἴσου τοῦ μαρτυρικοῦ γράμματος ἔγνωμεν, πρὸς δὲ τὰ περὶ τῆς συμφωνίας καὶ ὁμολογίας τῆς μετὰ θάνατον τοῦ Κηρύκου γενομένης μεταξὺ τοῦ Ραδουκάνου καὶ Γιάννη προ-

βαλλόμενα, ὁ μὲν Ραδουκάνος ἀπολογεῖται βίᾳ καὶ κατ' ἀνάγκην γενέσθαι, μὴ ἐνὸν ἄλλως τὴν χρηματικὴν τοῦ τελευτήσαντος περιουσίαν συναχθῆναι, καὶ εἰς τὰς διορισθείσας ἐλεημοσύνας ἐπιδοθῆναι, εἰ μὴ τῇ τοιαύτῃ κατ' οἰκονομίαν ὑποκρίσει τῆς ὁμολογίας πραγματευσαμένῃ τὴν διαλλαγὴν τῶν ἀντιφερομένων μερῶν, ἐξ ὧν τῆς διαφορᾶς καὶ διενέξεως ἐπήρτητο κίνδυνος καὶ τὰ χρήματα ἀπολεσθῆναι, καὶ τὰς ἐλεημοσύνας ἀπρακτῆσαι· οὐ μὴν ἀλλὰ καὶ τοῖς νόμοις ἀνένδεκτός ἐστιν ἡ τοιαύτη συμφωνία, ὡς ἀναιροῦσα τὴν τοῦ θανόντος νόμιμον διάταξιν, ἥτις ἐστὶν ἡ τελευταία διαθήκη. Οὔτε γὰρ εἶχεν ἐξουσίαν ὁ Ραδουκάνος σύμφωνα τοιαῦτα θέσθαι ἐπ' ἀναιρέσει διαθήκης, ἧς αὐτὸς οὐκ ἦν κύριος, ἀλλ' ὁ τὴν διαθήκην πεποιηκὼς Κηρύκος, καὶ ἡ ὅπως δήπως καθ' ὑπόκρισιν οἰκονομικὴν γενομένη ὁμολογία, ὡς μηδὲ γεγονυῖα τὸ παράπαν λογίζεται. Ἀλλὰ καὶ τὸ ζητεῖν τοὺς κληρονόμους καὶ ἀνεψιοὺς πάντας τὸ ἴσον μέρος λαβεῖν τοῖς ἐξ ἀδιαθέτου κληρονομοῦσι χώραν ἔχει· οὐ μὴν δ' ἔνθα διαθήκη νόμιμος πρόκειται διορίζουσα ἑνὶ ἑκάστῳ τῶν συγγενῶν τὸ ὅσον περ ἠθέλησεν ὁ διατιθέμενος, φυλάξας τὸ ἐκ τῶν νόμων δίκαιον· τὰ δ' ἀπερισκέπτως καὶ ἔξω τῆς τῶν νόμων ἀκριβείας καὶ τοῦ δικαίου ὅπως δήπως φθάσαντα ἀποφανθῆναι αὐτόθι περὶ τῆς προκειμένης ὑποθέσεως ἔχουσι μένειν τοῦ λοιποῦ ἄκυρα καὶ ἀνενέργητα. Ἂν δὲ ὁ ῥηθεὶς Γιάννης, ἢ ἄλλος τις, ἢ συγγενής, ἢ ξένος θελήσῃ ἀντειπεῖν καὶ ἐναντιωθῆναι τῇ πατριαρχικῇ καὶ συνοδικῇ ἡμῶν κρίσει καὶ ἀποφάσει ταύτῃ κατὰ τοὺς ἐκκλησιαστικοὺς νόμους περατωθείσῃ, καὶ τὴν ῥηθεῖσαν τελευταίαν διαθήκην τοῦ ποτὲ Κηρύκου, καὶ τὰ ἐν αὐτῇ διοριζόμενα περί τε τῶν ἐλεημοσυνῶν, καὶ λεγάτων, καὶ συγγενῶν, καὶ τῆς ἐπιτροπῆς τοῦ Ραδουκάνου τολμήσῃ ἀνατρέψαι καὶ διασεῖσαι καὶ παρασαλεῦσαι, οἱῳδήτινι τρόπῳ, δι' ἡντιναοῦν πρόφασιν, ὁ τοιοῦτος ὁποίας ἂν εἴη τάξεως καὶ ὁποίου βαθμοῦ, ἀφωρισμένος εἴη (αἱ ἀραὶ ὡς συνήθως).

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 208—209.

ΠΒ΄.

ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΑΠΟ ΝΙΚΟΜΗΔΕΙΑΣ

Διάζευξις ἐπ' αἰτίᾳ μανικοῦ πάθους γενομένη, καὶ διορισμὸς περιουσίας τοῦ νοσοῦντος μέρους.

Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε μητροπολῖτα Μιτυλήνης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λέσβου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ· καὶ ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς, καὶ χρήσιμοι ἄρχοντες καὶ γέροντες τῆς ἐπαρχίας ταύτης· χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος, εὐχὴ δὲ καὶ εὐλογία καὶ συγχώρησις παρὰ τῆς ἡμῶν μετριότητος. Τῶν χριστιανικῶν πραγμάτων τε καὶ συναλλαγμάτων, ὅσα νόμων ἱερῶν καὶ θείων κανόνων διορισμοῖς τε καὶ διατάξεσιν ἄνωθεν καὶ ἐξ ἀρχῆς νενομοθέτηται καὶ διατέτακται, καὶ ταῖς ὑπ' αὐτῶν κειμέναις ἐγγράφοις ἱεραῖς διαστίξεσιν, ὡσπερεί τισι χάραξι καὶ θριγγίοις διειλήφαται καὶ περιπέφρακται, τὰ τοιαῦτα πᾶσα ἀνάγκη ἀμετακίνητα διόλου καὶ ἀπαρεγχείρητα διασώζεσθαι: μὴ μέταιρε γάρ, φησίν, ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου· κατοχυροῦσθαί τε καὶ βεβαιοῦσθαι καὶ τῆς προσηκούσης ἀξιοῦσθαι συστάσεως, ἐμφανιζόμενα κατὰ πάντα καιρὸν τῇ ἁγίᾳ τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ καὶ τοῖς ἐν αὐτῇ προκαθημένοις καθόλου προστάταις καὶ κηδεμόσιν, οἵτινες ὡς τῶν ἱερῶν νόμων διεφέντορες καὶ ἀκριβεῖς φύλακες ἐπαγρυπνεῖν ὀφείλουσι καὶ λιπαρῶς προστετηκέναι τῇ ἱερᾷ νομοθεσίᾳ καὶ τῇ κανονικῇ ἀκριβείᾳ συντάττειν τε καὶ συναρμόττειν αὐτῇ ὡς ἐπὶ στάθμης τεκτονικῆς τὰς συμπιπτούσας τῶν χριστιανῶν ὑποθέσεις, ὅσαι νομίμων κεφαλαίων ἐξήρτηνται καὶ ἐξέχονται· καὶ ὅσας μὲν εὕρωσι τοῖς νόμοις συμβαινούσας καὶ τοῖς

ἐκκλησιαστικοῖς κανόσιν ἀποφανθείσας τε καὶ ἀποπερατωθείσας, ταύτας καὶ βεβαιοῦν καὶ κατασφαλίζεσθαι πρὸς μείζονα τοῦ δικαίου ἐνέργειάν τε καὶ ἐπισύστασιν. Ἂν δέ ποτέ τινας ἐξ αὐτῶν καταλάβωσι τοῦ καθήκοντος παρενεχθείσας καὶ κατά τινα ἐπήρειαν καὶ περίστασιν ἀπερίσκεπτον τῶν ἱερῶν ὅρων ἀποκινηθείσας τε καὶ ἐκτοπισθείσας, ἀπεναντίας τε τῇ νομικῇ διατάξει διὰ προηγησαμένης ἀποφάσεως, παρὰ τὴν ἀπαιτουμένην ἀκρίβειαν ἐπιπολαίῳ τινὶ καὶ σχεδίῳ θεωρίᾳ συντελεσθείσας, (ἐξ ἧς συμβαίνει ἀδικίαν προστρίβεσθαι καὶ βλάβην οὐ τὴν τυχοῦσαν τοῖς ὡς εἰς λιμένα εὔδιον καταφεύγουσι τῇ τοῦ οἰκουμενικοῦ θρόνου ἐκκλησιαστικῇ δικαιοδοσίᾳ χριστιανοῖς), οὐ παραιτοῦνται ἀνακαλεῖσθαι τάς γε τοιαύτας καὶ διορθοῦν καὶ συμφθεγγομένην τοῖς νόμοις τὴν ψῆφον ἐκφέρεσθαι, καὶ οὕτως ἀποκαθιστᾶν τὸ δίκαιον εἰς τὸν τόπον αὐτοῦ δευτέραις ἐπικρίσεσι καὶ ἀκριβεστέραις θεωρίαις· αἱ γὰρ δεύτεραι σκέψεις, κατὰ τὸν εἰπόντα, ἀείπως σοφώτεραι. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ ἀπὸ τῆς αὐτόθι ἐπαρχίας Τζάνος ὀνόματι, ἔχων γυναῖκα τὴν Κονίτζαν καλουμένην θυγατέρα τῆς Ἀμοιριστούδας, καὶ συνοικήσας μετ᾽ αὐτῆς ἱκανοὺς χρόνους ἤδη, ὡς καὶ τέσσαρα ἐξ αὐτῆς γεννήσας τε καὶ ἐκθρέψας τέκνα, εἶτα δυσχεράνας ἐπὶ τῇ μετ᾽ αὐτῆς συνοικήσει, προὐβάλετο μανίαν ἔχειν αὐτὴν καὶ κινήσας ἀγωγὴν ἐπὶ τῷ πάθει τῆς γυναικὸς τούτῳ ἀνήνεγκε τὰ κατ᾽ αὐτὸν πρὸς τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν ἐπὶ τοῦ πρὸ ἡμῶν πατριαρχεύσαντος κὺρ Παϊσίου, ἀπολοφυράμενος καὶ ἐκτραγῳδήσας τὸ δυσανασχέτως φέρειν τὴν μετ᾽ ἐκείνης συνοίκησιν ἀνιάτως ἐχούσης, ὡς διισχυρίζετο· αἷς τισιν ὀλοφύρσεσι καὶ τῇ πιθανότητι τῶν ὑπ᾽ αὐτοῦ λεγομένων, ἐπὶ τῇ καταχρήσει τοῦ τῆς μανίας ὀνόματος, ἴσχυσε δυσωπῆσαι τήν τε σὴν ἱερότητα (ἐπιδημοῦσαν ἐνταῦθα, καὶ διὰ τὸ ἀπεῖναι αὐτόθεν μὴ λαβοῦσαν τὴν ἀκριβῆ τοῦ πράγματος γνῶσιν, διὰ τῆς ἐπακροάσεως ἀμφοτέρων τῶν ἀντιδιαφερομένων μερῶν, ἀλλὰ μόνῃ τῇ τοῦ Τζάνου ἐλεεινολογίᾳ ἐνδεδωκυῖαν) καὶ τὸ ἐκκλησιαστικὸν κριτήριον, ὥστε ἐκχωρηθῆναι καὶ δοθῆναι αὐτῷ ἐκκλησιαστικῶς τὴν ἀπὸ τῆς ῥηθείσης Κονίτζης

διάζευξιν, διὰ προεκδοθέντος πατριαρχικοῦ διαζυγίου γράμματος, οὐ νομίμως μὲν οὐδὲ δικαίως, προβάντος δ' οὖν, ἅτε δὴ κατασκευασθέντος ἐπ' ὀνόματι μόνον μανίας, οὐ μὴν δὲ πράγματι. Ἐπείτοιγε οἱ μὲν νόμοι καὶ κανόνες τῆς Ἐκκλησίας, καὶ μάλιστα ἡ Ἰουστινιάνειος Νεαρὰ, ἡ διορισαμένη τελευταῖον ῥητὰς τὰς εὐλόγους αἰτίας ἐπὶ τῆς τῶν συνοικεσίων διαλύσεως, τοῦ τῆς μανίας κεφαλαίου οὐδόλως μέμνηται, οὔτε ἐπ' αἰτίᾳ τοιαύτῃ διάλυσιν συνεχώρησαν, μόνη δὲ μετ' αὐτοὺς ἡ τοῦ σοφοῦ Λέοντος Νεαρὰ εὑρίσκεται συγχωροῦσα τὴν ἐπ' αἰτίᾳ μανίας διάλυσιν, οὐ μέντοι γε οὐδ' αὕτη ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ μετὰ προσδιορισμῶν ἀναγκαίων ἐξηγοῦσα τοῦτο καὶ ἑρμηνεύουσα. ὡς ἐν τοῖς Βασιλικοῖς νομίμοις, τίτλῳ Η΄ φέρεται, φησὶ γὰρ ἐπὶ λέξεως οὕτως: «εἰ δὲ καὶ φορητή ἐστιν ἡ μανία, εἴτε διηνεκὴς, εἴτε ἐκ διαλειμμάτων, οὐκ ὀφείλει ὁ νήφων στέλλειν τῷ μαινομένῳ διαζύγιον, εἰ δὲ στέλλει δοκεῖ προπετείᾳ αὐτοῦ ὁ γάμος διαλύεσθαι, καὶ ὑπόκειται τοῖς ἐπιτιμίοις τοῖς κατὰ τῶν μάτην πεμπόντων ῥεπούδιον ὡρισμένοις· τί γὰρ οὕτως ἐστὶ, φησὶ, φιλάνθρωπον, ὡς τὸ μετέχειν τῶν τυχηρῶν περιστάσεων τοῦ ἀνδρὸς τὴν γυναῖκα, καὶ τὸν ἄνδρα τῆς γυναικός. Ἐὰν δὲ τοσαύτη ἐστὶν ἡ μανία, καὶ οὕτως ἀγρία καὶ ὀλέθριος, ὡς σχεδὸν μηδεμίαν ἐλπίδα ὑγείας ἔχειν, ἔστι δὲ καὶ φοβερὰ τοῖς ὑπηρετοῦσι τῷ μαινομένῳ, καὶ τὸ ἕτερον πρόσωπον τὸ νῆφον, ἢ διὰ τὴν χαλεπότητα τῆς μανίας καὶ τὸ μὴ δύνασθαι συγγενέσθαι ἐκείνῃ, ἢ διὰ τὸ μὴ ἔχειν παῖδας καὶ βούλεσθαι ἐξ ἑτέρας παιδοποιῆσαι, τότε ἐξουσίαν ἐχέτω τὸ νῆφον πέμπειν ῥεπούδιον τῷ μεμηνότι προσώπῳ, καὶ οὕτω λυέσθω ἀζημίως ὁ γάμος». Ἐξ ἧς νομοθεσίας συνάγεται προφανῶς σεσυκοφαντημένην εἶναι τὴν ὑπὸ τοῦ Τζάνου κατὰ τῆς Κονίτζης κινηθεῖσαν ἐπὶ τῇ μανίᾳ ἀγωγὴν, καὶ ὄνομα φέρειν οὐ μὴν δὲ πρᾶγμα μανίας, καὶ αὐτὸν ὑπεύθυνον εἶναι τῆς κατὰ τῶν μάτην ῥεπούδιον πεμπόντων ἐπιτιμίοις· οὔτε γὰρ ἀφόρητος αὕτη, οὔτε συνεχὴς, οὔτε τοῖς ὑπηρετοῦσιν ἐπικίνδυνος· οὐδεὶς γὰρ ἐβλάβη ἐξ αὐτῆς ἐν διαστήματι τοσούτων χρόνων· οὔτε τὴν σαρκικὴν

συνάφειαν τοῦ ἀνδρογύνου κωλύουσα· ὁ γὰρ ῥηθεὶς Τζάνος, μετὰ τὸ λαβεῖν τὸ διαληφθὲν ἐκκλησιαστικὸν διαζύγιον, ἐπὶ τῇ ἀγωγῇ ταύτῃ τῆς μανίας, συγγενόμενος αὖθις μετ᾽αὐτῆς, ἔτεκε τὸ τέταρτον παιδίον ἐπὶ τοῖς προτεχθεῖσι τρισὶν, ἑπταμηνιαῖον ἤδη τυγχάνον, καὶ μετὰ πάσης μητρικῆς ἐπιμελείας γαλακτοτροφούμενον καὶ αὐτὸ ὑπὸ τῆς Κονίτζης, ὡς καὶ τὰ λοιπὰ πρότερα αὐτῆς τέκνα ἀνατροφῆς ἠξιώθησαν, χωρὶς ὅλως τινὸς κινδύνου. Μετὰ δὲ τὴν διάζευξιν ταύτην, ἀναφυείσης καὶ ἄλλης διαφορᾶς μεταξὺ αὐτῶν περὶ τῆς προικὸς, ἄσπρων τε μετρητῶν καὶ πραγμάτων τῆς ῥηθείσης Κονίτζης, καὶ τοῦ μὲν Τζάνου ὡσπερεὶ τῇ προτέρᾳ ἀνομίᾳ προστεθέντος καὶ ἄλλην, καὶ διατεινομένου παρακατέχειν αὐτὰ ἐπιτροπικῶς, νέμεσθαί τε καὶ ἔχειν τὴν χρῆσιν αὐτῶν, τῆς δὲ Κονίτζης μὴ ἀνεχομένης τὴν δευτέραν ἀδικίαν ταύτην (καίτοι τῇ προτεραίᾳ τῇ τῆς διαλύσεως, ἑκοῦσα ἀέκουσα, ἐνδοῦσά τε καὶ στέρξασα καὶ τὴν τῆς ἀνδρικῆς περιθάλψεως στέρησιν, μετὰ τῆς ἐπὶ τῇ τῆς μανίας συκοφαντίᾳ ὕβρεως, σὺν τῇ τῆς ἀσθενείας αὐτῆς θλίψει ὑπομείνασα) ἀλλὰ ζητούσης τὰ πράγματα καὶ τὴν περιουσίαν αὐτῆς δοθῆναί τε καὶ ἐγχειρισθῆναι αὐτῇ τε καὶ τῇ ῥηθείσῃ μητρὶ αὐτῆς Ἀμοιρισούδῃ, ὡς μελλούσης μετ᾽αὐτῆς συνοικῆσαι τοῦ λοιποῦ καὶ συμβιωτεῦσαι, ἔφθασαν κἀπὶ ταύτῃ τῇ διαφορᾷ αὐτῶν ἐξενεχθῆναι καὶ ἐκδοθῆναι πρὸ ἡμῶν κατὰ συναρπαγὴν διάφορα πατριαρχικὰ συνοδικὰ γράμματα, μὴ προηγησαμένης τῆς τῶν νόμων ἀκριβοῦς ἐρεύνης, συνηγοροῦντα ταῖς ὅπως δήπως γενομέναις ἀξιώσεσι καὶ αἰτήσεσι τοῦ ῥηθέντος Τζάνου, τανῦν δὲ ἀνενεχθείσης συνοδικῶς τῆς ὑποθέσεως ταύτης τῇ ἡμῶν μετριότητι καὶ μετὰ πάσης ἐπιμελείας ἐπεξεργασίας τε καὶ ἀκριβοῦς θεωρίας τῶν ἱερῶν νόμων διευκρινηθείσης, συνηγορούσης ἡμῖν ἐν τούτῳ καὶ τῆς σῆς ἱερότητος, ἅτε ἐν πληροφορίᾳ ἤδη γεγενημένης καὶ ἐπιγνούσης ἠδικημένην εἶναι τὴν ῥηθεῖσαν Κονίτζαν ἐν πᾶσι τοῖς εἰρημένοις, καὶ συνεπινευούσης τῇ κατὰ νόμους ἐνδεχομένῃ ἀποκαταστάσει τοῦ δικαίου αὐτῆς· δεῖν ἔγνωσται τὴν μὲν ὅπως δήπως φθάσασαν γενέσθαι διάζευξιν ἐᾶσαι κατὰ

χώραν, ὡς ἤδη συντελεσθεῖσαν διὰ τὸ ἀδύνατον γενέσθαι τοῦ λοιποῦ τὴν μεταξὺ αὐτῶν συμβίωσιν, καὶ διὰ τὴν ὑφορωμένην ἐπήρειαν τῇ ἀσθενῶς ἐχούσῃ Κονίτζῃ ταύτῃ, ἐκ τοῦ ἀναφυέντος μίσους τε καὶ ἀπεχθείας, στερξάσῃ τε καὶ εὐαρεστηθείσῃ ἐπ' αὐτῇ· περὶ δὲ τῆς προικὸς καὶ τῶν πραγμάτων κινητῶν τε καὶ ἀκινήτων τῆς ῥηθείσης Κονίτζης, ἐπειδὴ οἱ θεῖοι καὶ ἱεροὶ νόμοι, ἀληθοῦς μὲν ὄντος τοῦ πάθους τῆς μανίας, κατὰ τοὺς ἀνωτέρω ἐκτεθέντας νομικοὺς προσδιορισμοὺς, συγχωροῦντες τὴν διάζευξιν ἀζήμια κελεύουσι μένειν τὰ διαζευχθέντα μέρη, ψευδοῦς δὲ καὶ σεσυκοφαντημένου τυγχάνοντος, ὡς ἡ κατὰ τῆς ῥηθείσης Κονίτζης γεγενημένη ἀγωγὴ, ἐξ αὐτῶν τῶν πραγμάτων προφανῶς ἔχειν ἀναδέδεικται, τὸν ῥηθέντα Τζάνον ὑπαίτιον κρίνουσιν ἐπὶ τῇ κατὰ τῶν μάτην ρεπούδιον πεμπόντων αἰτίᾳ, καὶ ἑπομένως ἔνοχον καθιστῶσι τῷ ἐπὶ τῷ τοιούτῳ ἐγκλήματι προστίμῳ· φησὶ γὰρ ἐπὶ λέξεως ἡ ΡΙΖ' Ἰουστινιάνειος Νεαρά: «εἰ δὲ καὶ ὁ ἀνὴρ τὸν πρὸς τὴν γυναῖκα διαλῦσαι γάμον σπουδάσει, καὶ εὐλόγως ρεπούδιον πέμψει, κελεύομεν αὐτῷ ἀποδοῦναι μὲν ἣν ἀπεδέξατο προῖκα, ἅμα τῇ πρὸ γάμου δωρεᾷ, καὶ τοσοῦτον ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας παρέχεσθαι τῇ γυναικὶ, ὅσον τὸ τρίτον μέρος τῆς προγαμιαίας δωρεᾶς ποιεῖ· καὶ εἰ μέν εἰσιν αὐτῇ παῖδες μόνην τὴν χρῆσιν τῆς τε προγαμιαίας δωρεᾶς καὶ τοῦ παρ' ἡμῶν προστεθέντος τρίτου μέρους ἔχειν τὴν γυναῖκα, τὴν δὲ δεσποτείαν τοῖς παισὶ φυλάττεσθαι· παίδων δὲ μὴ ὑπόντων, ἔχειν τὴν γυναῖκα πρὸς τῇ χρήσει καὶ τὴν ἐπὶ τοῖς αὐτοῖς πράγμασι δεσποτείαν»· ὁ διαληφθεὶς Τζάνος ὀφείλει κατὰ πᾶσαν ἀνάγκην ἀποκατασταθῆναι καὶ ἀποδοῦναι τῇ ῥηθείσῃ Κονίτζῃ, καὶ τῇ μητρὶ αὐτῆς Ἀμοιρισούδῃ, πρῶτον μὲν ὁλόκληρον τὴν προῖκα ἀπό τε τῶν μετρητῶν χιλίων γροσίων, καὶ ἀπὸ τῶν ἄλλων πραγμάτων αὐτῆς κινητῶν τε καὶ ἀκινήτων καὶ μαλαγματικῶν εἰδῶν καὶ λοιπῶν, ὅσα περιέχονται ἐν τῷ προικοσυμφώνῳ γράμματι αὐτῆς, ἀνελλειπῶς καὶ ἀπαραμειώτως· δεύτερον ὀφείλει ἀποδοῦναι αὐτῇ, καὶ τὴν προγαμιαίαν αὐτῆς δωρεὰν, καὶ πρὸς τούτοις δοῦναι αὐτῇ ἀπὸ τῆς ἰδίας περιουσίας καὶ ἕτερον τρίτον μέ-

ρος, ὅσον ἐστὶν ἡ προγαμιαία δωρεά, κατὰ τὴν ἐκτεθεῖσαν Ἰουστινιάνειον Νεαρὰν καὶ νομικὴν διακέλευσιν· καὶ ἐπὶ πᾶσι τούτοις ὀφείλει ὁ αὐτὸς Τζάνος πληροῦν καὶ διδόναι ἐξ ἰδίων τὰ πρὸς ζωοτροφίαν καὶ ἀνατροφὴν ἀναγκαῖα καὶ χρειώδη δαπανήματα τῶν ἀπὸ τῆς ῥηθείσης Κονίτζης τεχθέντων παίδων αὐτοῦ, μενόντων παρὰ τῇ μητρὶ αὐτῶν, κατὰ τὴν αὐτὴν Ἰουστινιάνειον Νεαρὰν, ῥητῶς καὶ περὶ τούτου ἀποφαινομένην, ὡς «ἐπειδὰν ὁ πατὴρ τὴν πρόφασιν τῆς διαζεύξεως παράσχῃ, καὶ ἡ μήτηρ εἰς δεύτερον γάμον οὐκ ἔλθῃ, τρέφεσθαι παρὰ τῇ μητρὶ τοὺς παῖδας, τὰς δαπάνας τοῦ πατρὸς παρέχοντος». Οὕτως οὖν ἐχόντων τῶν νομικῶν ὅρων τε καὶ παραγγελμάτων περὶ τοῦ προκειμένου ζητήματος μεταξὺ τοῦ Τζάνου καὶ τῆς Κονίτζης, ὡς ἐπὶ λέξεως ἀνωτέρω ῥητῶς πεφανέρωται καὶ ἐκτέθειται, γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, ἐκτὸς μόνον τοῦ ἐπὶ τῇ διαλύσει αὐτῶν φθάσαντος προεκδοθῆναι πατριαρχικοῦ διαζυγίου γράμματος (ὅπερ ὀφείλει ἔχειν τὸ κῦρος καὶ τὴν ἰσχὺν διὰ τὰς ἀνωτέρω ἐκτεθείσας αἰτίας, ἤτοι τὴν εὐαρέστησιν ἀμφοτέρων τῶν μερῶν, καὶ τὸ ἀδύνατον τοῦ λοιποῦ τῆς μεταξὺ συνοικήσεως, καὶ τὴν ὑφορωμένην τῇ ἀσθενούσῃ ἐπήρειαν, λόγῳ οἰκονομίας, καὶ παρ' ἡμῶν ὡς φθάσαν ἤδη συντελεσθῆναι συγκεχωρημένον) τὰ λοιπὰ ὅσα ἔφθασαν προεκδοθῆναι πρὸ ἡμῶν ἐπὶ τῇ ὑποθέσει ταύτῃ κατὰ συναρπαγὴν, βίαν τε καὶ ἀπερίσκεπτον περίστασιν πατριαρχικὰ συνοδικὰ γράμματα, μένωσιν ἅπαντα τοῦ λοιποῦ ἄκυρα, διόλου ἄπρακτά τε καὶ ἀνίσχυρα, καὶ ἀνενέργητα, καὶ ὡς μηδὲ γεγονότα λογιζόμενα· ὁ δὲ διαληφθεὶς Τζάνος ἐφησυχάσας καὶ ἀρκεσθεὶς τῇ πρώτῃ αὐτοῦ παρανόμῳ κακουργίᾳ, δι' ἧς ἀσυνειδήτως καὶ ἐσυκοφάντησεν ἐπὶ μανίᾳ πεπλασμένῃ τὴν ῥηθεῖσαν Κονίτζην, ἐκθρεψαμένην μετὰ τοσαύτης μητρικῆς φιλοστοργίας τοσούτους παῖδας αὐτοῦ, καὶ συνοικήσασαν μετ' αὐτοῦ ἀκινδύνως, καὶ χωρὶς τοῦ βλάψαι τινὰ χρόνους ἤδη τοσούτους, καὶ ἀπεπέμψατο προδεδωκὼς αὐτὴν

ἀπαραμύθητον, τό γε εἰς αὐτὸν ἧκον, καὶ ἐπὶ τοσούτῳ ἐγκλήματι συγγνώμης ἐκκλησιαστικῆς ἠξίωτο, ἐὰν μὴ παύσηται τοῦ λοιποῦ καὶ τῆς ἐπὶ τῇ προικὶ κακουργίας, καὶ, κατὰ τὴν γενομένην ἤδη ἐκκλησιαστικὴν συνοδικὴν καὶ νόμιμον παρ' ἡμῶν ἀπόφασιν, μὴ θελήσῃ ἐπιστρέψαι καὶ ἀποδοῦναι πρὸς τὴν Κονίτζην ταύτην καὶ τὴν μητέρα αὐτῆς Ἀμοιρισοῦδαν ὁλόκληρον τὴν προῖκα αὐτῆς, τά τε μετρητὰ χίλια γρόσια, καὶ τὰ λοιπὰ πράγματα αὐτῆς, κινητὰ καὶ ἀκίνητα, καὶ τὰ μαλαγματικὰ εἴδη, σῶα καὶ ἀνελλειπῆ κατὰ τὴν περίληψιν τοῦ προικοσυμφώνου αὐτῆς γράμματος· ἔτι δὲ ἐὰν μὴ ἀποδῷ αὐτῇ καὶ τὴν προγαμιαίαν αὐτῆς δωρεὰν, καὶ πρὸς τούτοις καὶ τὸ τρίτον μέρος ὅσον ποιεῖ ἡ δωρεὰ ἐκ τῆς ἰδίας αὐτοῦ περιουσίας, διὰ τὸ ἐπικείμενον αὐτῷ κατὰ νόμους πρόστιμον, ἐπὶ τῇ ἄνευ λόγου διαζεύξει, καὶ τελευταῖον μενόντων παρὰ τῇ Κονίτζῃ τῶν ἐξ αὐτοῦ τεχθέντων παίδων αὐτῆς, ἐὰν μὴ φροντίζῃ πληροῦν καὶ διδόναι τὰ χρειώδη καὶ ἀναγκαῖα δαπανήματα πρὸς ἀνατροφὴν τῶν παίδων αὐτοῦ τούτων μέχρι τῆς ἡλικιώσεως αὐτῶν κατὰ τὰς ἐκτεθείσας νομικὰς διατάξεις, ἀλλὰ παρακούσῃ ἐν πᾶσι τούτοις, αὐτός τε καὶ ὅσοι ἄλλοι τολμήσωσι συντρέξαι καὶ βοηθῆσαι αὐτῷ ἐπὶ τῇ ἀδικίᾳ ταύτῃ καὶ ἐμποδίσαι οἱῳδήτινι τρόπῳ τὴν ἀποκατάστασιν τοῦ δικαίου τῆς ῥηθείσης Κονίτζης, ἀφωρισμένοι εἴησαν κτλ. (αἱ συνήθεις ἀραὶ καὶ αὐστηραὶ διατάξεις) ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ ἕως οὗ ἐπιστρέψῃ καὶ ἀποδῷ ὅλον τὸ δίκαιον τῆς ῥηθείσης Κονίτζης κατὰ τὴν ἀνωτέρω ἐκτεθεῖσαν ἐκκλησιαστικὴν καὶ νομικὴν ἀπόφασιν καὶ ἐξισασθῇ μετ' αὐτῆς χριστιανικῶς καὶ τότε τύχῃ συγχωρήσεως.

Ἐν ἔτει ,αψμη'.

Σημ. Μετεγράφη ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου· σελ. 258—261.

A. D. 1756.

ΠΓ΄.

ΤΟΥ ΑΥΤΟΥ ΚΥΡΙΛΛΟΥ

Ὅρος τῆς Ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας· περὶ τοῦ βαπτίσματος τῶν Δυτικῶν.

† Πολλῶν ὄντων τῶν μέσων, δι' ὧν τῆς σωτηρίας ἡμῶν ἀξιούμεθα, καὶ τούτων, ὡς εἰπεῖν, κλιμακηδὸν ἀλληλενδέτων καὶ ἀλληλουχημένων ὄντων, ἅτε δὴ πάντων πρὸς τὸ αὐτὸ τέλος ἀφορώντων, πρῶτόν ἐστι τὸ τοῖς ἱεροῖς Ἀποστόλοις θεοπαράδοτον βάπτισμα, οἷα δὴ τῶν λοιπῶν τούτου χωρὶς ἀπρακτούντων· «ἐὰν γάρ τις μὴ γεννηθῇ, φησὶν, ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»· ἔδει καὶ γὰρ ἀναγκαίως, τῆς πρώτης γεννήσεως ἐπὶ τὸν θνητὸν τουτονὶ βίον παραγαγούσης τὸν ἄνθρωπον, γέννησιν ἑτέραν ἐξευρεθῆναι καὶ τρόπον μυστικώτερον, μήτε ἀπὸ φθορᾶς ἀρχόμενον, μήτε εἰς φθορὰν καταλήγοντα, δι' οὗ γένοιτ' ἂν ἡμῖν δυνατὸν μιμήσασθαι τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν Ἰησοῦν Χριστόν. Τὸ γὰρ ἐν τῇ κολυμβήθρᾳ ὕδωρ τοῦ βαπτίσματος ἐν τάξει μήτρας λαμβάνεται, καὶ τόκος τῷ τικτομένῳ γίνεται, ᾗ φησιν ὁ Χρυσόστομος· τὸ δὲ ἐν τῷ ὕδατι ἐπιφοιτῶν Πνεῦμα ἐν τάξει Θεοῦ τὸ ἔμβρυον διαπλάττοντος· καὶ ὥσπερ ἐκεῖνος μετὰ τὴν ἐν τάφῳ κατάθεσιν τριταῖος ἐπὶ τὴν ζωὴν ἀνεφοίτησεν, οὕτως οἱ πιστεύοντες, ἀντὶ τῆς γῆς, τὸ ὕδωρ ὑποδυόμενοι, ἐν τρισὶ καταδύσεσι τὴν τριήμερον ἑαυτοῖς χάριν τῆς Ἀναστάσεως ἐξεικονίζουσιν, ἁγιαζομένου τοῦ ὕδατος τῇ ἐπιφοιτήσει τοῦ παναγίου Πνεύματος, ὡς ἂν τῷ μὲν φαινομένῳ ὕδατι τὸ σῶμα φωτίζοιτο, τῷ δὲ ἀοράτῳ Πνεύματι τὸν ἁγιασμὸν ἡ ψυχὴ λήψαιτο· ὡς γὰρ τὸ ἐν τῷ λέβητι ὕδωρ τῆς τοῦ πυρὸς μεταλαμβάνει θερμότητος, οὕτω τὸ ἐν τῇ κολυμβήθρᾳ ὕδωρ τῇ ἐνερ-

…lism of the Immersion …esents the 3 …ing of the …of Jesus Xt in the Tomb.

γείᾳ τοῦ Πνεύματος εἰς θείαν μεταστοιχειοῦται δύναμιν, καθαῖρον μὲν καὶ υἱοθεσίας ἀξιοῦν τοὺς οὕτω βαπτιζομένους, τοὺς δὲ ἄλλως πῶς τελουμένους ἀντὶ καθάρσεως καὶ υἱοθεσίας ἀκαθάρτους καὶ σκότους υἱοὺς ἀποφαῖνον. Ἐπειδὴ τοιγαροῦν πρὸ χρόνων ἤδη τριῶν ζήτημα ἀνεφύη, εἰ τὰ παρὰ τὴν παράδοσιν τῶν ἁγίων Ἀποστόλων καὶ θείων πατέρων καὶ παρὰ τὴν συνήθειαν καὶ διαταγὴν τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας ἐπιτελούμενα βαπτίσματα τῶν αἱρετικῶν δεκτά ἐστι προσερχομένων ἡμῖν, ἡμεῖς ἅτε θείῳ ἐλέει τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ ἐντραφέντες, καὶ τοῖς κανόσι τῶν ἱερῶν Ἀποστόλων καὶ θείων πατέρων ἑπόμενοι, καὶ μίαν μόνην γινώσκοντες τὴν ἡμετέραν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν, καὶ ταύτης τὰ μυστήρια, ἑπομένως καὶ τὸ θεῖον βάπτισμα, ἀποδεχόμενοι, τὰ δὲ τῶν αἱρετικῶν, ὅσα μὴ ὡς τὸ Πνεῦμα τὸ ἅγιον τοῖς ἱεροῖς Ἀποστόλοις διετάξατο καὶ ἡ Ἐκκλησία τοῦ Χριστοῦ μέχρι τῆς σήμερον ποιεῖ ἐπιτελούμενα [ἴσ. γρ. ἐπιτελοῦνται], ἐφευρέματα ἀνθρώπων διεφθαρμένων ὄντα, ὡς ἀλλόκοτα καὶ τῆς ἀποστολικῆς ὅλης παραδόσεως ἀλλότρια γινώσκοντες, ἀποστρεφόμεθα κοινῇ διαγνώσει, καὶ τοὺς ἐξ αὐτῶν ἡμῖν προσερχομένους ὡς ἀνιέρους καὶ ἀβαπτίστους δεχόμεθα, ἑπόμενοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τῷ τοῖς μαθηταῖς αὐτοῦ ἐντειλαμένῳ βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, τοῖς τε ἱεροῖς καὶ θείοις Ἀποστόλοις, διαταττομένοις ἐν τρισὶ καταδύσεσι καὶ ἀναδύσεσι τοὺς προσερχομένους βαπτίζειν καὶ ἐν ἑκάστῃ τῶν καταδύσεων ἓν ὄνομα ἐπιλέγειν τῆς ἁγίας Τριάδος· τῷ τε ἱερῷ καὶ ἰσαποστόλῳ Διονυσίῳ, λέγοντι τρὶς ἐν κολυμβήθρᾳ ὕδωρ καὶ ἔλαιον ἡγιασμένα ἐχούσῃ τὸν προσερχόμενον παντὸς ἀμφίου γεγυμνωμένον βαπτίζειν, τὴν τρισσὴν τῆς θείας μακαριότητος ἐπιβοήσαντα ὑπόστασιν, καὶ εὐθὺς τῷ θεουργικωτάτῳ μύρῳ τὸν βαπτισθέντα ἐπισφραγίζειν καὶ μέτοχον ἀποφαίνειν λοιπὸν τῆς ἱεροτελεστικωτάτης εὐχαριστίας· τῇ τε δευτέρᾳ καὶ πενθέκτῃ ἁγίαις Οἰκουμενικαῖς Συνόδοις, διαταττομέναις τοὺς μὴ βαπτιζομένους εἰς τρεῖς ἀναδύσεις καὶ καταδύσεις, καὶ ἐν ἑκάστῃ

τῶν καταδύσεων μίαν ἐπίκλησιν τῶν θείων ὑποστάσεων μὴ ἐπιβοῶντας, ἀλλ' ἄλλως πως βαπτιζομένους ὡς ἀβαπτίστους προσδέχεσθαι τῇ ὀρθοδοξίᾳ προσιόντας. Τούτοις τοίνυν τοῖς θείοις καὶ ἱεροῖς διατάγμασιν ἑπόμενοι καὶ ἡμεῖς, τὰ μὲν τῶν αἱρετικῶν βαπτίσματα, ὡς ἀπᾴδοντα καὶ ἀλλότρια τῆς ἀποστολικῆς θείας διατάξεως καὶ ὕδατα ἀνόνητα, ὡς ὁ ἱερὸς Ἀμβρόσιος καὶ ὁ μέγας φησὶν Ἀθανάσιος, καὶ ἁγιασμὸν μηδένα παρέχοντα τοῖς ταῦτα δεχομένοις, καὶ πρὸς κάθαρσιν ἁμαρτημάτων οὐδὲν ὠφελοῦντα, ἀπόβλητα καὶ ἀποτρόπαια ἡγούμεθα. Τοὺς δ' ἐξ αὐτῶν ἀβαπτίστως βαπτιζομένους ὡς ἀβαπτίστους ἀποδεχόμεθα προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, καὶ ἀκινδύνως αὐτοὺς βαπτίζομεν, κατὰ τοὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας, οἷς ἀοράτως ἐπιστηρίζεται ἡ ἁγία τοῦ Χριστοῦ καὶ ἀποστολικὴ καὶ καθολικὴ Ἐκκλησία, ἡ κοινὴ μήτηρ πάντων ἡμῶν. Καὶ ἐπὶ ταύτῃ τῇ κοινῇ ἡμῶν διαγνώσει καὶ ἀποφάνσει σφραγίζομεν τὸν Ὅρον ἡμῶν τοῦτον ταῖς ἀποστολικαῖς καὶ συνοδικαῖς διαταγαῖς συνᾴδοντα, διαβεβαιοῦντες αὐτὸν δι' ἡμετέρων ὑπογραφῶν.

Ἐν ἔτει σωτηρίῳ ͵αψνϛ'.

† **Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης**

† **Ματθαῖος ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς Οἰκουμένης.**

† **Παρθένιος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.**

Σημ. Ὁ Ὅρος οὗτος ἐξεδόθη τὸ πρῶτον τῷ 1756 ἐν σελ. ριγ' τοῦ συγγράμματος τοῦ σοφοῦ Εὐστρατίου Ἀργέντη τιτλον φέροντος «Ῥαντισμοῦ Στηλίτευσις, ἀπελύθη δὲ ὑπὸ συνόδου, ἣν συνεκάλεσεν ὁ πατριάρχης Κύριλλος Ε' ὁ πελοποννήσιος, οὗ τὸν χαρακτῆρα βλέπε σκιαγραφούμενον ἐν διατριβῇ Μ. Ι. Γεδεὼν περὶ τῶν κατὰ τοὺς τελευταίους αἰῶνας ἐν τῇ ἐκκλησίᾳ Κωνσταντινουπόλεως ἑτεροδιδασκαλιῶν· «*Ἐκκλ. Ἀληθείας*» τόμ. Γ', σελ 784—780. Βλέπε δὲ περὶ τῶν τότε γενομένων ἐπὶ τούτου τοῦ ζητήματος ἐρίδων ἐν Κωνσταντινουπόλει, τὰ *Ὑπομνήματα Ἐκκλησιαστικῆς Ἱστορίας* τοῦ Σεργίου Μακραίου παρὰ Κ. Σάθᾳ, Μεσαιων. Βιβλιοθ. τόμ. Γ', σελ. 220 κ. ἑξ. «καὶ ἄλλοι μὲν ἄλλας προφά-

σεις προβαλλόμενοι διηλέγχοντο ἀδίκως ταραττόμενοι, οἱ δὲ ἔλεγον, ὅτι ἄνευ συνοδικῆς διαγνώσεως βαπτίζει τοὺς προσιόντας τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ λατίνους καὶ δυτικούς, καὶ τὴν τοιαύτην μονοπρόσωπον αὐθεντίαν ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν οὐκ ἠνέχοντο· ὁ δὲ πρὸς αὐτοὺς ἀπεκρίνατο, ὅτι μὲν οἱ λατῖνοι καὶ δυτικοὶ τὸ παρὰ τοῦ Κυρίου βάπτισμα ἠθέτησαν, ραντίσματα σφίσιν ἐξευρόντες, αὐτέλεγκτοι· ὅτι δὲ προσήκει ἀβαπτίστους ὄντας βαπτίζειν, εἰ τῆς κρείττονος μερίδος γένωνται, ἀναγκαῖον ἡγοῦμαι συνοδικοῖς ὅροις καὶ κανόσιν ἑπόμενος· εἰ δέ τῳ ἄλλως δοκῇ, παρίτω καὶ τὸ δοκοῦν ἀποδεικνύτω· οὐ γὰρ προσιδιάζομεν τὴν κοινὴν περὶ τῶν τοιούτων σκέψιν, καὶ τὴν συνοδικὴν ἐν πᾶσιν ἀπόφασιν· εἰ δὲ καὶ ἄλλος ἀνεξετάστως παρακολουθεῖν τῷ ἔθει αἱρεῖται, ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ ποιείτω τὸ δόξαν· πρὶν γὰρ συνοδικῆς ἀποφάσεως, ἑκάστῳ τῶν συναδέλφων ἡμῶν ἁγίων ἀρχιερέων ἐπιτρέπομεν διενεργεῖν ὡς ἂν δοκῇ, ἐν ὀρθῇ καὶ ἀπταίστῳ τῇ συνειδήσει, τῷ προσιόντι εἰς σωτηρίαν εὔθετον, Ἐκ γοῦν τῆς τοιαύτης ἀποκρίσεως ἔδοξε τὴν περὶ τούτου ἔρευναν καὶ ἀπόφασιν εἰς πληρεστέραν ἀναθέσθαι σύνοδον . . . ἀνεστήλωσε δὲ τὸν ὅρον κατὰ τοῦ λατινικοῦ ραντίσματος συμφώνως τοῖς λοιποῖς τρισὶ πατριάρχαις ὁ παναγιώτατος Κύριλλος». Πρβλ. Κωνσταντίνου τοῦ ἐξ Οἰκονόμων τὰ Σωζόμενα Ἐκκλησιαστικὰ συγγράμματα, τόμ. Α΄, σελ. 477 κ. ἑξ. ὅπου ἐγένετο τρίτη τοῦ Ὅρου τούτου ἔκδοσις μετὰ τὴν ὑπὸ Ἀργέντη καὶ πρὸ τριακονταετίας ὑπὸ Ῥάλλη καὶ Ποτλῆ.

ΠΔ΄.

ΣΕΡΑΦΕΙΜ ΤΟΥ ΑΠΟ ΝΙΚΟΜΗΔΕΙΑΣ

Περὶ μεταδόσεως τῶν μυστηρίων εἰς τοὺς ἀσθενεῖς.

«Ἐθέσπισεν ὁ πατριάρχης (Σεραφείμ) τοὺς ἀσθενοῦντας πρῶτον ἐξομολογεῖσθαι καὶ μεταλαμβάνειν τῶν ἀχράντων μυστηρίων, εἶτα θεραπεύεσθαι παρὰ τῶν ἰατρῶν».

Σημ. Τῆς διατάξεως ταύτης μιμνήσκεται ὁ Κομνηνὸς Ὑψηλάντης· Τὰ μετὰ τὴν ἅλωσιν· σελ. 381.

ΠΕ΄.

ΤΟΥ ΑΥΤΟΥ ΣΕΡΑΦΕΙΜ

Περὶ τοῦ βαπτίζειν τὰ βρέφη ἐν τοῖς ναοῖς.

«**Καὶ τήν γε κάθαρσιν τὴν μυστικωτέραν τὴν τοῦ βαπτίσματος ἐν οἴκοις οὐκ οἶδ' ὅπως βεβήλοις τὰ πλεῖστα οὐκ εὐαγῶς κοινουμένην ἐντὸς σηκῶν ἱερῶν τελεῖσθαι προσέταξας**».

Σημ. Ταῦτα μανθάνομεν ἐξ ἐπιστολῆς τοῦ κλεινοῦ Εὐγενίου Βουλγάρεως πρὸς τὸν πατριάρχην Σεραφείμ, ἐκδοθείσης μετὰ τῶν ἀπαιτουμένων προλεγομένων ὑπὸ Μ. Ι. Γεδεὼν ἐν τῇ «*Ἐκκλ. Ἀληθείᾳ*» τόμ. Γ΄, σελ. 54—62. Μνημονεύεται τῆς διατάξεως καὶ Κομνηνὸς Ὑψηλάντης· ἐνθ' ἀνωτ. σελ. 381.

ΠϚ΄.

ΙΩΑΝΝΙΚΙΟΥ ΤΟΥ ΚΑΡΑΤΖΑ

Περὶ βαπτίσματος τῶν Ἀρμενίων.

« Τῶν ἀρμενίων τὸ ἔθνος . . . συνέχεε τὴν ὀρθὴν παράδοσιν τοῦ βαπτίσματος, ἀγόμενον καὶ φερόμενον ὑπὸ τῶν μισιοναρίων· ἐλεγχόμενοι δὲ ἤρξαντο ἀντιλαμβάνειν τὸν ὀρθὸν τύπον· διὸ καὶ ἡ Ἐκκλησία ὡς καὶ πρότερον προσιόντας μύρῳ χρίει. Οὕτω δὲ μύρῳ χρισθέντα διὰ πατριαρχικῆς συνοδικῆς ἐπιστολῆς κελευούσης ἀναδεξάμην Ἀρμένιόν τινα ἐν Προικονήσῳ κατὰ τὸ ,αψξ΄ σωτήριον ἔτος, ἐπὶ πατριάρχου Ἰωαννικίου τοῦ Γ΄. Ἐπερωτήσας γὰρ ὁ Προικοννήσου Ἀνανίας ὅπως ὀφείλει δέξασθαι τὸν προσιόντα, **ἔλαβε πατριαρχικὴν συνοδικὴν γνώμην δι' ἐπιστολῆς,**

ὡς πρὸς τοὺς προσιόντας τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ Ἀρμενίους, ἀποπτύσαντας τὰς αἱρέσεις, καὶ τὰ ὀρθὰ καὶ ἄτοπα καὶ ἄπταιστα δόγματα τῆς ἀμωμήτου πίστεως καθομολογήσαντας, μύρῳ χρίειν ὀφείλει τῇ Ἐκκλησίᾳ συντάσσων.

Σημ. Ταῦτα κατὰ Σέργιον Μακραῖον. «Ὑπομνήματα Ἐκκλης. Ἱστορίας», ἐν τόμ. Γ΄ Μεσσαιων. Βιβλιοθ. σελ. 410.

ΠΖ΄.

ΣΑΜΟΥΗΛ ΤΟΥ ΧΑΝΤΖΕΡΗ

Προικοδοσιῶν ὅροι καὶ κανόνες.

Κανὼν Α΄. Ὁ ἐπὶ χρήμασι κόρην μνηστευόμενος, καὶ χρήματα προβάλλων καὶ ἐξαιτῶν, ὁποίας ἂν εἴη τάξεως, ἐπικατάρατος.

Κανὼν Β΄. Ἡ προῖξ ἐκ παλαιοῦ τοῦ χρόνου ὡς νενομοθετημένη, συστοιχοῦσι παισὶ τοῖς τῶν πατέρων ἴχνεσιν, ἐχέτω αὕτη ἀκωλύτως τὸ κῦρος ἐπὶ πάσης καὶ παντοίας τάξεως, καὶ ἀκωλύτως ἐνεργείσθω, μηδενὸς ὄντος τοῦ κωλύοντος νόμου.

Κανὼν Γ΄. Τῶν κατὰ πόλεις καὶ χώρας οὐκ ἐπὶ τῆς αὐτῆς ὄντων τάξεως, ἀλλὰ τῶν μὲν μᾶλλον δυναμένων, τῶν δ' ἧττον, ἀνάγκη πᾶσα καὶ τὰ τῆς προικὸς ἀναλόγως τῇ τάξει παρακολουθεῖν.

Κανὼν Δ΄. Ἵνα μὴ τοῦ ὀνόματος μόνον ἐναλλαγή, οὐχὶ δὲ τοῦ πράγματος ᾖ, καὶ πάλιν ἡ νῦν ἕρπουσα νόσος ταὐτὰ ἐπινέμηται, ὥρισται κοινῇ τῶν ἁπάντων γνώμῃ ἐν ὡρισμένῳ τῷ μέτρῳ προβαίνειν τὰ τῆς προικός· τοῦτο δ' ἂν εἴη, εἰ τοὺς μὲν τῆς πρώτης τάξεως, οἷοί εἰσιν οἱ ἐξ εὐγενῶν καὶ λαμπρῶν οἴκων,

μέχρι τῶν ἓξ ἀμωσγέπως κοινῶς πουγγείων καλουμένων προῖκα λαμβάνειν θεμιτὸν, καὶ μὴ πλέον· τοὺς δὲ τῆς δευτέρας τάξεως μέχρι τεσσάρων ὁπωσοῦν, καὶ μὴ πλέον· τοὺς δὲ τῆς τρίτης τάξεως μέχρι τῶν δύο· τοὺς δὲ τῆς τετάρτης μέχρι τοῦ ἑνὸς πουγγείου· τοὺς δὲ τῆς πέμπτης μέχρι τῶν τριακοσίων γροσίων· τοὺς δὲ τῆς ἕκτης μέχρι τῶν διακοσίων γροσίων· τοὺς δὲ τῆς ἑβδόμης μέχρι τῶν ἑκατὸν πεντήκοντα· τοὺς δὲ τῆς ὀγδόης μέχρι τῶν ἑκατόν· τοὺς δὲ τῆς ἐννάτης μέχρι τῶν πεντήκοντα· ὥστε πρὸς τὰς ἄνω ἱεραρχίας, καὶ τὰ ἐπὶ γῆς τοῦ γένους ἡμῶν εἰς ἐννέα τάξεις εὖ μάλα διακοσμούμενα, καὶ τὰ προικὸς εἰς ἔννατον ἀριθμὸν διακοσμείσθω, καθ' ἣν ἔλαχε τάξιν ὁ νυμφευθησόμενος.

Κανὼν Ε΄. Ἐξέστω τῷ βουλομένῳ καὶ δυναμένῳ ἐλευθέρως καταχαρίζεσθαι ἡλίκα καὶ ὅσα καὶ οἷα, οὐ μὴν δ' ἐκ χρημάτων, οὐδ' ἐκ δανείων, τῇ θυγατρὶ αὐτοῦ, ἀλλ' ἐξ ὧν πεπλούτηκεν ἄλλων ἀγαθῶν· τὴν γὰρ χάριν καὶ δωρεὰν οὐδεὶς νόμος ὑπευθύνει· τοῖς δὲ κληρονομοῦσι, τῶν νόμων συνεισφορὰν ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις κελευόντων, ὅσα ἀπείρητο αὐτοῖς διαρρήδην, ταῦθ' ὅσιον καὶ ἡμῖν ἀπειπεῖν.

Κανὼν ΣΤ΄. Ἐν αἷς δὲ εἴθισται χώραις, οἷαί εἰσιν αἱ ἐν Βουλγαρίᾳ καὶ Ἀραβίᾳ, ἢ καὶ ἀλλαχόθι, ἀπ' οὐδένων χρημάτων καὶ δίχα προικὸς τὰς θυγατέρας ἐκδίδοσθαι, καὶ πρὸς τὸ μηδὲν μηδ' ὁτιοῦν λαμβάνειν τὸν νυμφίον, ἀλλὰ καὶ ἐξ ἰδίων διδόναι τοῖς τῆς νύμφης γονεῦσι θρεπτήρια καὶ τροφεῖα, τοῦτο τὸ ἔθος ἀκωλύτως ἐπικρατείτω, ὡς πολλῶν ἐπαίνων τὸ ἔργον ἄξιον.

Κανὼν Ζ΄. Ἐν τῇ βασιλευούσῃ, ὡς τὰ πρῶτα φερομένῃ τῶν ἄλλων ἁπασῶν κατ' οἰκουμένην πόλεων, τὴν τῆς προικὸς διατίμησιν τοῦτον τὸν τρόπον ὁρίζομεν, κατὰ τὸν τῆς τάξεως βαθμόν· ἐν δὲ ταῖς λοιπαῖς τῶν πόλεων ὡς ὑποβεβηκυίαις, τοῖς τῆς πόλεως γέρουσι, κατὰ δύναμιν τῶν ἐνοικούντων, τὴν τῆς προικὸς διατίμησιν ἀφίεμεν.

Ταῦτα τοιγαροῦν πρεσβεύει ὁ ἱερὸς οὗτος σύλλογος, καὶ τούς δε τοὺς κανόνας ἐν τῷ ἀρχείῳ τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκ-

κλησίας ἐξέθετο ἡ νῦν περὶ ἡμᾶς ἐνδημοῦσα κατὰ τὴν βασιλεύουσαν σύνοδος, ἡ ἐκ μεγίστων μεγίστη καὶ περὶ μεγίστων ἀείποτε τὰ κράτιστα καὶ ἄριστα βουλευσαμένη, κατὰ μῆνα Ἰανουάριον· Ἐπινεμήσεως ιε΄. Ἔτει σωτηρίῳ ͵αψζζ΄.

Ὅς δ' ἂν τῶν ἁπάντων παραβὰς τούς δε τοὺς ὅρους δράσῃ αὐτογνωμονῶν τὰ συνήθη καὶ παρὰ τὰ νενομοθετημένα ἀπαυθαδιάσῃ, ἢ διασεῖσαι καὶ ἀνατρέψαι θελήσῃ αὐτά, ἀντιβαίνων τοῖς κειμένοις, ὁ τοιοῦτος, ὁποίας ἂν εἴη τάξεως καὶ βαθμοῦ, εἴτε τῶν ἀπὸ τοῦ ἱεροῦ βήματος, εἴτε τῶν ἔξω τοῦ βήματος, ἐπικατάρατος εἴη παρὰ τῆς μακαρίας καὶ παναγίας Τριάδος, τοῦ ἑνὸς τῇ φύσει Θεοῦ Κυρίου παντοκράτορος, καὶ ἀφωρισμένος τῆς τοῦ Χριστοῦ ποίμνης, καὶ ἀπηλλοτριωμένος πάσης θείας χάριτος καὶ εὐλογίας, ξένος, γυμνὸς, καὶ ἀμέτοχος τῶν ἐπὶ γῆς ἀγαθῶν τοῦ Ὑψίστου· οὐ μὴ συναγάγῃ ἀμητὸν, οὐδὲ σπέρμα σταχύων ἀμύσσῃ, ἀντὶ δὲ τούτων ἀναβήσεται ἄκανθα· οὐδὲ δένδρον, οὐδὲ χόρτος ἐν τῷ κήπῳ αὐτοῦ, ἀλλ' ἔσται ὃν τρόπον ἔρημος ἐγκαταλελειμμένη, τὰ δὲ ἔργα τῶν χειρῶν αὐτοῦ ὡς χνοῦς ἀχύρου λικμώντων ἀπέναντι ἀνέμου, καὶ ὡς κονιορτὸς τροχοῦ διαφερόμενος εἰς ἀέρα· πᾶσα ἡ ἐμπορία αὐτοῦ εἰς προνομὴν καὶ ἅρπαγμα, καὶ φάγονται καὶ πίονται υἱοὶ ἀλλοτρίων ἐφ' οἷς ἐμόχθησε· πατάξαι Κύριος ὁ Θεὸς τὸν οἶκον αὐτοῦ, καὶ πένθος ἐπὶ πένθος νυκτὸς καὶ ἡμέρας πενθήσει· οὐ μὴ ἴδοι κληρονομίαν, οὐδὲ υἱὸς αὐτῷ ἢ θυγάτριον ἀπογεγαλακτισμένον· ἄρτον ζητήσει καὶ οὐ μὴ εὕρῃ, καὶ πρὸς τὸ ἔδαφος ἡ φωνὴ αὐτοῦ λιμώττοντος· ἄγγελος Κυρίου λικμησάτω τὰ ὑπάρχοντα αὐτοῦ, καὶ καταδιωξάτω αὐτὸν, καὶ τρόπος οὐκ ἔσται αὐτῷ καταφυγῆς, οὐδὲ ὁ ἐξαιρούμενος ἐκ τῶν χειρῶν τοῦ διώκοντος· τὸ δὲ ὄνομα αὐτοῦ εἰς ὄνειδος καὶ ἐξουθένημα ἐνώπιον πάντων, καὶ ταχὺς γένοιτο εἰς πύλας ᾅδου, καταλιπὼν τὰ ἔτη αὐτοῦ, καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος, καὶ μερὶς τοῦ προδότου Ἰούδα, καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης, καὶ ὑπὸ κατάραν καὶ δεσμὸν ἀδιάρρηκτον τῶν ἀπ' αἰῶνος ἁγίων καὶ θεοφόρων Πατέρων, ἔτι δὲ καὶ τῶν γονέων αὐτοῦ καὶ πάππων καὶ ἡμῶν ἁπάντων· ἐξ

ἐναντίας δὲ ὁ φυλάξας ἀπαράβατα καὶ ἀδιάσειστα τὰ κοινῇ ψήφῳ νενομοθετημένα, καὶ ἐν τῷ κανόνι τούτῳ συστοιχήσας εὐλογημένος εἴη παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος, εὐφροσύνη καὶ ἀγαλλίαμα ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐν πᾶσιν ἀγαθοῖς ἡ ψυχὴ αὐτοῦ, καὶ τὰ ὀλιγοστὰ αὐτῷ χιλιοστὰ γένοιτο, καὶ τὰ μικρὰ μέγιστα· εὐοδωθήτωσαν αἱ ὁδοὶ αὐτοῦ, καὶ δοξασθήτω ἐνώπιον Κυρίου· σπέρμα μακρόβιον δῴη αὐτῷ Κύριος καὶ ὄνομα αἰώνιον, καὶ τὰ αἰτήματα τῆς καρδίας αὐτοῦ προσευχομένου δεκτὰ παρὰ τῷ Θεῷ, καὶ προστεθείη χρόνος ἐπὶ χρόνον ἐν τῇ ζωῇ αὐτοῦ, καὶ τὰ ἔκγονα αὐτοῦ ἐν μέσῳ τῶν λαῶν· καὶ πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ἀπὸ Θεοῦ, ἔχον καὶ τὰς εὐχὰς καὶ εὐλογίας πάντων τῶν ἀπ' αἰῶνος ἁγίων τῆς Ἐκκλησίας πατέρων, καὶ ἡμῶν αὐτῶν, καὶ τῶν πατέρων αὐτοῦ. Τάδε ἐλάλησε τὸ βιβλίον τοῦτο, ῥήματα Κυρίου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.

» † **Σαμουὴλ** ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης ἀποφαίνεται, ἔχων καὶ τὰς γνώμας τῶν δύο πατριαρχῶν, τοῦ τε πρῴην Κωνσταντινουπόλεως κὺρ Ἰωαννικίου, καὶ τοῦ νῦν Ἀντιοχείας κὺρ Φιλήμονος.

» † Πατριάρχης Ἱεροσολύμων **Ἐφραίμ**, συναινοῦντος καὶ τοῦ πρῴην Ἱεροσολύμων κὺρ Παρθενίου συναποφαίνεται.

† ὁ Καισαρείας Μακάριος· — † ὁ Ἐφέσου Μελέτιος· — † ὁ Κυζίκου Γεράσιμος· — † ὁ Νικομηδείας Νικηφόρος· — † ὁ Νικαίας Ἄνθιμος· — † ὁ Χαλκηδόνος Ἰωαννίκιος· — † ὁ Δέρκων Διονύσιος· — † ὁ Θεσσαλονίκης Θεοδόσιος· — † ὁ Προύσης Μελέτιος· — † ὁ Κρήτης Γεράσιμος· — † ὁ Μιτυλήνης Ἄνθιμος· — † ὁ Βιδύνης Ἰωσήφ· — † ὁ Μεσημβρίας Ἄνθιμος· — † ὁ Ἀγχιάλου Ἀνανίας· — † ὁ Ναυπλίου Βενέδικτος· — † ὁ Γάνου καὶ Χώρας Προκόπιος — † ὁ Εὐρίπου Γεδεών· — † ὁ Τραπεζοῦντος Ἱερόθεος· — † ὁ Νύσσης Γαβριήλ· — † ὁ Βελιγραδίου Ἱερεμίας· — † ὁ Σαμακοβίου Νεόφυτος· — † ὁ Ῥάσκας Γεράσιμος· — † ὁ Βόσνας Σεραφείμ· — † ὁ Πελαγονείας Ἀρσένιος· — † ὁ Καστορίας Εὐθύμιος· — † ὁ Βοδενῶν Γερμανός· — † ὁ Κοριτζᾶς Γεννάδιος· — † ὁ Τιβεριουπόλεως Ἀνανίας· — † ὁ Γρεβε-

νῶν Γρηγόριος· — † ὁ Σισανίου Νικηφόρος· — † ὁ Δυρραχίου Γρηγόριος· — † ὁ Σδορνικίου Γρηγόριος· — † ὁ Μογλενῶν Ναθαναήλ· — † ὁ Χαλδείας Διονύσιος· — † ὁ Σαντορίνης Διονύσιος· — † ὁ Ἀγαθουπόλεως Νεόφυτος· — † ὁ Ὠλένης Χρύσανθος· — † ὁ Νυσσάβας Ἄνθιμος· — † ὁ Καρπάθου Δανιήλ· — † ὁ Θαυμακοῦ Σεραφείμ· — † ὁ πρώην Προϊλάβου Φιλόθεος· — † ὁ Εἰρηνουπόλεως Ἄνθιμος· — † ὁ πρώην Ὠλένης Ζαχαρίας· — † ὁ πρώην Εὐρίπου Ἄνθιμος· — † ὁ πρώην Νεοκαισαρείας Γεράσιμος· — † ὁ πρώην Τσερνίκης Παρθένιος· — † ὁ πρώην Σκοπείων Ἄνθιμος· — † ὁ πρώην Πτολεμαΐδος Σωφρόνιος.

Σημ. Ἐξεδόθησαν ἐν Κωνσταντινουπόλει, τῷ 1767 μετὰ δύο λόγων τοῦ πατριάρχου Σαμουὴλ «παρὰ Πανχγιώτη Κυριακίδη τῷ Βυζαντίῳ· μετετυπώθησαν ὑπὸ Γρηγορίου ἀρχιμ. Γώγου ἐν σελ. 112—116 τοῦ «Ἱεροῦ Νυμφαγωγοῦ».

ΠΗ΄.

ΤΟΥ ΑΥΤΟΥ ΣΑΜΟΥΗΛ

Ὅτι ἔξεστι λαμβάνειν δύο ἀδελφοὺς δύο πρώτας ἐξαδέλφας.

« Διέλυσεν (ὁ Σαμουὴλ) τὴν ἔκπαλαι ἐπικρατοῦσαν ἀμφιβολίαν ἑνός τινος τῶν τοῦ γάμου βαθμῶν, συγχωρήσας νὰ λαμβάνωσι δύο ἀδελφοὶ δύο πρώτας ἐξαδέλφας.— Ἡ συγχώρησις αὕτη ἐγένετο οὐχὶ παρὰ τοῦ πατριάρχου μόνου, ἀλλὰ κατὰ πρότασιν τοῦ πατριάρχου παρ' ὅλης τῆς Ἀνατολικῆς Ἐκκλησίας δι' ἐκκλησιαστικοῦ Τόμου· εἰς τὸν ὁποῖον συνυπέγραψαν καὶ οἱ πατριάρχαι Ἀντιοχείας καὶ Ἱεροσολύμων, παρενδημοῦντες τότε εἰς τὴν Κωνσταντινούπολιν».

Σημ. Ταῦτα κατὰ τὸν τοῦ Ζαχαρίου Μαθᾶ Κατάλογον πατριαρχῶν· Α΄ ἐκδόσεως σελ. 255—256 καὶ ὑποσημ.

ΠΘ΄.

ΘΕΟΔΟΣΙΟΥ ΤΟΥ ΑΠΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Περὶ τῆς ἡμέρας τῶν μνημοσύνων.

Τῷ 1772 ὁ πατριάρχης Θεοδόσιος Β΄ ὁ ἀπὸ Θεσσαλονίκης, ἔχων αὐτῷ συμφρονοῦντα τὸν Ἱεροσολύμων Σωφρόνιον ἀπεφήνατο θεσπίζων ὅτι «**οἱ μὲν ἐν Σαββάτῳ ποιοῦντες τὰ τῶν ἀποιχομένων μνημόσυνα καλῶς ποιοῦσιν,**—ὡς τὴν ἀρχαίαν παράδοσιν τῆς Ἐκκλησίας φυλάττοντες· **οἱ δὲ** ἐν **Κυριακῇ οὐχ ὑπόκεινται κρίματι».**

Σημ. Ἐν τῇ τοῦ Νικοδήμου Ἁγιορείτου « Ὁμολογίᾳ πίστεως», ἀπὸ σελ. 1—50, φέρεται μακρὰ ἀφήγησις περὶ μνημοσύνων καὶ τῆς ἡμέρας, ἐν ᾗ δέον αὐτὰ τελεῖν. Ἀπὸ τῆς ἀφηγήσεως ταύτης ἀποσπῶ τὴν βραχεῖαν ταύτην μνείαν τῶν θεσπισμάτων τοῦ Θεοδοσίου καὶ τοῦ Σαμουὴλ ἐπὶ τοῦ κεφαλαίου τούτου. Σέργιος ὁ Μακραῖος παρὰ Σάθᾳ γράφει ὡσαύτως ὅτι ἐρωτησάντων τῶν ἁγιορειτῶν τὸν πατριάρχην Θεοδόσιον καὶ τὴν Σύνοδον «ὅπως δεῖ ποιεῖν, ἀπεκρίνατο ὁ παναγιώτατος, διαγνώσει συνοδικῇ καὶ γνώμῃ τοῦ μακαριωτάτου Ἱεροσολύμων κυρίου Σωφρονίου, ὡς **οἱ ποιοῦντες τὰ μνημόσυνα τῶν κεκοιμημένων ἐν σαββάτῳ καλῶς ποιοῦσιν, ἀλλὰ καὶ οἱ ἐν κυριακῇ ἐπιτελοῦντες οὐχ ἁμαρτάνουσι·** καὶ νουθετῶν πατρικῶς παρεκελεύετο παύσασθαι τῶν ἀλυσιτελῶν διενέξεων» . . . Καὶ μετὰ μακρὰν περὶ μνημοσύνων διδασκαλίαν λέγει: «διὰ τοῦτο γοῦν ἡ Ἐκκλησία ἔγραψεν ὅτι οἱ ποιοῦντες τὰ μνημόσυνα ἐν σαββάτῳ καλῶς ποιοῦσιν· καὶ οἱ ἐν κυριακῇ μετὰ τὴν ἑορτὴν τῆς Ἀναστάσεως ἐπιτελοῦντες οὐχ ἁμαρτάνουσιν. Ἀρχὴ γὰρ καὶ μέσον καὶ τέλος τῆς ἡμῶν ἀναστάσεως ἡ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν ἐκ νεκρῶν ἀνάστασις». Μακραίου Ὑπομνήματα Ἐκκλ. ἱστορίας, ἐν τόμῳ Γ΄ Μεσαιων. Βιβλιοθ. Κ. Σάθα, σελ. 291—292.

Υ'

ΣΑΜΟΥΗΛ ΤΟΥ ΧΑΝΤΖΕΡΗ

Περὶ μνημοσύνων.

Τῷ 1773, τὸ δεύτερον κοσμῶν τὸν θρόνον ὁ πατριάρχης Σαμουὴλ ὁ Χαντζερῆς ἐξέδωκε γράμμα συνοδικόν, ἐν ᾧ διορίζεται «ὅτι οἱ ἐν τοῖς κελλίοις καὶ οἱ ἐν ταῖς σκήταις ἀσκούμενοι, ὡς τὴν ἀναφορὰν καὶ ὑποταγὴν ἔχοντες εἰς τὰ αὐτόθι ἱερὰ μοναστήρια, νὰ ἀκολουθῶσιν ἀπαρασαλεύτως εἰς τὴν ἐν τοῖς μοναστηρίοις φυλασσομένην τάξιν καὶ συνήθειαν περὶ τῶν μνημοσύνων».

Σημ. δηλ. νὰ τελῶσι ταῦτα κατὰ σάββατον· βλ. Νικοδήμου Ὁμολογίαν πίστεως. Τὸ γράμμα ἐστάλη πρὸς τοὺς ἁγιορείτας.

ΥΑ'

ΣΩΦΡΟΝΙΟΥ ΤΟΥ ΑΠΟ ΙΕΡΟΣΟΛΥΜΩΝ

Κατὰ κολυβάδων καὶ κατὰ τῆς εἰκόνος τῆς λεγομένης Ἁγίας κολρδ. Τριάδος

«Περὶ δὲ τὸ 1776 ἔτος, ταραττόντων τὴν Ἐκκλησίαν ἔν τε τῷ Ἄθωνι καὶ Θεσσαλονίκῃ καὶ Χίῳ τῶν κολυβάδων, ἀπῆλθεν (ὁ ἐκ Ραψάνης Βησσαρίων) ἐν Κωνσταντινουπόλει, ἐκ προσώπου τῶν τὰ ὀρθὰ φρονούντων, καὶ παρέστησε τὰς ταραχὰς καὶ τὰ δόγματα, ὁποῦ οἱ λεγόμενοι κολυβᾶδες ἐδόξαζον· ὅθεν σύνοδος ἐγένετο ἐπὶ Σωφρονίου πατριάρχου, συνεδριάζοντος καὶ τοῦ Ἱεροσολύμων Ἀβραμίου, καὶ εἴκοσιν ἀρχιερέων, καὶ πολλῶν ἱερέων καὶ κληρικῶν (Χριστοφόρου Ἀρτηνοῦ, Ραφαὴλ ἱερομονάχου, Διονυσίου Καλλιπολίτου, Κυρίλλου ἱερομονάχου προηγουμένου, Γερασίμου

(πρώην) Χαλεπίου, Θεοκλήτου μοναχοῦ Βυζαντίου, Νικοδήμου Ναξίου, Συνεσίου Ἑλλανικοῦ, Θεοκλήτου Ἰβηρίτου, Θεοφάνους τοῦ ἐξ Ἀγράφων, Μακαρίου (πρώην) Κορίνθου, Θεοδωρήτου ἱεροκήρυκος), ἥτις **ὅρον ἐξέθετο μὲ ἐπιτίμιον ἀναθέματος κατὰ τῶν ἐναντία φρονούντων,** καὶ τὸν Ὅρον αὐτὸν ἔπεμψε διὰ τοῦ Βησσαρίωνος πρὸς τοὺς ἐν τῷ ὄρει τοῦ Ἄθωνος μοναχοὺς πρῶτον, καὶ ἀνεγνώσθη εἰς τὰ μοναστήρια καὶ σκήτας παρὰ τοῦ πρώην πατριάρχου Κωνσταντινουπόλεως Κυρίλλου τοῦ τότε ἐν τῷ Ὄρει ἡσυχάζοντος· ἔπειτα ἐστάλη εἰς Θεσσαλονίκην καὶ Χίον καὶ ἐν ἄλλαις ἐπαρχίαις, ἐν αἷς ἦν ἡ τοιαύτη ζήτησις καὶ διαφορά».

Σημ. Ταῦτα κατὰ τὸν Γεώργιον Ζαβίραν· Ἑλληνικὸν Θέατρον (βιογρ. Βησσαρίωνος τοῦ ἐκ Ραψάνης) σελ. 210. Ὁ δὲ Σέργιος Μακραῖος ἐν Ὑπομνήμασιν Ἐκκλησιαστικῆς Ἱστορίας παρὰ Κ. Σάθα (Μεσαιων. Βιβλιοθ. τόμ. Γ', σελ. 317) προστίθησιν εἰς συμπλήρωσιν καὶ κατανόησιν τῆς συνοδικῆς ἀποφάσεως ταῦτα· «Ἐπειδὴ δὲ ἐν τῷ ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθωνος οἱ ἀσκηταὶ οὐκ ἐπαύσαντο διαφερόμενοι **περὶ τῶν μερικῶν μνημοσύνων, καὶ σκάνδαλον ἦν αὐτοῖς τὰ κόλυβα προτιθέμενα ἐν Κυριακῇ,** ἀνῆλθεν ὁ ὁσιώτατος ἀσκητὴς καὶ διδάσκαλος Βησσαρίων εἰς Κωνσταντινούπολιν, καὶ ἐντυχὼν τῷ παναγιωτάτῳ κυρίῳ Σωφρονίῳ ἀνήγγειλε τὰ περὶ αὐτῶν, καὶ ἐκθέμενος τὰς γνώμας τῶν ἀντιφερομένων καὶ τὰ τῶν λόγων ἐπιχειρήματα, συνοδικὴν ᾐτεῖτο περὶ τούτων διάγνωσιν εἰς κοινὴν εἰρήνην καὶ ὁμόνοιαν. Συνελθόντες οὖν οἱ ἅγιοι ἀρχιερεῖς καὶ κληρικοὶ καὶ συνδιασκεψάμενοι μετὰ τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κυρίου Σωφρονίου, συνοδικῇ τῇ διαγνώσει ἔγραψαν αὐτοῖς τὴν προτέραν ἀνανεώσαντες ἀπόφασιν ὡς **οἱ ποιοῦντες τὰ μερικὰ μνημόσυνα ἐν σαββάτῳ καλῶς ποιοῦσι· καὶ οἱ ποιοῦντες αὐτὰ ἐν κυριακῇ οὐχ ἁμαρτάνουσι.** Τοὺς δὲ ἀντιλέγοντας καὶ ἐναντιουμένους τούτοις, καὶ τὴν ἡσυχίαν καὶ εἰρήνην τῶν ὁσίων ἀσκητῶν διενοχλοῦντας, καὶ κοινῇ σκάνδαλον ἐμποιοῦντας ἐπιτιμίοις ὑπέβαλον, ἂν μὴ παύσωνται. Νεωτερικὸν δὲ τὸ ἐφεύρημα **καὶ ξένον καὶ ἀπαράδεκτον τῇ ἀποστολικῇ καὶ καθολικῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ συνοδικῶς ἀπεφήναντο καὶ τὴν εἰκόνα τὴν λεγομένην τῆς Ἁγίας Τριάδος.** Ἐκ γὰρ τῶν Λατίνων παρεισέδυ τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ».

Ἐπισημείωσις. — Ἀνάγνωθι πλείω περὶ τῆς ἔριδος τῶν Κολυβάδων ἐν τῷ βιβλίῳ τοῦ Μ. Ι. Γεδεὼν Ὁ Ἄθως· σελ. 152—156.


ΥΒ'

ΓΑΒΡΙΗΛ ΤΟΥ ΑΠΟ ΠΑΛΑΙΩΝ ΠΑΤΡΩΝ

Συγχώρησις συνοικεσίου τῶν ἐν Ἰνδίαις ὀρθοδόξων πρὸς τὰς ἑτεροδόξους καὶ περὶ ὅρκου.

«Τῷ 1782 ἔτει, ὅτε τὸν πατριαρχικὸν ἐκόσμει θρόνον ὁ ἀοίδιμος ἐκεῖνος Γαβριὴλ, οὗτοι οἱ ἐνταῦθα διὰ κοινῆς ἀναφορᾶς πρὸς τὸν τότε ἀρχιεπίσκοπον Σιναίου Κύριλλον, ἐκκλησιαστικὴν ἄδειαν αἰτησάμενοι παρὰ τῆς ἐκείνου παναγιότητος, ἵνα διὰ τὴν ὁλοτελῆ ἔλλειψιν ὁμογενῶν καὶ διὰ τὸ συμφθείρεσθαι ἐκ τούτου μοιχικῶς καὶ πορνικῶς διαφόροις τῶν ἀσεβῶν, καὶ ἑτεροδόξων, καὶ εἰδωλολατρῶν, **συγκαταβατικῶς μὲν** ἀλλ' ἀκαταιτιάτως ποιῶσι γαμικὰ συναλλάγματα μετὰ ἀρμενισσῶν καὶ παπιστῶν γυναικῶν καὶ παρθένων· **καὶ τυχόντες τοῦ αἰτήματος**, ἐκείνῳ τῷ πατριαρχικῷ δόγματι ἑπόμενοι ἐποιοῦντο τοὺς γάμους».

Σημ. Ἐπιστολὴ Γρηγορίου Σιφνίου πρὸς τὸν πατριάρχην Κύριλλον, ΣΤ' ἐν σελ. 45 τῆς Ἰνδικῆς Ἀλληλογραφίας, ἧς ὁ ἐκδότης Ἠλίας Τανταλίδης ὑποσημειοῖ τῇ σελ. ιϛ'· «ἡ ἀναφορὰ πρὸς τὸν τότε Σιναίου Κύριλλον καὶ ἡ πρὸς αὐτὸν οἰκονομικὴ ἀπάντησις τοῦ πατριάρχου Γαβριὴλ σώζονται παρὰ τῷ πατριάρχῃ Κωνσταντίῳ Α' τῷ ἀπὸ Σιναίου. Ἐν τῇ ἀναφορᾷ διεπυνθάνοντο οἱ ἐξ Ἰνδίας (ὀρθόδοξοι) **τί χρὴ ποιεῖν ὅρκον ἀπαιτουμένους ἐν τοῖς ἐπιτοπίοις δικαστηρίοις. Ἡ δὲ πατριαρχικὴ ἀπάντησις ἐντόνως καὶ διαρρήδην ἀπεφήνατο μηδαμῇ μηδαμῶς ἐξεῖναι χριστιανοῖς ὀμνῦναι μηδ' ἂν εἴ τι καὶ γένοιτο**».



ϞΓ΄.

ΤΟΥ ΑΥΤΟΥ ΓΑΒΡΙΗΛ

Περὶ τῶν χειροτονιῶν τῶν νεοχειροτονήτων ἀρχιερέων.

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Τῶν πράξεων ὅσαι μὲν ἴδιαι ἑκάστῳ ἀνθρώπῳ καὶ ὅσας οὐκ ἔστιν ὅστις ἄλλος ἑαυτῷ διαφερούσας ἐπίσταται, αὗται ἢ μικρὰς ἢ σπανίους παρέχονται τοῖς ἀνθρώποις τὰς μέμψεις καὶ τὰς διαφοράς· ὅσαι δὲ κοιναί εἰσι, καὶ πολλοῖς τῶν ἀνθρώπων ἀνήκουσαι, ἐπὶ τούτων δὴ ἔστιν ἰδεῖν πολλὰς καὶ τὰς μέμψεις καὶ τὰ ἐγκλήματα· εἰ μὲν γὰρ τῶν μὴ κατὰ θυμόν ἐστι τὸ κοινὸν ἐκεῖνο λειτούργημα, ἕκαστος ἀναδυόμενος φεύγειν πειρᾶται, ὡς ἴδιον ἑτέρου ἐκκλίνων καὶ ἀποτρεπόμενος· ἂν μέντοι τῶν βουλευτῶν τύχῃ ὄν, τότε συνάμα πάντες ῥύδην ἐπ' αὐτῷ φέρονται, ἕκαστος ἴδιον μὲν ἑαυτοῦ ἐκεῖνο ποιούμενος, προαρπάζειν δὲ τοῦ ἄλλου πειρώμενος, καὶ οὕτω τοῦ μὲν ἀντιποιουμένου, τοῦ δὲ μὴ παραχωροῦντος, ἀψιμαχίαι συνίστανται τοῖς ἀνθρώποις, ὡς εἰκός, καὶ διαφοραί. Ταύτῃ τοι ἵνα μή τι τοιοῦτο συμβαίνῃ ἐπὶ τῶν νεοχειροτονουμένων ἀρχιερέων, καὶ ἵνα μὴ πᾶς τις τῶν ἐνδημούντων ἀντιποιῆται τῆς ἐκείνων χειροτονίας· ἐπ' ἄπειρον γάρ, ὡς ἄν τις εἴποι, πρόεισιν οὕτως ἡ ἀμφισβήτησις καὶ περιφρονοῦνται τὰ πρεσβεῖα τῶν ἀνέκαθεν ἐντίμων ἀρχιερατικῶν θρόνων· διὰ ταῦτα πρὸ χρόνων πολλῶν, γνώμῃ κοινῇ καὶ συναινέσει συνοδικῇ ἀριθμῷ περιείληπται τὸ πρᾶγμα καὶ ὥρισται ἀπὸ τοῦ κατὰ καιροὺς ἀρχιε-

ρέως ἁγίου Καισαρείας μέχρι τοῦ κατὰ καιροὺς ἁγίου Δέρκων, ὅσοι ἵπερ ἐκ τούτων συνεδριάζοντες ἐν τῇ βασιλευούσῃ τύχωσιν, τούτοις καὶ μόνοις ἐξεῖναι χειροτονεῖν κατὰ τὴν κανονικὴν διατύπωσιν τοὺς νεοχειροτονουμένους ἀρχιερεῖς, τοὺς δὲ μετὰ τὸν ἅγιον Δέρκων ταττομένους ἀρχιερεῖς, κἂν καὶ τῶν συνεδριαζόντων τύχωσιν ὄντες, μηδ' ὡς δύνασθαι τοῦ ἔργου τούτου ἀντιποιεῖσθαι, ἐκτὸς εἰ μὴ κατ'ἐπιτροπὴν ἐκείνων τοῦτο ποιήσειαν, ἢ ἐν τοῖς συλλειτουργοῦσι ταχθεῖεν· τοῦτο γὰρ κοινὸν καὶ ἀπόλυτον· οὕτω μὲν οὖν πρὸ χρόνων πολλῶν τοῖς ὡρισμένοις τούτοις ἀρχιερεῦσι περιείληπται ἡ τῶν νεοχειροτονουμένων ἀρχιερέων χειροτονία. Ἵνα δὲ μηδὲ ἄλλως πως συμβαίνωσι μέμψεις τινὲς, πρὸς τῷ ἀριθμῷ καὶ τάξις τοιάδε φυλαττομένη ἦν, ὅπως διὰ πάντων τῶν ἀνωτέρω ὡρισμένων ἐντίμων ἀρχιερέων ἀπὸ τοῦ προτέρου μέχρι τοῦ ὑστέρου κατὰ σειρὰν ἐκ περιόδου διϊκνῆται καὶ διαχωρῇ ἡ τῆς χειροτονίας αὕτη ἱεροτελεστία, ἑκάστου τὴν εἰς ἑαυτὸν περίοδον περιμένοντος. Ταῦτα μὲν οὖν οὕτω πρὸ χρόνων πολλῶν εἴθισται τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ περὶ χειροτονίας τῶν νεοχειροτονουμένων ἀρχιερέων καλῶς μέχρι τοῦδε διαφυλαττόμενα· ἐπειδή γε μὴν ἄγραφα οὐκ οἴδαμεν ὅπως παρεωράθη, τούτου χάριν ἡ μετριότητος ἡμῶν, ἵνα μὴ τοῦ καιροῦ προϊόντος τῇ λήθῃ παραδοθῇ ἡ καλὴ αὕτη καὶ εὔτακτος συνήθεια, ἀλλὰ φυλάττηται καὶ ἐνεργῆται καὶ τοῦ λοιποῦ, ὡς καὶ πρότερον, ἔγνωμεν κοινῇ καὶ συνοδικῇ συναινέσει πάσης τῆς ἱερᾶς ὁμηγύρεως, ἐπικυρῶσαι καὶ κατασφαλίσαι τὴν ἀρχαίαν ταύτην συνήθειαν καὶ διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος. Διὸ καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ ἀρχαία αὕτη τάξις καὶ συνήθεια περὶ τὰς χειροτονίας τῶν νεοχειροτονουμένων ἀρχιερέων, ὡς ἀποδίδουσα τὰ ἀνήκοντα πρεσβεῖα τοῖς ἐντίμοις ἀρχιερατικοῖς θρόνοις, καὶ ὡς διαλυτικὴ καὶ ἀποκρουστικὴ παντοίας μέμψεως καὶ διαφορᾶς, καὶ ὡς καλή τε

καὶ εὔτακτος, φυλάττηται καὶ εἰς τὸ ἑξῆς πάντῃ ἀπαράβατος καὶ ἀπαραχάρακτος, ὡς καὶ πρότερον· καὶ ἀπὸ τοῦ κατὰ καιροὺς ἀρχιερέως ἁγίου Καισαρείας, μέχρι τοῦ κατὰ καιροὺς ἁγίου Δέρκων, ὅσοι περ ἐκ τῆς σειρᾶς ταύτης συνεδριάζοντες τύχωσιν ἐν τῇ βασιλευούσῃ, καὶ μόνοι οὗτοι κανονικῶς χειροτονῶσι τοὺς νεοχειροτονουμένους ἀρχιερεῖς, μετὰ δὲ τὸν ἅγιον Δέρκων, μηδεὶς τῶν ἀρχιερέων ἔχῃ τὴν τοιαύτην ἄδειαν, ἐκτὸς εἰ μὴ ἐπιτροπικῶς ποιήσειε τοῦτο, ἢ συλλειτουργὸς παραγένοιτο, καὶ οὕτως εὐτάκτως προχωρούσης τῆς χειροτονίας ἐκ περιόδου καὶ κατὰ σειρὰν διὰ πάντων τῶν ἀνωτέρων ὡρισμένων ἁγίων ἀρχιερέων, φυλάττεται ἀκριβῶς καὶ διενεργῆται ἀμέμπτως τὸ κοινὸν τοῦτο ἱερὸν λειτούργημα τῆς χειροτονίας τῶν νεοχειροτονουμένων ἀρχιερέων. Ὅστις δὲ καὶ ὁποῖος ὁποιασοῦν τάξεως καὶ βαθμοῦ τολμήσῃ ποτὲ παρενοχλῆσαί πως τὴν καλὴν ταύτην καὶ ἀρχαίαν συνήθειαν, ἐμμέσως ἢ ἀμέσως, καὶ ἀνατρέψαι καὶ μετακινῆσαι αὐτὴν οἱῳδήποτε τρόπῳ, ὁ τοιοῦτος ὡς καταλυτὴς τῶν καλῶν ἐκκλησιαστικῶν τάξεων καὶ συνηθειῶν καὶ ὡς πρόξενος σκανδάλου καὶ ταραχῆς, ἀφωρισμένος ὑπάρχῃ, (αἱ συνήθεις ἀραί). Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγίνετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν γράμμα καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ᾽ἡμᾶς τοῦ Χριστοῦ Μ. Ἐκκλησίας.

͵αψπε΄. Ἐν μηνὶ Μαρτίῳ. Ἰνδικτιῶνος Γ΄.

— † ὁ Ἐφέσου Σαμουήλ· — † ὁ Ἡρακλείας Μεθόδιος· — † ὁ Κυζίκου Ἀγάπιος· — † ὁ Νικομηδείας Γεράσιμος· — † ὁ Χαλκηδόνος Παρθένιος· — † ὁ Δέρκων Ἀνανίας· — † ὁ Σερρῶν Ματθαῖος· — † ὁ Δράμας Γρηγόριος· — † ὁ Ἀγχιάλου Ἰωακείμ· — † ὁ Ναυπλοίου Μελέτιος.

Σημ. Μετεγράφη ἐκ τοῦ ὑπ᾽ ἀριθμὸν 7 κώδηκος τοῦ πατριαρχικοῦ Ἀρχειοφυλακείου. Προγενέστερα γράμματα λείπουσιν.

ΥΔ'

ΤΟΥ ΑΥΤΟΥ ΓΑΒΡΙΗΛ

Περὶ τοῦ καιροῦ τῆς ἱερᾶς Μεταλήψεως.

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ὁσιώτατοι ἐπιστᾶται τῆς κοινότητος, προηγούμενοί τε καὶ καθηγούμενοι τῶν κατὰ τὸ ἁγιώτατον Ὄρος τοῦ Ἄθωνος ἱερῶν καὶ σεβασμίων ἡμετέρων πατριαρχικῶν καὶ σταυροπηγιακῶν μοναστηρίων· καὶ λοιποὶ πατέρες μοναστηριακοὶ κελλειῶται καὶ ἀσκηταί, τέκνα ἡμῶν ἐν Κυρίῳ ἀγαπητά· χάρις εἴη ὑμῖν, καὶ εἰρήνη παρὰ Θεοῦ. Φαῦλον μὲν καὶ ψυχοβλαβὲς τὸ εἰς ἁμαρτίας ἐξολισθαίνειν καὶ καταπίπτειν, φαυλότερόν γε μὴν καὶ ἐπιβλαβέστερον τὸ καὶ πεσόντα μὴ ἐθέλειν ἀνίστασθαι, μηδὲ ἁμαρτόντα μετανοεῖν, ἢ συμβουλαῖς πείθεσθαι εἰς ἀνόρθωσιν· τὰ γὰρ τῆς ἁμαρτίας πάθη φαρμάκοις τῆς μεταμελείας καὶ ἀποχῆς θεραπεύεται, ὅπου δὲ τὰ φάρμακα ταῦτα οὐ δύνανται τὴν ἑαυτῶν ἀποδοῦναι ἐνέργειαν, ἐκεῖ οὐδεμία ἐλπὶς ζωῆς ὑπολείπεται· ὅσῳ οὖν χείρω τὰ ἀνίατα τῶν ἰατῶν παθῶν, τοσούτῳ φαυλότεροι οἱ ἀμεταμέλητοι τῶν ἁμαρτανόντων καὶ μείζονος τιμωρίας καὶ καταδίκης ἄξιοι. Τοῦτο δὲ ὑμεῖς οὐ ποιήσετε, ἀλλὰ πειθόμενοι τῇ Ἁγίᾳ τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ ἀνορθωθήσεσθε, παυσόμενοι τοῦ λοιποῦ λογομαχίας τε καὶ φιλονεικίας ἀκαίρου· προσεκομίσθη γὰρ ἡμῖν καὶ ἐνεφανίσθη ἐπὶ συνόδου ἓν ἀνώνυμον βιβλίον «Περὶ τῆς Ἱερᾶς Μεταλήψεως» ἤδη τύποις ἐκδεδομένον, καὶ ἓν γράμμα κατεσφραγισμένον τῇ σφραγῖδι τῆς κοινότητος ὑμῶν, περιέχον ὅτι, ἐξ αἰτίας τοῦ βιβλιαρίου τούτου, ἀναφύησαν καὶ συνέστησαν εἰς τὰ αὐτόθι πολλαὶ ἔριδες καὶ λογομαχίαι, τῶν μὲν ἀποδεχομένων αὐτὸ καὶ λεγόντων ὅτι καθ' ἑκάστην δεῖ μεταλαμβάνειν τῶν ἀχράντων τοῦ Χριστοῦ

μυστηρίων κατὰ τὴν περίληψιν αὐτοῦ, τῶν δὲ ἐναντιουμένων καὶ προβαλλομένων, ὅτι χρὴ πρότερον διὰ πολλῶν ἡμερῶν τῇ ἀναγκαίᾳ ἐξομολογήσει καὶ ἐγκρατείᾳ καὶ τῇ προσηκούσῃ μετανοίᾳ προευτρεπίζεσθαι, εἶθ' οὕτω προσέρχεσθαι τῇ Ἱερᾷ Μεταλήψει· ταῦτα μὲν οὖν περιέχει τὸ ἐνσφράγιστον τῆς κοινότητος ὑμῶν γράμμα· ἀναγνωσθὲν δὲ αὐτὸ τὸ βιβλίον, φαμὲν, καὶ ἐπιθεωρηθὲν, ἀνεφάνη πρῶτον μὲν διημαρτημένον καὶ πλῆρες παρεξηγήσεων καὶ παραλογισμῶν, ἔπειτα δὲ καὶ ἀπ' ἐναντίας φερόμενον τῇ ἀνέκαθεν καὶ ἐξ ἀρχῆς ἐκκλησιαστικῇ εὐταξίᾳ καὶ συνηθείᾳ. Τὸ γὰρ περὶ δογμάτων καὶ ἱερῶν μυστηρίων θεωρεῖν καὶ ἀποφαίνεσθαι ἔκπαλαι καὶ ἀνέκαθεν ἡ ἁγία καὶ ἀμώμητος ἡμῶν Ἐκκλησία οὐ τῷ τυχόντι, οὐδὲ ἑνὶ μόνῳ ἀποδίδωσιν, ἀλλ' ἔργον γινώσκει ἐντελοῦς καὶ ὑπερτελεστάτης συνόδου. Καὶ τὰ μὲν παρ' αὐτῆς ἐγκριθέντα καὶ δεκτὰ ἀναφανέντα, ταῦτα ὡς ὀρθὰ καὶ ψυχωφελῆ ἐν χρήσει εἶναι τοῖς εὐσεβέσι δέδοται, τὰ δέ γε ἀποδοκιμασθέντα καὶ ἀποβληθέντα ὡς διημαρτημένα καὶ ψυχοβλαβῆ, ἀποτρόπαια καὶ μισητὰ τοῖς χριστιανοῖς εἶναι προσήκει, εἰ καί που τὸ ὀρθὸν ἔχοιεν· πολλάκις γὰρ πολλοὶ ὑποβολαῖς τοῦ ἀλάστορος, ὑποκρίσει εὐλαβείας καὶ ἀρετῆς, παρεισδῦναι καὶ διαφθεῖραι τὸ ὀρθὸν καὶ ὑγιὲς τῆς ἀμωμήτου ἡμῶν Ἐκκλησίας ὑπούλως ἐπεχείρησαν· ὁ δέ γε συγγραφεὺς τοῦ βιβλιαρίου τούτου, ἀναιδῶς πάνυ κατατολμῶν, καὶ ἀλαζονίας πλήρης, πράγμασι τοῖς ὑπὲρ ἑαυτὸν ἐπεχείρησεν, ἀπ' ἐναντίας φερόμενος τῇ ἀρχαίᾳ ἐκκλησιαστικῇ εὐταξίᾳ καὶ συνηθείᾳ, καὶ τὸ μὲν ἔργον τοῖς πᾶσι φανερὸν προὔθηκεν, ἑαυτὸν δὲ τὸν πράξαντα ἐν ἀδήλῳ που ἀπεκρύψατο, οὐδὲ γοῦν ὄνομα τὸ ἑαυτοῦ ἐπιγραψάμενος τῷ βιβλίῳ· σύνοιδε γὰρ ἑαυτῷ τὰ μέγιστα ἐξαμαρτάνοντι, καὶ φόβῳ τῆς ἐπιγενησομένης αὐτῷ παιδείας καὶ τιμωρίας ἀπεκρύψατο ἑαυτὸν, ὡς οὕτως ἂν ἐν ἀσφαλεῖ ἐλλοχῶν καὶ ἐνεδρεύων ὑπούλως ἐκ τοῦ ἀφανοῦς ἐκτοξεύῃ κατὰ τῶν ἀφελεστέρων καὶ ἁπλουστέρων. Διὰ ταῦτα οὖν πάντῃ ἀποτρόπαιον καὶ ἀπόβλητον ἔδοξε τὸ ἀνώνυμον τοῦτο βιβλιάριον, ὡς διημαρτημένον καὶ σκανδάλου πρόξενον καὶ ὡς ἀπ' ἐναντίας φερόμενον

τῇ ἀρχαίᾳ ἐκκλησιαστικῇ ἡμῶν εὐταξίᾳ. Περὶ δὲ τοῦ καιροῦ τῆς μεταλήψεως τῶν θείων καὶ ἀχράντων μυστηρίων, τὸ μὲν συνεχέστερον κοινωνεῖν ὠφέλιμον τοῦτο ὡμολόγηται, εἰ μόνον κατ' ἀξίαν γίγνοιτο, τὸ δὲ ἀξίως ἀναγκαῖον οἶδε καὶ τῶν ὧν οὐκ ἄνευ ἡ ἀμώμητος ἡμῶν πίστις. Καιρὸς γὰρ κοινωνίας, φησὶν ὁ μέγας τῆς Ἐκκλησίας πατὴρ ὁ ἱερὸς Χρυσόστομος, οὐχ ἑορτὴ καὶ πανήγυρις, ἀλλὰ συνειδὸς καθαρὸν καὶ βίος ἐγκλημάτων ἀπηλλαγμένος· καὶ πάλιν προϊὼν ὁ αὐτὸς πατὴρ φησίν· ἀλλ' εἴποτε μέλλοιεν τῆς ἁγίας ταύτης μεθέξειν προσφορᾶς, πρὸ πολλῶν ἡμερῶν διακαθαίρειν διὰ μετανοίας καὶ εὐχῆς καὶ ἐλεημοσύνης, καὶ τῆς περὶ τὰ πνευματικὰ σχολῆς, καὶ μὴ πάλιν ἐπιστρέφεσθαι, καθάπερ κύων ἐπὶ τὸ ἴδιον ἔμετον· ὥστε κατὰ τὸν ἱερὸν Χρυσόστομον καὶ κατὰ τὸν θεῖον δὲ Ἀπόστολον, δοκιμαζέτω ἕκαστος ἡμῶν ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω. Ἵνα δὲ παύσηται τοῦ λοιποῦ ἡ ἐκ τῆς εἰρημένης βίβλου ἔρις καὶ λογομαχία καὶ ἡ περὶ τῶν τοιούτων ζητημάτων ἀλαζονικὴ καὶ ἄκαιρος φιλονεικία, γράφοντες διὰ τοῦ παρόντος γνώμῃ καὶ συναινέσει τῶν τε παναγιωτάτων πατριαρχῶν πρώην Κωνσταντινουπόλεως, τοῦ τε κυρίου κυρίου Ἰωαννικίου καὶ τοῦ κυρίου κυρίου Θεοδοσίου καὶ τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου κυρίου κυρίου Ἀβραμίου, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν καὶ περιποθήτων ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς συναδελφῶν ἡμῶν ἁγίων ἀρχιερέων καὶ ὑπερτίμων, καὶ παραγγέλλομεν πᾶσιν ἡμῖν, ἵνα ὅσοι ἐξ ὑμῶν ἔχητε τὸ ῥηθὲν ἀνώνυμον περὶ τῆς μεταλήψεως βιβλίον, ὅλοι εὐθὺς νὰ τὸ ἀποβάλλητε καὶ νὰ τὸ ἀπορρίψητε, χωρὶς νὰ τολμᾷ τινας εἰς τὸ ἑξῆς νὰ τὸ ἀναλαμβάνῃ εἰς τὰς χεῖράς του καὶ νὰ τὸ ἀναγινώσκῃ, ὡς ἐπταισμένον καὶ παράνομον καὶ νὰ λείψωσιν εἰς τὸ ἑξῆς αἱ τοιαῦται φιλονεικίαι καὶ λογομαχίαι, χωρὶς νὰ τολμᾷ τινὰς εἰς τὸ τὰ κινῇ κάλαμον ἢ γλῶτταν εἰς τὰ μὴ ἀνήκοντα αὐτῷ, ἀλλ' ἁπαξάπαντες νὰ ζῆτε καὶ νὰ διάγητε κατὰ τὸ ἐπάγγελμά σας ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ μεθ' ἡσυχίας,

πειθόμενοι τῇ συνοδικῇ ἡμῶν ταύτῃ παραγγελίᾳ καὶ ἐπιταγῇ. Καὶ οἱ μὲν οὕτω ποιοῦντες εἴησαν ἅπαντες συγκεχωρημένοι καὶ εὐλογημένοι παρὰ Θεοῦ κυρίου παντοκράτορος, καὶ τῶν προεκδεδομένων ἐπιτιμίων λελυμένοι καὶ ἐλεύθεροι. Ὅστις δὲ καὶ ὁποῖος τῶν αὐτόθι τολμήσῃ εἰς τὸ ἑξῆς κινῆσαι γλῶσσαν ἢ κάλαμον περὶ τοιούτων ζητημάτων, καὶ ταράξαι τὴν ἡσυχίαν τῶν λοιπῶν εἰς τὰ αὐτόθι πατέρων, ὁ τοιοῦτος, ὡς ἰσχυρογνώμων καὶ ἀπειθὴς πρὸς τὰς ἡμετέρας πατριαρχικὰς καὶ συνοδικὰς ἐπιταγὰς καὶ ὡς στασιαστὴς καὶ φιλοτάραχος καὶ σκανδαλοποιὸς ἀφωρισμένος εἴη κτλ. (αἱ συνήθεις ἀραί). Οὕτω γενέσθω ἐξ ἀποφάσεως.

͵αψπε΄. Ἐν μηνὶ Ἀπριλίῳ. Ἰνδικτιῶνος Γ΄.

† *Ὁ πρῴην Κωνσταντινουπόλεως Ἰωαννίκιος συναποφαίνεται.* — † *Ὁ πρῴην Κωνσταντινουπόλεως Θεοδόσιος συναποφαίνεται.*— † *Ὁ Ἱεροσολύμων Ἀβράμιος συναποφαίνεται.*— † *ὁ Ἐφέσου Σαμουήλ·*— † *ὁ Ἡρακλείας Μεθόδιος·*— † *ὁ Κυζίκου Ἀγάπιος·*— † *ὁ Νικομηδείας Γεράσιμος·* — † *ὁ Χαλκηδόνος Παρθένιος·*— † *ὁ Δέρκων Ἀνανίας·*— † *ὁ Σερρῶν Ματθαῖος·*— † *ὁ Δράμας Γρηγόριος·*— † *ὁ Ναυπλοίου Μελέτιος.*

Σημ. Ἐκ τοῦ ὑπ' ἀριθμὸν 7 πατριαρχικοῦ κώδηκος.

ϒΕ΄

ΠΡΟΚΟΠΙΟΥ ΤΟΥ ΑΠΟ ΣΜΥΡΝΗΣ

Κατάκρισις τοῦ περὶ συνεχοῦς μεταλήψεως βιβλίου.

«Ὁ δὲ ἀπὸ Σμύρνης εἰς τὸν οἰκουμενικὸν θρόνον τότε ἀναβὰς Προκόπιος ὁ πελοποννήσιος (1785) παροξυνθεὶς κατέκρινε συνοδικῶς τὸ βιβλίον ὡς παράνομον καὶ σκανδαλοποιόν, ἐπιβαλὼν βαρύτατα ἐπιτίμια κατὰ τῶν τολμησάντων αὐτὸ ἀναγινώσκειν».

Σημ. Μετεγράφη ἀπὸ τῆς βιογραφίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μακαρίου ἀρχιεπισκόπου Κορίνθου τοῦ Νοταρᾶ γραφείσης μὲν ὑπὸ Ἀθανασίου τοῦ Παρίου, ἐκδοθείσης δὲ ἐπιμελείᾳ καὶ δαπάνῃ Γεωργίου Βουτζάδη, ἱερέως. Ἐν Ἑρμουπόλει. τύποις *Ἀστέρος*. 1885, σελ. 30.

ϞϚ´

ΝΕΟΦΥΤΟΥ ΤΟΥ ΑΠΟ ΜΑΡΩΝΕΙΑΣ

Ἀθώωσις τοῦ περὶ συνεχοῦς μεταλήψεως βιβλίου.

(μεταξὺ τῶν ἐτῶν 1789—1794).

Νεόφυτος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε μητροπολῖτα πρώην Κορίνθου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ· χάρις εἴη σου τῇ ἀρχιερωσύνῃ καὶ εἰρήνη παρὰ Θεοῦ. Περὶ τοῦ πονήματος τῆς ἀρχιερωσύνης σου δηλονότι τοῦ βιβλίου **περὶ τῆς συνεχοῦς ἱερᾶς Μεταλήψεως,** ὅπερ ἐξέδωκας εἰς τύπον, δηλοποιοῦμέν σοι, ὅτι ἐθεωρήθη συνοδικῶς, ἐξητάσθη ἐσκεμμένως, ἐνεκρίθη καὶ ἀπεδείχθη ἐκκλησιαστικῶς νόμιμον καὶ μηδὲν ἔχον τὸ κωλύον τὸν διὰ τῆς μετανοίας καὶ ἀληθοῦς ἐξομολογήσεως ἀξιούμενον μεταλαμβάνειν τῶν ἀχράντων καὶ φρικτῶν μυστηρίων. Συνοδικῶς οὖν ἀποδειχθὲν ψυχωφελὲς καὶ σωτήριον τὸ εἰρημένον βιβλίον σου δύνανται ἀκωλύτως οἱ βουλόμενοι ἀγοράσαι αὐτὸ καὶ ἀναγινώσκειν, ὁδηγούμενοι παρὰ τῶν πνευματικῶν ὅταν ἔχωσί τινα ἀπορίαν. Ἐπειδὴ δὲ ἀνεφάνη τις ὑπόνοια ὅτι ἐξεδόθη ἐκκλησιαστικὸς ἀφορισμὸς πρὸς κατάργησιν τοῦ περὶ οὗ ὁ λόγος πονήματός σου, καὶ οἱ εὐσεβεῖς χριστιανοὶ εὐλαβούμενοι οὐκ ἀναγινώσκουσιν αὐτὸ, πρὸς διάλυσιν τῶν ἐκκλησιαστικῶν ἐκείνων δεσμῶν καὶ ἐπιτιμίων, γράφομεν ἐν τῇ παρούσῃ ἡμῶν (ἐπιστολῇ), καὶ διὰ τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος ἀποφαινόμεθα, ἵνα ὅσοι τῶν χριστιανῶν ἀνέγνωσαν, ἀναγινώσκουσι καὶ ἀναγνώσονται τὸ ἀνακριθὲν ἐκεῖνο πόνημά σου, τουτέστι ὅτ **περὶ συνεχοῦς ἱερᾶς μεταλήψεως,** ὑπάρχωσι συγκεχωρημένοι καὶ εὐλογημένοι παρὰ Κυρίου Παντοκράτορος, λελυμένοι τε τῶν ἐπενεχθέντων ὅπως ποτε ἐκκλησιαστικῶν

ἐπιτιμίων, καὶ ἀμέτοχοι τῶν ἀρῶν, ἔχοντες καὶ τὰς εὐχὰς καὶ εὐλογίας πάντων τῶν ἀπ' αἰῶνος ἁγίων καὶ θεοφόρων Πατέρων τῆς Ἐκκλησίας. Οὕτω λοιπὸν γινώσκων ἀπόθου πᾶσαν ὑπόνοιαν καὶ ὑποψίαν περὶ τοῦ πονήματός σου, δι' ὃ καὶ μισθὸν λήψῃ παρὰ Θεοῦ· οὗ ἡ χάρις εἴη μετὰ τῆς ἱερότητός σου.

† *ὁ Κωνσταντινουπόλεως ἐν Χριστῷ εὐχέτης.*

Σημ. Ἀκολουθία τοῦ ἐν ἁγίοις Μακαρίου πρώην Κορίνθου τοῦ Νοταρᾶ· σελ. 31· βιογραφία τοῦ ὁσίου, γραφεῖσα ὑπὸ Ἀθανασίου Παρίου. Δύο δ' ἐπιστολὰς ἀναφερομένας εἰς τὴν ἐκκλησιαστικὴν ἔριδα περὶ τῆς συνεχοῦς μεταλήψεως ἴδε ἐν διατριβῇ Μ. Ι. Γεδεών: περὶ τῶν ἐν τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως ἑτεροδιδασκαλιῶν ἐν τοῖς κάτω χρόνοις· *Ἐκκλησιαστ. Ἀληθείας* τόμ. Γ', σελ. 671—672.

ΥΖ'

ΤΟΥ ΑΥΤΟΥ ΝΕΟΦΥΤΟΥ

Ἴσον ἀπαράλλακτον τοῦ ἐκδοθέντος πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος περὶ τῆς κατ' ἐκκλησιαστικὴν οἰκονομίαν διατηρήσεως τῆς προγεγονυίας διαθήκης τοῦ μακαρίτου Δέρκων κὺρ Ἀνανίου καὶ διορθώσεως τῶν ἀναφανέντων μετὰ ταῦτα χρεῶν ἐκείνου.

Νεόφυτος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος γίνεται δῆλον, ὅτι ἐνεφανίσθη καὶ ἤδη ἐνώπιον ἡμῶν συνοδικῶς ἡ ἐνυπόγραφος, ἐνσφράγιστός τε καὶ ἐμμάρτυρος διαθήκη τοῦ μακαρίτου συναδέλφου ἡμῶν Δέρκων κυροῦ Ἀνανίου, ἣν

τινὰ ὑπὸ ἐπιτρόποις ἐποιήσατο πρὸ τοῦ ἀπελθεῖν εἰς Θεραπεῖα, ἔτι δ' ἐνταῦθα τὰς διατριβὰς ποιούμενος, κατ' ἀρχὰς τῆς ἀσθενείας αὐτοῦ σώας ἔχων τὰς φρένας καὶ ὑγιᾶ τὸν λογισμὸν, ἐν ᾗ φανερῶν ὁ μακαρίτης ἐκεῖνος τήν τε χρηματικὴν αὐτοῦ περιουσίαν, καὶ τὴν εἰς ἱερὰ ἄμφια, καὶ τὴν εἰς ὀσπητιακὴν αὐτοῦ ἀποσκευὴν, τὴν μὲν χρηματικὴν συμποσουμένην εἰς ποσότητα γρ. ὀκτὼ χιλιάδων καὶ πεντακοσίων δι' αὐλικῶν ὁμολογιῶν, τὴν δὲ εἰς ἱερὰ ἄμφια καὶ ὀσπητιακὴν ἀποσκευὴν διατιμωμένην ἐπὶ τρισὶ χιλιάσι καὶ ἑκατὸν γροσίοις, συμποσουμένην σύμπασαν τήν τε χρηματικὴν αὐτοῦ περιουσίαν καὶ τὴν εἰς ἱερὰ ἄμφια καὶ ὀσπητικὴν ἀποσκευὴν εἰς γρόσια ἕνδεκα χιλιάδας καὶ ἑξακόσια. Ταῦτα οὖν δηλοποιῶν ὁ μὲν μακαρίτης ἐκεῖνος ἐν τῇ ῥηθείσῃ διαθήκῃ αὐτοῦ, ἑπομένως διατιθέμενος διορίζει καὶ ἐπαφίησιν εἰς μὲν τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας γρόσια χίλια, τῇ δὲ ἡμῶν μετριότητι γρόσια πεντακόσια, εἰς δὲ τὸ παγκάριον τοῦ καθ' ἡμᾶς πανσέπτου πατριαρχικοῦ ναοῦ γρόσια ἑκατὸν, εἰς δὲ τὸ παγκάριον τῆς ἐν Θεραπείοις ἐκκλησίας τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου γρόσια ἑκατὸν, εἰς δὲ τὸν πανάγιον Τάφον γρόσια διακόσια, εἰς τὸ μοναστήριον τοῦ Σινᾶ γρόσια πεντήκοντα, καὶ εἰς τὸ μοναστήριον τοῦ Μεγάλου Σπηλαίου κατὰ τὴν Πελοπόνησον γρόσια πεντήκοντα, ταῦτα πάντα καλῶς διαταξάμενος ἐπαφίησιν ἕνεκεν ψυχικοῦ αὐτοῦ μνημοσύνου· τῷ δὲ αὐταδέλφῳ αὐτοῦ κὺρ Εὐσταθίῳ καὶ τῇ νύμφῃ καὶ τοῖς τέκνοις αὐτῶν γρόσια τέσσαρας χιλιάδας λόγῳ κληρονομίας καταλείπει· ἔτι δὲ καὶ τῇ ἀποδημούσῃ ἀδελφῇ αὐτοῦ Ἀσίμῳ καὶ τοῖς δυσὶ τέκνοις αὐτῆς γρόσια χίλια, τῷ δὲ πρωτοσυγκέλλῳ αὐτοῦ Ἰωσὴφ γρόσια χίλια ὀκτακόσια χρεωστούμενα αὐτῷ ἀπὸ δανείων· τοῖς ἀνθρώποις αὐτοῦ ἕνεκεν μισθοῦ τῆς δουλεύσεως αὐτῶν γρόσια χίλια· τοῖς ἰατροῖς καὶ εἰς ἰατρικὰ αὐτοῦ γρόσια τριακόσια· ἔτι δὲ καὶ χίλια πεντακόσια γρόσια εἰς χρονικὰ αὐτοῦ μνημόσυνα. Ταῦτα μὲν οὖν διορίζων ἀνεφάνη ὁ μακαρίτης ἐκεῖνος ἐν τῇ ῥηθείσῃ διαθήκῃ αὐτοῦ ῥητῶς περιεχούσῃ ποσοτικῶς τε καὶ ὀνομαστὶ τὰ ἀνωτέρω ἀπαριθμηθέν-

τα· ἀλλ' ἤδη μετὰ τὴν πρὸς Κύριον ἐκδημίαν αὐτοῦ ἀπεδείχθη ἐπὶ συνόδου ἐνώπιον τῆς ἡμῶν μετριότητος δι' ἀποδείξεων ἔτι χρέος τοῦ μακαρίτου ἐκείνου συμποσούμενον εἰς γρόσια ἓξ χιλιάδας καὶ τριακόσια πεντήκοντα ἓν καὶ ἥμισυ, μηδόλως περιεχόμενον ἐν τῇ διαθήκῃ τοῦ μακαρίτου ἐκείνου· δηλονότι χίλια γρόσια μετὰ τὰ τῶν μελάχιδων κατὰ τὸν προγεγενημένον κοινῇ γνώμῃ καὶ συνοδικῇ διασκέψει διορισμὸν, δύο χιλιάδας καὶ ἑκατὸν πεντήκοντα γρόσια εὑρεθέντα χρεωστούμενα μηνιαῖα διάφορα τῆς ἁγιωτάτης μητροπόλεως Δέρκων· χίλια γρόσια τὰ εἰς ἀποπλήρωσιν τοῦ οὗπερ συνήγαγεν ὁ μακαρίτης εἰσοδήματος τοῦ τρέχοντος ἔτους ἑξακόσια ὀκτὼ γρόσια· διακόσια εἰκοσιτρία γρόσια χρεωστούμενα πρὸς ἰατροὺς καὶ εἰς ἰατρικὰ, πλείω ἀποδειχθέντα τῶν ὧν διώρισεν ὁ μακαρίτης ἐκεῖνος ἐν τῇ διαθήκῃ αὐτοῦ, ὡς εἴρηται, τριακοσίων γροσίων· τετρακόσια εἰκοσιοκτὼ γρόσια ὀφειλόμενα καὶ ταῦτα διὰ ρέσμι τῆς περιουσίας τοῦ μακαρίτου ἐκείνου καὶ εἰς ἔξοδα δύο κασὲμ χοτζετλαρῆ· τριακόσια εἰκοσιοκτὼ γρόσια τὰ εἰς ἔξοδα τῆς κηδείας καὶ κηροδοσίας τοῦ ἐνταφιασμοῦ αὐτοῦ· καὶ ἑπτακόσια ἑξήκοντα τέσσαρα γρόσια εἰς ἄλλα διάφορα ἔξοδα κατὰ τὸ ἐμφανισθὲν κατάστιχον. Τοσοῦτον μὲν οὖν χρέος ἀπεδείχθη ἐπὶ συνόδου, μηδόλως ἐν τῇ ρηθείσῃ διαθήκῃ περιεχόμενον, ὅπερ καὶ ἐμποδὼν προσίστατο ἡμῖν πρὸς πρᾶξιν καὶ ἐνέργειαν τῶν ἐν ἐκείνῃ τῇ διαθήκῃ διοριζομένων, οὐδέ γε ἄλλη ἦν περιουσία ἐκείνου, ἵνα καὶ ἐξ ἐκείνης ἀποπληρωθῇ καὶ τὸ ἀποδειχθὲν ἤδη τοῦτο χρέος. Διὰ ταῦτα οὖν ταῖς γνώμαις ταλαντευόμενοι καὶ μήτε τὴν διαθήκην τοῦ μακαρίτου ἐκείνου ἄκυρον παριδεῖν, μήτε τῶν δικαίων τούτων παραμελῆσαι ἀνεχόμενοι, τελευταῖον γνώμῃ κοινῇ καὶ συνοδικῇ διαγνώσει, τῇ συναινέσει ἅμα καὶ τῶν συμπαρόντων κληρονόμων τοῦ μακαρίτου ἐκείνου, καὶ τῶν ἐν τῇ διαθήκῃ διοριζομένων ἐπιτρόπων, ἔγνωμεν τὴν μέσην ταμεῖν καὶ ἐκ τῆς διαθήκης τὰ μὲν ὅλως ἀφελεῖν, τὰ δὲ περιελεῖν καὶ ἐλαττῶσαι, οὐχ' ὡς ἀκυροῦντές τε ἐκείνην, ἀλλ' ἵνα ἀπολειφθῇ ἀνάλογός τις ποσότης εἰς ἀποπλήρωσιν τῶν ἀποδεδειγμένων τούτων

νεοφανῶν χρεῶν τοῦ μακαρίτου ἐκείνου· καὶ δή, κατὰ κοινὴν γνώμην, γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἐκ τῆς εἰρημένης διαθήκης τοῦ μακαρίτου συναδέλφου ἡμῶν Δέρκων κυροῦ Ἀνανίου, τὰ μὲν τῶν τεσσάρων χιλιάδων γρόσιν, τὰ διοριζόμενα λόγῳ κληρονομίας τῷ ῥηθέντι αὐταδέλφῳ αὐτοῦ κὺρ Εὐσταθίῳ καὶ τῇ νύμφῃ καὶ τοῖς τέκνοις αὐτῶν, παντελῶς ἀφαιρεθῶσι καὶ μηδὲν παραλάβωσιν ἐκεῖνοι λόγῳ κληρονομίας· τὰ δὲ διοριζόμενα τῇ ἀδελφῇ αὐτοῦ Ἀσίμῳ καὶ τοῖς τέκνοις αὐτῆς χίλια γρόσια ἔγνωμεν, ἅτε μὴ συμπαρούσῃ ἐν τῇ διανομῇ ταύτῃ, μὴ ὅλως ἀφελεῖν, ἀλλὰ περιελεῖν τὰ ἡμίση, πεντακόσια γρόσια, καὶ μένοντα τὰ λοιπὰ πεντακόσια γρόσια καὶ φυλαττόμενα ἀσφαλῶς, ἐγχειρισθῆναι ἢ τῇ ἰδίᾳ ἐλθούσῃ ἐνταῦθα, ἢ τῷ διορισθέντι παρ᾽αὐτῆς ἐπιτρόπῳ καὶ βεκίλῃ· ὁμοίως δὲ καὶ ἐκ τῶν χιλίων πεντακοσίων γροσίων τῶν διοριζομένων εἰς τὰ χρονικὰ αὐτοῦ μνημόσυνα, ὅπως ἀφαιρεθῶσι τὰ ἡμίση ἑπτακόσια πεντήκοντα γρόσια, μείνωσι δὲ μόνον τὰ λοιπὰ ἑπτακόσια πεντήκοντα εἰς ἐκτέλεσιν ἐκείνων· ἐκ δὲ τῶν διοριζομένων εἰς ἄλλα μέρη, ἐκ μὲν τῶν χιλίων γροσίων τῶν εἰς τὸ κοινὸν ἀφαιρεθῶσι τὰ διακόσια πεντήκοντα γρόσια, τῇ συναινέσει καὶ τῶν τιμιωτάτων ἐπιτρόπων τοῦ κοινοῦ τῆς καθ᾽ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ δοθῶσιν εἰς τὸ κοινὸν μόνον τὰ ἑπτακόσια πεντήκοντα γρόσια· ἐκ δὲ τῶν πεντακοσίων γροσίων τῶν τῇ ἡμῶν μετριότητι ἐπαφιεμένων ἀφαιρεθῶσι τὰ διακόσια γρόσια καὶ λάβωμεν μόνον τὰ τριακόσια· ἐκ δὲ τῶν πεντακοσίων γροσίων τῶν διοριζομένων εἰς τὰ μοναστήρια τοῦ Ἁγίου Τάφου, τοῦ Σιναίου ὄρους, καὶ τοῦ κατὰ τὴν Πελοπόννησον Μεγάλου Σπηλαίου, ἔτι δὲ καὶ εἰς τὰ παγκάρια, ἀφαιρεθῶσι μὲν ἐξ αὐτῶν τὰ διακόσια γρόσια, διανεμηθῶσιν δὲ εἰς αὐτὰ μόνον τὰ τριακόσια· ἐκ δὲ τῶν χιλίων γροσίων τῶν διοριζομένων λόγῳ μισθοῦ τοῖς ἀνθρώποις τοῦ μακαρίτου ἐκείνου, ἀφαιρεθῶσι τὰ ἡμίση, πεντακόσια γρόσια, καὶ διανεμηθῶσιν αὐτοῖς μόνον τὰ πεντακόσια· καὶ

οὕτως ἐπειδὰν ἀποπληρωθῇ ἅπαν τὸ χρέος τοῦ μακαρίτου ἐκείνου, τό τε ἐν τῇ διαθήκῃ καὶ τὸ ἐκτὸς τῆς διαθήκης, ἐξαιρουμένων τῶν ἑκατὸν πεντήκοντα γροσίων τῶν χαρισθέντων ἐκ τῆς ποσότητος τῶν χρεωστουμένων μηνιαίων διαφόρων τῆς ἐπαρχίας Δέρκων, καὶ ἀποδοθῇ τοῦτο, τὰ καταλειπόμενα τεσσαράκοντα ὀκτὼ καὶ ἥμισυ γρόσια συνεξοδευθῶσιν εἰς τὰ ψυχικὰ χρονικὰ μνημόσυνα τοῦ μακαρίτου ἐκείνου, διὰ χειρὸς τῶν ἐν τῇ διαθήκῃ αὐτοῦ διοριζομένων ἐπιτρόπων καὶ βασίδων. Ταῦτα οὖν ἀπεφάνθη συνοδικῶς, **οὐχὶ ἵνα ἀκυρώσωμεν τὴν διαθήκην, ἀλλ' ἵνα μάλιστα χαριζόμενοι τῇ μνήμῃ τοῦ ἀδελφοῦ μὴ παρίδωμεν ἐκεῖνον κατάχρεων·** ὅπου γε ἡ τοῦ δικαίου ἀπαίτησις ἐκεῖ παροραττέα καὶ τὰ λεγάτα καὶ τὰ λόγῳ κληρονομίας κατὰ πάντα δικαίου λόγον. Ἐπὶ τούτοις γοῦν ἅπασιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἀποδεικτικὸν γράμμα καὶ ἐδόθη τοῖς ἐν τῇ διαθήκῃ τοῦ μακαρίτου διοριζομένοις ἐπιτρόποις καὶ τοῖς ἐνταῦθα ἐν τῇ βασιλευούσῃ κληρονόμοις αὐτοῦ εἰς διηνεκῆ ἔνδειξιν καὶ ἀσφάλειαν.

Ἐν ἔτει σωτηρίῳ ͵αψγα'. Ἐν μηνὶ Μαΐῳ. Ἰνδικτιῶνος Θ'.

† ὁ Καισαρείας Γρηγόριος· —† ὁ Ἐφέσου Σαμουήλ· —† ὁ Ἡρακλείας Μεθόδιος·—† ὁ Κυζίκου Ἀγάπιος·—† ὁ Νικομηδείας Μελέτιος·—† ὁ Χαλκηδόνος Ἱερεμίας·—† ὁ Τορνόβου Καλλίνικος·—† ὁ Προύσης Ἄνθιμος·— † ὁ Λαρίσσης Μελέτιος·—† ὁ Ξάνθης Ναθαναήλ.

Σημ. Ἐκ τοῦ ὑπ' ἀριθμ. 7 πατριαρχικοῦ κώδηκος.

ΥΗ΄.

ΤΟΥ ΑΥΤΟΥ ΝΕΟΦΥΤΟΥ

Νεόφυτος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Μακαριώτατοι καὶ ἁγιώτατοι πατριάρχαι τῶν ἁγιωτάτων ἀποστολικῶν θρόνων, τῆς τε μεγάλης πόλεως Ἀλεξανδρείας, καὶ τῆς Θεουπόλεως Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, καὶ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης· καὶ οἱ ὑποκείμενοι τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ ἀποστολικῷ τε καὶ οἰκουμενικῷ θρόνῳ, καὶ τοῖς λοιποῖς ἁγιωτάτοις πατριαρχικοῖς θρόνοις, ἱερώτατοι μητροπολῖται καὶ ἀρχιεπίσκοποι, καὶ θεοφιλέστατοι ἐπίσκοποι, καὶ πάντες οἱ ἁπανταχόσε ἐκκλησιαστικῶς προϊστάμενοι τοῦ ἱεροῦ ἐπαγγέλματος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοὶ ἀδελφοί, καὶ συλλειτουργοὶ τῆς ἡμῶν μετριότητος· πανέκλαμπροί τε πρόκριτοι, καὶ εὐγενέστατοι ἄρχοντες τοῦ ὀρθοδόξου Γένους ἡμῶν· τιμιώτατοι καὶ χρησιμώτατοι πραγματευταί· καὶ οἱ κατὰ πᾶσαν πόλιν, καὶ χώραν, καὶ γῆν, καὶ θάλασσαν ἁπαξαπλῶς πάσης τέχνης καὶ ἐπιστήμης, καὶ παντὸς ἐπαγγέλματος, καὶ ἐπιτηδεύματος εὑρισκόμενοι ὀρθόδοξοι χριστιανοί, ἱερωμένοι τε καὶ λαϊκοί, τέκνα ἐν Κυρίῳ ἡμῶν ἀγαπητά, καὶ περιπόθητα, χάρις εἴη ὑμῖν ἅπασι, καὶ εἰρήνη, καὶ ἔλεος παρὰ Θεοῦ Κυρίου Παντοκράτορος, παρ' ἡμῶν δὲ εὐχὴ εὐλογία, καὶ συγχώρησις. Γνωστὸν ὑμῖν ἐστὶν ἅπασιν, ὅτι οὔτε ἔπαυσεν ἀπ' ἀρχῆς, οὔτε θέλει παύσει ποτὲ ἕως τέλους τοῦ κόσμου τούτου ὁ ἀπὸ Θεοῦ ἐκτραχηλιάσας διάβολος διεγείρων τὸν κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν ἄνθρωπον εἰς ἀποστασίαν αὐτοῦ τοῦ Θεοῦ, καὶ τῶν προσταγμάτων αὐτοῦ, τόσον ἐκείνων ὁποῦ ἀμέσως ἐλάλησε πρὸς τὸν ἄνθρωπον, καὶ ἐμμέσως μὲ τὸ στόμα τῶν ἰδίων του προφητῶν πρὸς αὐτόν, ὅσον καὶ

ἐκείνων πρὸς τούτοις τῶν ἐντολῶν, τὰς ὁποίας ὁ δι' αὐτὸν γενόμενος ἄνθρωπος ἐπ' ἐσχάτων τῶν χρόνων μονογενὴς Υἱὸς τοῦ Θεοῦ καὶ Λόγος ἐφανέρωσεν ἀμέσως εἰς τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους, διδάξας αὐτοὺς τὰ τελεώτατα φρονεῖν περὶ τῶν τῆς ἀδιαιρέτου καὶ ὁμοουσίου Τριάδος μυστηρίων, καὶ περὶ πάντων ἁπλῶς τῶν ἀφορώντων εἰς τὸν καταρτισμὸν τῶν εἰς αὐτὸν πιστευόντων, πέμψας αὐτοῖς ἐν τῇ τελευταίᾳ τῆς Πεντηκοστῆς ἡμέρᾳ τὸ πανάγιον καὶ ὁμοούσιον αὐτοῦ Πνεῦμα, ἵνα φωτίζῃ καὶ διδάσκῃ μὲ τὸ μέσον αὐτῶν καὶ τῶν μετ' αὐτοὺς ἱεραρχῶν τε καὶ διδασκάλων πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας φυλάττειν μέχρι συντελείας αἰῶνος ἄχρι κεραίας τὰ ἴδια αὐτοῦ προστάγματα, καὶ μυστήρια, τέλος ἔχοντα τὴν τῶν οὐρανῶν βασιλείαν. Πλὴν ὅσον εἶναι Θεοῦ καὶ διαβόλου τὸ μέσον, τοσαύτη εἶναι ἡ διαφορὰ τῆς διδασκαλίας τοῦ Θεοῦ ἀπὸ τὴν διδασκαλίαν τοῦ διαβόλου, τέλος ἔχουσαν τὴν μετ' αὐτοῦ διαιωνίζουσαν κόλασιν· καὶ διὰ τοῦτο ἀπ' ἀρχῆς ἐνήργησεν αὐτοῦ τοῦ ἀλάστορος ἡ διδασκαλία τὴν ἐξορίαν τῶν πρωτοπλάστων ἀπὸ τοῦ παραδείσου διὰ τοῦ ὄφεως, τὸν φόνον διὰ τοῦ Κάϊν, τὸν τῆς Χαλάνης πύργον διὰ τῆς δοξομανίας, καὶ μετὰ τὴν σύγχυσιν τῶν γλωσσῶν, καὶ τὸν κατακλυσμὸν, καὶ τὸν τῶν Πενταπολιτῶν οὐρανόθεν πυρπολισμὸν, διήγειρεν ὁ ἀποστάτης τὸν δυστυχῆ ἄνθρωπον νὰ ἀποστατῇ τελείως ἀπὸ Θεοῦ, καὶ νὰ λατρεύῃ τῇ κτίσει παρὰ τὸν κτίσαντα, ἥλιον δηλονότι, καὶ σελήνην καὶ ἀστέρας, καὶ εἴδωλα κωφὰ καὶ ἀναίσθητα, καὶ ζῶα παντοίου εἴδους, διδάξας αὐτὸν ἀπατηλῶς νὰ μὴ δέχηται πατριάρχας δικαίους καὶ σοφοὺς συμβούλους τοὺς ἁγίους προφήτας, ἀλλὰ μόνῃ τῇ συμβουλῇ αὐτοῦ τοῦ πονηροῦ δράκοντος νὰ προσέχῃ· ὅς τις καθὼς μὲ πρόσχημα εὐλαβείας τοὺς περὶ τὸν Κορρὲ, Δαθὰν τε καὶ Ἀβειρὼν ἔπεισε νὰ θυμιάσουν μὲ ξένον πῦρ ἀπ' ἐναντίας τοῦ Ἀαρὼν, καὶ μὲ πρόσχημα ἀληθείας ἐκίνησεν ὡς πατὴρ τοῦ ψεύδους τὰς γλώσσας τῶν ψευδοπροφητῶν, ἀπ' ἐναντίας τῶν τοῦ Θεοῦ προφητῶν, οὕτω μετὰ ταῦτα τοὺς περὶ Σίμωνα τὸν μάγον, καὶ Ἰούδαν, καὶ Θευδᾶν τοὺς ψευδαποστόλους

ἐναντίον ἐκίνησε τῶν θεοκηρύκων Ἀποστόλων καὶ ἀληθῶν μαθητῶν, καὶ εὐαγγελιστῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Σιωπῶμεν ἐντεῦθεν τοὺς ἀπὸ τοῦ αὐτοῦ Σίμωνος Μενάνδρους, Σατορλίνους, Βασιλείδας, Καρποκράτας, Προδίκους, Βαλεντίνους, Κολοβαρσίους, Βαρβιλιώτας, Κέρδονας, Μαρκίονας, Ἐβίονας, Ἀρτέμονας, Ἐλκεσαίους, Σαβελλίους, Ἀρείους, Νεστορίους Διοσκόρους, Μοντανοὺς, καὶ τοὺς λοιποὺς ἀναριθμήτους αἱρετιάρχας, ἀπὸ τοὺς ὁποίους ἄλλους μὲ προσωπεῖον χριστιανῶν, καὶ ἄλλους ἀπαρακαλύπτως χωρὶς μὲ κανένα περισκέπασμα εὐσεβείας εὑρίσκων αὐτοὺς ὁ πολυμήχανος ὄργανα ἐπιτήδεια τῆς ἰδίας του ἐνεργείας, τὰ ἐξώπλισεν ἐναντίον τῆς ὀρθοδόξου ἡμῶν πίστεως. Τούτους φαμὲν, καὶ τοὺς τοιούτους σιωπῶμεν, ἐπειδὴ περιεκάλυψαν καὶ ἐσμίκρυναν ἅπαντας τοὺς τοιούτους ἐκεῖνοι, τοὺς ὁποίους ὁ παμπόνηρος καὶ μισάνθρωπος δαίμων ηὗρεν εἰς τοὺς παρόντας αἰῶνας ὄργανα παντελοῦς ἀσεβείας καὶ ἀθεΐας, τοὺς Βολταίρους λέγομεν, καὶ Φρανκμαζόνας [Francmasons] καὶ Ρουσοὺς, καὶ Σπινόζας*, καὶ πρὸ τῶν τοιούτων πάντων τὸν ἐπὶ τῶν ἡμερῶν τούτων τὰ θολερὰ καὶ δυσώδη αὐτῶν ἐκροφήσαντα νάματα, καὶ ὑπὲρ πάντας τούτους ἀσεβήσαντα καὶ ἀθεΐσαντα, καὶ αὐτόχρημα Σατανᾶν σεσωματωμένον ὑπάρξαντα, Χριστόδουλον ἐκεῖνον φαμὲν τὸν ἑτερόφθαλμον τὸν κακῇ τύχῃ ρουμελιώτην· ὃς ἀπὸ γονέων γεννηθεὶς εὐσεβῶν καὶ πατρίδος καὶ Χριστοῦ δοῦλος ἐν τῇ ἀναγεννήσει τοῦ θείου βαπτίσματος ὀνομασθεὶς, καὶ χριστιανὸς ἀνατραφείς τε καὶ αὐξηνθεὶς, Ἀντιχρίστου φεῦ! παρ' ἐλπίδα ὁ ἄθλιος ἐγένετο δοῦλος· ἢ μᾶλλον εἰπεῖν αὐτὸ καθ' αὐτὸ Ἀντίχριστος, ἐπειδὴ ὄχι μόνον ἐναντία τῆς τοῦ Χριστοῦ διδασκαλίας ἐφρόνησε, καὶ συνέγραψεν, ἀλλὰ ἐτόλμησεν ὁ ἀσεβέστατος νὰ ὀνομάζῃ τὸν τέλειον ἄνθρωπον Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ψιλὸν ἁπλῶς ἄνθρωπον ὡς ἕνα τῶν ὀνομαζομένων χριστῶν ἀνθρώπων εἰς τὰς ἁγίας Γραφὰς βασιλέα, ἢ ἱερέα, καθὼς ὁ ὑπὸ τῶν Συνόδων ἀναθεματισθεὶς Καρποκράτης καὶ Ἐβίων ἐφρόνει, μὲ

* Ἴδε τὴν ἐν τέλει σημείωσιν.

τοὺς ὁποίους καὶ τὴν ἁγίαν Παρθένον καὶ Θεοτόκον Μαρίαν ὡς μίαν ἁπλῶς γυναῖκα πρευσβεύει ὁ ἀφρονέστατος, καὶ μὲ τὸν δαβιτικὸν ὄντως ἄφρονα εἰπών, οὐκ ἔστι Θεὸς τρισυπόστατος δημιουργὸς τοῦ παντὸς, ἔπλασεν ὁ ἀθεώτατος μίαν οὐσίαν ἄπειρον ἀρχὴν τοῦ παντὸς, δανεισθεὶς τὸ ἄπειρον τοῦτο ἀπὸ τὸν παλαιὸν Ἀναξίμανδρον τὸν Μιλήσιον, καὶ ἀπὸ τὸν νεώτερον Σπινόζαν, ὁποῦ φρονεῖ μίαν ἄπειρον οὐσίαν μὲ ἔκτασιν ὕλης πεπροικισμένην, τὴν ὁποίαν ἐκτεταμένην ὕλην, καὶ αὐτὸς ὁ ἀσεβὴς μὲ πολλοὺς τῶν ἀρχαίων Ἑλλήνων σοφοὺς δογματίζει, συνάπτων ὁμοῦ μὲ τὴν ὕλην αὐτὴν καὶ ἕνα συνάπειρον νοῦν, ὁποῦ ἔλαβεν ὁ ἀνοητότατος ἀπὸ τὸν Βασιλείδην καὶ Ἰσίδωρον τοὺς ἀνοήτους αἱρεσιάρχας, καὶ Θαλῆν τὸν Μιλήσιον, μὲ αὐτὴν πρὸς αὐτοὺς τὴν διαφορὰν, ὅτι αὐτοὶ μὲν οἱ αἱρεσιάρχαι καὶ ἕλληνες ὡς ἀρχὰς ἐδογμάτιζον τῶν ὄντων τὴν ὕλην, καὶ τὸν νοῦν, αὐτὸς δὲ ὁ πάντων ἀφρόνων ἀφρονέστατος μετά τε τοῦ παλαιοῦ Ὀρφέως καὶ τοῦ νέου Σπινόζα, ὡς συνάπειρα δογματίζει κατηγορούμενα τῆς πρώτης ὁποῦ ὑπέθετο ἀρχῆς ἀπείρου οὐσίας, καὶ ἐξ αὐτῶν καὶ δι' αὐτῶν τῶν συναπείρων κατηγορουμένων φλυαρεῖ νὰ ἦναι μία ἀπόμοιρα καὶ ἀπόρροια ὁ ἄνθρωπος, καὶ ἐπομένως ὅλα τὰ μέρη τοῦ κόσμου καὶ ὅλα τὰ κτίσματα νὰ ἦναι μέρη Θεοῦ. Ταῦτα τοῦ ἀνδραποδεστάτου τούτου δούλου τοῦ Ἀντιχρίστου ὁποῦ εἰς ὅλους σας φανερώνομεν ἀντίθεα φρονήματα, ἀνέγνωμεν εἰς ἕνα βιβλιδάριον, ὅπερ αὐτὸς ὁ μηχανορράφος συγγράψας ἐξέδωκεν ἐν Λειψίᾳ τῆς Σαξονίας ἤδη νεωστὶ εἰς τύπον, ὁμοῦ μὲ μίαν φυλλάδαν, τὴν ὁποίαν ζηλωτής τις ἀνώνυμος συνέγραψε κατ' αὐτοῦ, οὐ κατὰ κανόνας ἐκκλησιαστικοὺς, οὐδὲ κατ' ἐπίγνωσιν, οὔτε μὴν κατ' ἀντίρρησιν ἀναλόγως πρὸς τὰς ἀσεβείας καὶ ἀθείας τοῦ ἄφρονος τούτου δούλου τοῦ Ἀντιχρίστου· οὗτος γὰρ ὁ παμμίαρος ὅλην ἐκπιὼν τὴν κύλικα τῶν αἱρέσεων καὶ ἀσεβειῶν, καὶ πάσας ἐν ἑαυτῷ συλλαβὼν τὰς ἀρνησιθέους ἀσεβείας, καὶ ἄλλο πολύμορφον θηρίον γενόμενος, ἢ πολυσύνθετον τέρας, ὅλην τὴν ἁγίαν Γραφὴν Παλαιάν τε καὶ Νέαν ὁποῦ εἰς τὸν ἄλογόν του λόγον δὲν ὑποτάσσεται ὁμοῦ, μὲ

τοὺς Βογομίλους καὶ Ματεριαλίστας, ἠθέτησεν ὡς μὴ ἐκ Θεοῦ ἡμῖν ἀποκαλυφθείσας, ἀλλ' ἐξ ἐπινοίας ἀνθρώπων, τοὺς ὁποίους οὔτε ὡς ὄντας προφήτας, οὔτε ὡς ὄντας ἀποστόλους, καὶ εὐαγγελιστὰς καὶ κήρυκας τῶν θείων Γραφῶν καὶ τῶν μυστηρίων καὶ τῆς ἀληθείας δέχεται ὁ ἀσύνετος, ἀλλ' ἄλλους μὲν ὑβρίζει ὡς φονεῖς, ὡς τὸν θεόπτην Μωϋσῆν, καὶ τὸν θεσβίτην καὶ πυρίπνουν Ἠλίαν, καὶ τὸν πρωτοκορυφαῖον Πέτρον, ἄλλους δὲ ὡς τὸν οὐρανοβάμονα Παῦλον κατηγορεῖ ὡς ἀσελγεῖς, καὶ ἄλλους ἀπὸ ἕνα, καὶ ἄλλους ἀπὸ ἄλλο ἁμαρτίας ἐλάττωμα φρυάττεται ὅτι ἦσαν δεδουλωμένοι. Τοὺς δὲ ἀσκητὰς καὶ ὁσίους, οἵτινες ἀγγελικῶς ἔζησαν ἐπὶ γῆς καὶ τὰς ἐρήμους ἐπόλισαν, καὶ πάντας ὠφέλησαν μὲ τὴν εὐαγγελικὴν καὶ ἠθικήν των διδασκαλίαν καὶ μὲ τὰ ἀγαθά των καὶ λαμπρὰ παραδείγματα, αὐτὸς ὁ ἀνόσιος ὡς ἐπιβούλους τοῦ ἑαυτοῦ των κατέκρινε διὰ τὴν παρθενίαν ὁποῦ ἐφύλαξαν, καὶ δὲν ἐδιάλεξαν τὴν κοινωνίαν τοῦ γάμου, ἀλλ' ἔζησαν, λέγει, ὢ τῆς γλωσσαλγίας! ὡς ζῶα εἰς τὰς ἐρήμους ἄγρια. Βασιλείους δὲ καὶ Κυρίλλους καὶ Γρηγορίους καὶ Χρυσοστόμους τοὺς μεγάλους τῆς Ἐκκλησίας φωστῆρας, ὡς φόνων αἰτίους καὶ ἀπειθεῖς Συνόδοις καταδικάζει. Συνόδους δὲ τὰς πανσέπτους, αἱ ὁποῖαι τὰ ὀρθὰ τῆς ἁγίας ἡμῶν Ἐκκλησίας ἐκράτυναν δόγματα καὶ τοὺς κακοδόξους κατέκριναν, πάσας ἀποβάλλει ὁ παρὰ πασῶν ἀξιοκατάκριτος καὶ ἀπόβλητος, συναποβάλλων ὁμοῦ μὲ αὐτὰς τὸν ὁρισμὸν τῆς ἁγίας ἡμῶν πίστεως, τά τε δώδεκα ἄρθρα τῆς πίστεως, καὶ αὐτοὺς ἑπομένως τοὺς ἐκχέοντας τὸ ἴδιον αἷμα ἁγίους Μάρτυρας ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως. Τὰς δὲ ἀποστολικὰς καὶ τῶν θεοφόρων Πατέρων ἡμῶν παραδόσεις, δι' ὧν ἡμεῖς πάντα τελεώτερον τὰ μυστήρια παρελάβομεν μετὰ τῶν τῆς Ἐκκλησίας ἐθίμων καὶ τάξεων, καὶ ἂν αὐτὰς ἀθετήσωμεν τὰς παραδόσεις εἰς αὐτὰ βέβαια θέλομεν κινδυνεύσει τὰ καίρια, θεομισεῖς ἀποκαλεῖ ὁ θεοστυγέστατος. Τὸ δὲ κατήγορον τῆς ἠκονημένης γλώσσης, ὃ κατὰ πατριαρχῶν, ἀρχιερέων, καὶ ἐνὶ λόγῳ κατὰ παντὸς ἱερατικοῦ τάγματος καὶ μοναχικοῦ σχήματος, καὶ

κατὰ παντὸς ἁπλῶς μυστηρίου ἐκίνησε τίς νὰ μὴ φρίξῃ; Βέβαιον εἶναι ὅτι καὶ αὐτοὶ οἱ δαίμονες φρίττουσιν εἰς τὰς ἀσεβείας του πάσας καὶ βλασφημίας του· ὅτι αὐτοὶ μὲν ὁμολογοῦσι τὸν Υἱὸν τοῦ Θεοῦ καὶ λέγουσι, «τί ἡμῖν καὶ σοί, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ· ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;» αὐτὸς δὲ ἀρνεῖται τὸν Υἱὸν τοῦ Θεοῦ σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι ὁ ἀθεώτατος· αὐτοὶ καὶ τοὺς πιστεύοντας τὸν Υἱὸν τοῦ Θεοῦ φοβοῦνται καὶ τρέμουσι, καὶ παρὰ τῶν λαβόντων τὴν κατ' αὐτῶν ἐξουσίαν ἐπιτιμώμενοι φεύγουσιν, οὗτος δὲ ὁ μισόχριστος γλωσσαλγεῖ καὶ διώκει τούτους ὑπὲρ τοὺς δαίμονας· αὐτοὶ ἐπαινοῦσι τὰς ἀρετὰς τῶν ἁγίων καὶ ἐναρέτων ἀνδρῶν καὶ θαυμάζουσι, καὶ αὐτὸς τὰς κατηγορεῖ καὶ κατακρίνει καὶ ψέγει ὁ ἀσυνείδητος· αὐτοὶ καίονται καὶ ἀφανίζονται ἀπὸ τὴν χάριν καὶ δύναμιν τοῦ κατὰ διαδοχὴν ἀποστολικὴν τῶν ἱεραρχῶν καὶ ἱερῶν ἀνδρῶν τάγματος, καὶ αὐτὸς ἂν ἐλάμβανε μίαν ἀπόμοιραν ἀφανιστικῆς ἐνεργείας καὶ δυνάμεως ἀπὸ τὴν ἄπειρον ὁποῦ πρεσβεύει οὐσίαν καὶ τὴν συνάπειρον ὕλην καὶ τὸν συνάπειρον νοῦν, ἤθελεν ἐξολοθρεύσῃ καὶ ἀφανίσῃ τελείως κάθε προσκύνημα, κάθε μοναστήριον, κάθε ἱερὸν τάγμα ἀπὸ ὅλον τὸν κόσμον, ὡς ἀφανιστικὸν τάχα τοῦτο κατὰ τὴν μωρὰν φαντασίαν του, καὶ ὅλως περιττὸν καὶ ἄχρηστον εἰς τὴν τούτου σύστασιν, κρίνων μόνον ἀναγκαῖον καὶ χρήσιμον εἰς σύστασιν τοῦ σύμπαντος κόσμου ὁ ἀσύστατος δύω τινά, ἕνα ἀσεβέστατον φιλόσοφον ὡσὰν καὶ τὸν ἑαυτόν του διὰ νὰ διδάσκῃ πάντοτε τὸν λαὸν ὅσας ἀντιθέους ἀσεβείας καὶ βλάσφημα δόγματα κατ' ἀρχὰς ἠριθμήσαμεν ἀπὸ τὸ βλάσφημον βιβλιδάριόν του, καὶ ἕνα ἄρχοντα διὰ νὰ βραβεύῃ ἐκείνους, ὁποῦ ὑπακούουν εἰς τὴν πλάνην τοῦ ἀντιχρίστου αὐτοῦ μονοφθάλμου Κύκλωπος καὶ μωροῦ φιλοσόφου, καὶ νὰ καταδικάζῃ τοὺς παρακούοντας. Ὅθεν διὰ νὰ συστήσῃ ἀσυστάτως τὰ δύο ταῦτα, ἐπενόησε νὰ τὰ βάλῃ εἰς τάξιν ἡλικίας μεγάλων ἀνδρῶν, καὶ ἐκεῖνα ἀληθῶς τὰ ἀνδρικὰ καὶ τέλεια ὁποῦ ἀφορῶσιν εἰς τὴν ἁρμονίαν καὶ σύστασιν τοῦ σύμπαντος κόσμου, καθὼς ὁ ποιητὴς τοῦ παντὸς καὶ προνοητὴς πάντων Θεὸς μᾶς τὰς

ἐφανέρωσε, μὲ τὸ μέσον τῶν θεοπνεύστων του προφητῶν, καὶ τοῦ μονογεννοῦς αὐτοῦ Υἱοῦ καὶ τοῦ ὁμοουσίου αὐτῷ Πνεύματος, καὶ τῶν πνευματοφόρων Ἀποστόλων καὶ θεοφόρων Πατέρων, αὐτὰ λέγομεν ἐπενόησε νὰ τὰ βάλῃ εἰς τάξιν ἡλικίας μικρῶν νηπίων ὁ νηπιωδέστατος ὄντως καὶ ἀφρονέστατος· ὅς τις πρὸς τῷ μὴ φροντίσαι νὰ φρονῇ ὡς ἀνὴρ τέλειος, καὶ νὰ αὔξῃ καὶ προκόπτῃ ὁμοῦ μὲ τὴν ἡλικίαν καὶ μὲ τὰ θεοπαράδοτα δόγματα τῆς ἀκραιφνοῦς ἡμῶν πίστεως καὶ τὰ λαμπρὰ αὐτῆς ἔργα, ἐφρόντισε καὶ ἐσπούδαξε νὰ καταργήσῃ αὐτὰ, καὶ νὰ ἐξαλείψῃ ἀπὸ τὴν καρδίαν του τὰ ὁποῖα νήπιος ὢν ἐνεστερνίσατο καὶ ὑπέσχετο ἐν τῷ ἁγίῳ βαπτίσματι νὰ φυλάξῃ ἄχρις ἐσχάτης αὐτοῦ ἀναπνοῆς μὲ προκοπὴν καὶ αὔξησιν, καὶ ὄχι καθὼς ἔδειξε μὲ παντελῆ μείωσιν καὶ τελείαν ἐξάλειψιν αὐτῶν, γενόμενος τῳόντι εἰς τὴν ἀνδρικὴν καὶ τελείαν του ἡλικίαν ἀτελέστατος πάντων καὶ μωρότατος· ὅτι δὲν ἠσχύνθη, νηπίους ὀνομάζων τοὺς παλαιοὺς τῶν ἑλλήνων σοφοὺς ὁ ἀναίσχυντος, καὶ ἄνδρας τοὺς νεωτέρους, νὰ ἐναγκαλίζηται ἔπειτα μὲ τοὺς νεωτέρους αὐτοὺς τοὺς νηπίους ἐκείνους παλαιοὺς κατ' αὐτὸν τὸν νήπιον, καὶ μὲ αὐτῶν τὰς δόξας ὡς ὑπὸ προσωπεῖον καὶ μορμολύκειον νεωτέρων σοφῶν νὰ κομπάζῃ καὶ νὰ ἐναβρύνηται· καὶ ἐπὶ πᾶσι τὸ προσωπεῖον ἐκεῖνο, ὁποῦ δὲν ἔσχιζον οὕτως εὐκόλως οἱ παλαιοὶ ἐκεῖνοι εἰδωλολάτραι διὰ νὰ θεοποιοῦν ἄλλα ἀπὸ ἐκεῖνα, ὁποῦ παρέλαβον ἀλληλοδιαδόχως, τὰ πάτρια οὔτε μὲ ποινὰς, οὔτε μὲ ἀπειλὰς καὶ φόβους, κἂν γελειότατα ἦσαν τὰ θεοποιούμενα ὑπ' αὐτῶν, ὡς φερ' εἰπεῖν οἱ τρῳαδῖται ἐθεοποίουν τὴν Ἀδράστειαν καὶ τὸν Ἕκτορα, οἱ λακεδαιμόνιοι τὸν Ἀγαμέμνονα, οἱ ἀθηναῖοι τὸν Ποσειδῶνα, καὶ οἱ αἰγύπτιοι τοὺς αἰλούρους καὶ κροκοδείλους καὶ ὄφεις καὶ ἀσπίδας καὶ κύνας ὡς θεοὺς ἐνόμιζον καὶ ἐσέβοντο· αὐτὸς ὁ πάντων ἀναιδέστατος ἔσχισε χωρίς τινα δυσκολίαν αὐτὸ τοῦτο τὸ προσωπεῖον, καὶ χωρὶς καμμίαν ποινὴν, ἢ φόβον, ἢ ἀπειλὴν ἀρνησάμενος τὰ παρὰ πάντων τῶν ὀρθοδόξων μέχρις αἵματος φυλαττόμενα πατροπαράδοτα ἡμῶν δόγματα, καὶ τὰς ἀγαθὰς πράξεις, οὐκ ἠθέλησε νὰ

ἔχῃ τὸ μέρος του μετὰ τῶν ἀπ' ἀρχῆς πιστευσάντων εἰς Χριστὸν Ἰησοῦν ὀρθοδόξων χριστιανῶν, εἰς τοὺς ὁποίους σωφροσύνη δείκνυται, ὑπομονὴ φανεροῦται, ἐγκράτεια ἀσκεῖται, δικαιοσύνη φυλάττεται, ἀδικία πολεμεῖται, ἁμαρτία ἐκριζοῦται, παρθενία τιμᾶται, τίμιος γάμος τηρεῖται, νόμος θεῖος καὶ ἀνθρώπινος πολιτεύεται, θεοσέβεια πράσσεται, ἱερωσύνη λάμπει, ἀγὼν ἀσκήσεως μαρτυρεῖται, Θεὸς προσκυνούμενος Τρισυπόστατος ὁμολογεῖται, ἀλήθεια βραβεύει, χάρις περισκέπει, εἰρήνη συντηρεῖ, λόγος ἅγιος ὁδηγεῖ, σοφία διδάσκει, ζωὴ χαρίζεται, Θεὸς βασιλεύει· ἀλλ' ὁ κατὰ τοὺς νοεροὺς μᾶλλον ἢ τοὺς αἰσθητοὺς ὀφθαλμοὺς πεπωρωμένος τοῦ ἀντιχρίστου δοῦλος δὲν ἔκρινε διὰ νὰ μένῃ ὁμοῦ μὲ τοὺς θεοφρουρήτους αὐτοὺς καὶ θεοκοσμήτους χριστιανούς, ἀλλ' ἅπαντα ἀπαρνησάμενος ἔγγραφά τε καὶ ἄγραφα δόγματα, ἃ παρελάβομεν ἐκ τῶν Πατέρων ἡμῶν, καὶ κηρύγματα, καὶ τάξεις, καὶ ἔθη πάτρια, μόνῳ τῷ πατρὶ αὐτοῦ καὶ δεσπότῃ ἀντιχρίστῳ διαβόλῳ προσεκολλήθη καὶ τοῖς γνησίοις αὐτοῦ υἱοῖς καὶ δούλοις πιστοῖς νέοις τε καὶ παλαιοῖς, ὡς ἐκ τοῦ ἀποτροπαίου αὐτοῦ βιβλιδαρίου ἐπέγνωμεν, καὶ περιληπτικῶς εἰς ὅλους ἐστηλιτεύσαμεν. Ἀλλ' ἐπειδὴ ἐκ τοῦ σαπροῦ δένδρου οἱ σαπροὶ αὐτοῦ καρποὶ ἐγνώσθησαν, καὶ ὁ ἐπιτιμῶν ἀβύσσῳ καὶ ξηραίρων αὐτήν, καὶ ὁ λέγων τῇ ἀβύσσῳ ἐρημώθητι, καὶ τοὺς ποταμούς σου ξηρανῶ Θεὸς (αὐτοῦ γάρ ἐστιν ἡ φωνή: «ἀνῆκά μου τὰς χεῖρας καὶ ἐξηράνθησαν, καὶ ἐγένοντο ὡσεὶ χόρτος ξηρὸς ἐπὶ δωμάτων»)· ἐπειδὴ φαμὲν ὁ ξηραίνων ἀβύσσους κατέκοψε τὸ σαπρὸν αὐτοῦ δένδρον, καὶ ὡς ἄνυδρον καὶ ξηρὸν καὶ ἔρημον ἀπὸ κάθε εὐώδη καρπὸν τὸ παρέπεμψεν εἰς τὸ πῦρ τὸ αἰώνιον, διὰ νὰ ἀπολαμβάνῃ μετὰ τῶν ὁμοίων αὐτῷ σαπρῶν τἀπίχειρα τῆς σαπρίας του, καὶ ἐπειδὴ οὐδεὶς ἀπέμεινεν αἱρετικὸς ἀνεξέταστος συνοδικῶς ἀπὸ τοὺς θεοφόρους ἡμῶν Πατέρας, καὶ ἀνεξέλεγκτος καὶ ἀνεπιτίμητος καὶ ἀνεκρίζωτος καθὼς γέγραπται: «πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται», τὰ δὲ θεῖα τῶν Εὐαγγελίων τέθηλε δόγματα, καὶ ἐξετάθη μέχρι θαλάσσης τῶν Ἀποστόλων τὰ κλήματα, καὶ αἱ

παραφυάδες τὴν οἰκουμένην ἐπλήρωσαν, καὶ ἐπληρώθη σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας, καὶ τῆς προρρήσεως τὴν ἀλήθειαν ἔδειξε τῶν πραγμάτων ἡ μαρτυρία, τούτου δὴ χάριν καὶ ἡμεῖς, κατὰ μίμησιν τῶν πρὸ ἡμῶν θεοφόρων Πατέρων, συνελθόντες συνοδικῶς ἐν τῷ αὐτῷ πνεύματι μετά τε τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Ἀνθίμου, τοῦ ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ, καὶ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ τοῦ εὐαγοῦς ἡμῶν κλήρου, ἐξητάσαμεν ἀπ᾿ ἀρχῆς ἕως τέλους τὸ ἄνωθεν σαπρὸν βιβλιδάριον, καὶ ἐδηλώσαμεν ὡς ἠκούσατε. Ἵνα δὲ καὶ τῆς λοιμώδους ἀπαλλάξωμεν δυσωδίας καὶ σαπρίας τοῦ βιβλιδαρίου ἐκείνου τοὺς ἀκούοντας, ἵνα μὴ ὁ σαπρὸς αὐτοῦ λόγος ὡς γάγγραινα νομὴν ἕξῃ καὶ ἀνστρέψῃ τήν τινων πίστιν, ἔγνωμεν αὐτὸν πρῶτον τῆς σαπρίας τὸν αἴτιον, καὶ ἀνάξιον τοῦ ὀνόματος Χριστόδουλον τῷ αἰωνίῳ παραπέμψαι ἀναθέματι κατὰ τοὺς ὑπὸ τοῦ θεορρήμονος Παύλου παραδοθέντας τῷ Σατανᾷ Ὑμεναίους καὶ Ἀλεξάνδρους καὶ Φιλητοὺς καὶ κατὰ τοὺς ὑπὸ τῶν ἁγίων Πατέρων ἡμῶν συνοδικῶς ἀναθεματισθέντας αἱρετικούς, ἔπειτα δὲ ἐπιτιμῆσαι ἐκρίναμεν δίκαιον, καὶ ἀφορίσαι πάντας ἁπλῶς τοὺς ἔχοντας τοῦτο τὸ ἀσεβὲς βιβλιδάριον, καὶ μὴ κατακαίοντας, ἢ τοῦτο ἀγοράζοντας τοῦ λοιποῦ, ἢ δωρεὰν λαμβάνοντας καὶ ἀναγινώσκοντας, ἢ μεταδιδόντας. Μαθηταὶ γὰρ ὄντες ἡμεῖς ἀλληλοδιαδόχως τῶν ἁγίων Ἀποστόλων διὰ τῶν θεοφόρων Πατέρων, κατ᾿ ἐκείνους τοὺς ἀσεβεῖς, «οὓς τῷ ἀναθέματι αὐτοὶ καθυπέβαλον, καὶ ἡμεῖς ἀναθεματίζομεν, οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν, οὓς δὲ τῷ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ἐπιτιμῶμεν. Ἀφιλάργυρος γὰρ ὁ τρόπος ἀρκούμενοι τοῖς παροῦσιν ὁ βεβηκὼς εἰς τρίτον οὐρανὸν καὶ ἀκούσας ἄρρητα ῥήματα Παῦλος ὁ θεῖος ἀπόστολος διαρρήδην βοᾷ». Καὶ δὴ ἐξ ἑνὸς ἐκείνων καὶ τοῦ αὐτοῦ αὐγαζόμενοι Πνεύματος, καὶ ἐξ ἑνὸς ἅπαντες καὶ τοῦ αὐτοῦ ὁμο-

φώνως βοῶντες στόματος, ἀποφαινόμεθα οὕτω. Τῷ ἀναξίῳ τοῦ ὀνόματος Χριστοδούλῳ, καὶ ἀξίῳ τοῦ ἀντιχρίστου δούλῳ, τῷ μὴ ὁμολογοῦντι Τριάδα ὁμοούσιον, μίαν Θεότητα ἐν τρισὶ προσκυνουμένην ὑποστάσεσιν ἀνάθεμα ἔστω. Τῷ ὑποτιθεμένῳ μίαν ἄπειρον οὐσίαν ῥουμελιώτῃ, κακῇ τύχῃ Χριστοδούλῳ, μὲ δύο συνάπειρα κατηγορούμενα ὕλης ἐκτεταμένης ἀπείρου, ἀρχὰς τῶν ὄντων, καὶ δογματίζοντι ἀπόμοιραν καὶ ἀπόρροιαν τῶν ἀρχῶν τούτων εἶναι τὸν ἄνθρωπον, καὶ ὅλον τὸν κόσμον εἶναι μέρη αὐτῶν ἀνάθεμα ἔστω· «εἷς γὰρ Θεὸς καὶ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἓν Πνεῦμα ἅγιον ἐν ᾧ τὰ πάντα» Παῦλος τὸ Θεότευκτον τῆς ἐκλογῆς σκεῦος εὐαγγελίζεται. Τῷ τετυφλωμένῳ τὴν ψυχὴν Κύκλωπι Χριστοδούλῳ, τῷ μὴ ὁμολογοῦντι Υἱὸν Θεοῦ, οὔτε κατὰ τὴν ἄχρονον καὶ αΐδιον γέννησιν τοῦ αϊδίως αὐτὸν γεννῶντος προανάρχου Πατρὸς, οὔτε κατὰ τὴν ἐν χρόνῳ γέννησιν ἐκ τῆς ἀειπαρθένου Μαρίας αὐτοῦ μητρὸς τῆς συλλαβούσης αὐτὸν ἐκ Πνεύματος ἁγίου, ἀλλὰ βλασφημοῦντι καὶ λέγοντι εἶναι αὐτὸν ἐκ συναφείας ἀνδρὸς καὶ γυναικὸς, καὶ χριστὸν εἶναι ἐρεσχελοῦντι, καθὼς οἱ χριστοὶ βασιλεῖς ἀνάθεμα ἔστω. Τῷ μὴ τὰς ὑπὸ τὸν ἄλογον αὐτοῦ λόγον ὑποκειμένας ἁγίας Γραφὰς δεχομένῳ ἀλογοτάτῳ Χριστοδούλῳ, μήτε προφήτας, μήτε ἀποστόλους, μήτε συνόδους, μήτε παραδόσεις, μήτε ἁγίους, μήτε μυστήρια, μήτε τάγματα ἱερωσύνης, ἀλλ' ὡς περιττὰ καὶ ἄχρηστα καὶ τῶν κακῶν αἴτια ταῦτα πάντα κρίνοντι, καὶ δύο μόνα ἰσχυριζομένῳ τῶν καλῶν αἴτια ἀναγκαῖα, ἕνα φρονηματίαν φιλόσοφον διδάσκοντα ταῦτα πάντα τὸν λαὸν, καὶ ἕνα ἄρχοντα βραβευτὴν εἰς τοὺς ταῦτα ὑπακούοντας καὶ παιδευτὴν εἰς τοὺς μὴ ὑπακούοντας ἀνάθεμα ἔστω. Τῷ κατὰ τὸν Σεμεῒ ἐκεῖνον ἐξυβρίσαντι πάντας ἁπλῶς τοὺς ἱεροὺς λειτουργοὺς τοῦ Θεοῦ, καὶ κατὰ τὸν χαλκέα Ἀλέξανδρον τούτοις ἀντιπαραταξαμένῳ, καὶ ὡς τυράννους λογισαμένῳ, καὶ οὐδεμίαν ἔχειν αὐτοὺς παρὰ Θεοῦ χάριν καὶ ἐξουσίαν φρυαξαμένῳ ἀνάθεμα ἔστω. Εἴτις ἀκούει ἢ ἀναγινώσκει ἀναθεματιζόμενον τὸν ἀσεβέστατον τοῦτον καὶ

οὐ συναναθεματίζει ἀνάθεμα ἔστω. Εἴ τις τοῦ καταπτύστου αὐτοῦ βιβλιδαρίου ἀντιποιεῖται, καὶ ὁμοφρονεῖ τῷ πατρὶ αὐτοῦ τετυφωμένῳ Χριστοδούλῳ ἀνάθεμα ἔστω. Ὁ κατὰ τὴν ἐκκλησιαστικὴν ἀκολουθίαν καὶ τάξιν δεξάμενος ἐφημέριος τὸν μιαρὸν αὐτὸν μετὰ τὸ ἀποχρέμψασθαι τὴν μιαρὰν αὐτοῦ ψυχὴν ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῶν ἐκκλησιαζομένων ὀρθοδόξων ἔστω ὑπὸ τὸ ἐπιτίμιον τῆς ἀπραξίας πάσης ἱεροπραξίας, καὶ μηδεὶς παρ' αὐτοῦ ἱερόν τι δεχθείη λειτούργημα ἐν βάρει ἀλύτου ἐπιτιμίου, ἕως οὗ ἔλθῃ αὐτὸς πρὸς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν ἀμέσως εἰς ἀπολογίαν τοῦ τοιούτου δεινοῦ καὶ τολμηροῦ ἐγκλήματος. Ὅς τις τῶν χριστιανῶν μικρὸς ἢ μέγας, ἀνὴρ ἢ γυνὴ, ἱερωμένος ἢ λαϊκὸς ἔχει ἢ ἀγοράζει ἢ δωρεὰν λαμβάνει τὸ ἄνωθεν ἐξοβελισθὲν βιβλιδάριον μετὰ τῆς προσκεκολλημένης αὐτῷ φυλλάδας, καὶ ἀναγινώσκει αὐτὸ ἢ μεταδίδωσι, καὶ οὐ κατακαίει, ὁ τοιοῦτος ἀφωρισμένος εἴη παρὰ πάσης τῆς τῶν ὀρθοδόξων Ἐκκλησίας καὶ ὁμηγύρεως τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης. Ὑμεῖς δὲ, τέκνα ἡμῶν ἐν Κυρίῳ ἀγαπητὰ καὶ περιπόθητα, τῇ παρούσῃ ἡμῶν ἐγκυκλίῳ συνοδικῇ ἐπιστολῇ ἐντυγχάνοντες, ἐκκαθάρατε ἑαυτοὺς ἀπὸ τῆς δυσώδους ζύμης τοῦ ἀναθεματισθέντος ἄνωθεν σαπροῦ Χριστοδούλου, καὶ τοῦ δυσωδεστάτου αὐτοῦ βιβλιδαρίου, ὡς «εὐωδία ὄντες Χριστοῦ ἐν τοῖς σωζομένοις», ἀποστολικῶς εἰπεῖν, καὶ «ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν». Παραιτεῖσθε τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως· μηδεὶς ὑμᾶς ἀπατάτω ψευδόχριστος, ἢ ψευδοπροφήτης, ἢ ψευδαπόστολος, ἢ ἑτεροδιδάσκαλος, οἵτινες ἔρχονται, καθὼς εἶπεν ὁ Κύριος, ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δὲ εἰσὶ λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· ἀγωνιζόμενοι, ὡς ἀπὸ ἀγαθοῦ ὄντες δένδρου ἀγαθοὺς ἀποδιδόναι τοὺς καρποὺς, πλεονάζοντες τούτους, κατὰ τὴν εὐαγγελικὴν φωνὴν, ὁ μὲν εἰς τριάκοντα, ὁ δὲ εἰς ἑξήκοντα, ὁ δὲ εἰς ἑκατὸν, καὶ ἀποδιοπομπούμενοι τοὺς ἀπὸ ἀκανθῶν θέλοντας συλλέγειν σταφυλὴν, καὶ ἀπὸ τριβόλων

σῦκα. Φρονεῖτε δὲ πάντες τὸ ἓν καὶ τὸ αὐτό, ὡς ὁ ἀπόστολος ὑμῖν παραγγέλλει, ὁμοζήλως καὶ ὁμοψύχως, διαφυλάττοντες τὴν πρὸς Θεὸν καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην μέχρις αἵματος ὁμοφρόνως, καὶ μηδὲν κατὰ ἐρίθειαν ἢ κενοδοξίαν πράττοντες, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἡγούμενοι ἀλλήλους ὑπερέχοντες ἑαυτῶν, ἵνα ἦτε σκεύη εἰς τιμὴν ἡγιασμένα καὶ εὔχρηστα εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένα, καὶ ὡς τέκνα Θεοῦ διάγητε ἀμώμητα καὶ ἀκέραια ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἀπὸ παντὸς στελλόμενοι ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, μένοντες ἄχρις ἐσχάτης ὑμῶν ἀναπνοῆς πᾶσι τοῖς γεγραμμένοις καὶ παραδεδομένοις ἡμῖν ἄνωθεν ἀλληλοδιαδόχως παρὰ τῶν ἁγίων Πατέρων ἡμῶν, καὶ μέχρι κεραίας ἀπαρατρέπτως διατηροῦντες, ἵνα καὶ ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος σὺν τῇ παρ' ἡμῶν εὐχῇ καὶ εὐλογίᾳ εἴη πᾶσιν ὑμῖν. Ἐν ἔτει σωτηρίῳ ‚αψγγ'. Κατὰ μῆνα Νοέμβριον. Ἐπινεμήσεως ΙΒ'.

† Ὁ Κωνσταντινουπόλεως πατριάρχης Νεόφυτος ἀποφαίνεται
† Ὁ Ἱεροσολύμων πατριάρχης Ἄνθιμος συναποφαίνεται

† ὁ Καισαρείας Γρηγόριος·—† ὁ Ἐφέσου Σαμουήλ·—† ὁ Ἡρακλείας Μεθόδιος·—† ὁ Κυζίκου Ἀγάπιος·—† ὁ Νικομηδείας Ἀθανάσιος·—† ὁ Χαλκηδόνος Ἱερεμίας·—† ὁ Δέρκων Γεράσιμος·—† ὁ Προύσης Ἄνθιμος·—† ὁ Σμύρνης Γρηγόριος·—† ὁ Ἄρτης Μακάριος·—† ὁ Ἀγκύρας Ἰωαννίκιος·—† ὁ Μελενίκου Λεόντιος·—† ὁ Ἀγχιάλου Ἰωακείμ·—† ὁ Μεσημβρίας Θεόκλητος·—† ὁ Βάρνης Φιλόθεος·—† ὁ Ξάνθης Ναθαναήλ·—† ὁ Σωζουπόλεως Ἰωαννίκιος·— † ὁ Μπόσνας Παΐσιος· — † ὁ Νυσσάβας Γεράσιμος.

Σημ. Ἡ παροῦσα ἐπισημοτάτη καταδίκη τῆς φιλοσοφίας τοῦ Σπινόζα καὶ τοῦ πανθεϊσμοῦ, ἐκδεδομένη ἐν ἰδίῳ φυλλαδίῳ τῷ 1800, μετεκδίδοται κἀν τῇ σειρᾷ τῶν «Κανονικῶν Διατάξεων» ὡς τοιαύτη, οὐχ εὕρηται δ' ἐν οὐδενὶ τῶν πατριαρχικῶν κωδήκων. Καὶ περὶ μὲν τοῦ Χριστοδούλου καὶ τῆς θέσεως τῆς Ἐκκλησίας ἀπέναντι τῶν ἐπιστημόνων ἐν γένει βλέπε τὴν διατριβὴν Μ. Ι. Γεδεὼν «Ἐκκλησία καὶ ἐπιστήμη κατὰ τὸν ΙΗ' αἰῶνα» ἐν τόμῳ Η' (σελ. 289—92) *Ἐκκλησ. Ἀληθείας*, τὸ δὲ φυλλάδιον τὸ περιέχον τὸ συνοδικὸν γράμμα τῆς ἀποκηρύξεως

καὶ καταδίκης ἐπιγράφεται: «ὁ ἐξωστρακισμὸς τοῦ ἀσεβοῦς Χριστοδούλου τοῦ Μονοφθάλμου, τοῦ ἐξ Ἀκαρνανίας· ἤτοι τὸ κατὰ τῆς ἀσεβείας αὐτοῦ ἐξενεχθὲν, καὶ ἐν πάσαις ταῖς τῶν ὀρθοδόξων ἐκκλησίαις ἀναγνωσθὲν φρικτὸν συνοδικόν· ἤδη πρῶτον τυπωθὲν μετὰ τοῦ προοιμίου· δαπάναις τῶν φιλοχρίστων. Ἐν Βούδᾳ· τύποις τοῦ κατ' Οὐγκαρίαν βασιλικοῦ πανδιδακτηρίου. 1800.» σελ. 1—42. Περὶ Χριστοδούλου ὡς καὶ τοῦ ἐκδόντος τὸ φυλλάδιον Δημητρίου Γοβδελᾶ τοῦ καὶ κατὰ τοῦ Χριστοδούλου μανικῶς ἐπιτεθέντος βλ. Ζαβίρα Θέατρον, σελ. 280—281, καὶ 552—553 καὶ Μ. Ι. Γεδεὼν ἐν *Ἐκκλησ. Ἀληθείᾳ* ἔνθ' ἀνωτέρω. Δυστυχῶς τὸ φυλλάδιόν ἐστι πλῆρες σφαλμάτων, κύρια δέ τινα ὀνόματα διαστρέφονται.

υθ΄.

ΓΕΡΑΣΙΜΟΥ ΤΟΥ ΑΠΟ ΔΕΡΚΩΝ

Ἴσον τοῦ ἐκδοθέντος πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος περὶ τῆς κατοικίας τῶν πρώην Κωνσταντινουπόλεως πατριαρχῶν.

Γεράσιμος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Οὐδείς ἐστιν, ὅστις μὴ ὁμολογήσει φρονήσεως ἔργον εἶναι, εἴ τις ἀεὶ ἐπιμελούμενον ἑαυτὸν παρέχοιτο, ὅπως μὴ μόνον τῶν παρόντων τὰ μὲν ἀγαθὰ διαφυλάξῃ τὰ δὲ φαῦλα ἀποσείσηται, ἀλλὰ καὶ τῶν μελλόντων καὶ ἐνδεχομένων, τὰ μὲν ἀγαθὰ καὶ ἐπωφελῆ περιποιήσηται, τὰ δὲ φαῦλα καὶ ἐπιβλαβῆ εὐφυῶς μάλα ἀποφεύξηται· πρόδηλον ἄρα, ὅτι ταῦτα προσήκοντα τοῖς γε εὖ φρονοῦσίν ἐστιν· ἣν δέ τις ἀμελῶς ἔχων φαίνηται τούτων, καὶ ταῦτα τὸ ἀρχικὸν ἐπαγγελλόμενος καὶ ἀπερισκέπτως περιπίπτων τοῖς τραύμασιν, ὧν τὰς ὠτειλὰς ἔτι ἐπὶ τοῦ σώματος περιφέρει, πλείστην ὅσην τὴν ἄνοιαν αὐτοῦ καταγνοίη πᾶς τις δικαίως. Τοῦτο δὲ οὐκ οἴδαμεν ὅπως ἡμάρτηται περὶ τὰς οἰκήσεις καὶ διατριβὰς τῶν

κατὰ καιροὺς πρώην Κωνσταντινουπόλεως πατριαρχῶν, καὶ ὁτὲ μὲν ἐν τοῖς παρὰ τὴν Κωνσταντινούπολιν νησιδίοις, ὁτὲ δὲ ἐν τοῖς κατὰ τὸ Κατάστενον χωρίοις, ὁτὲ δὲ καὶ ἐν τῇ Κωνσταντινουπόλει αὐτῇ ἐδίδετο αὐτοῖς ἐνδιατρίβειν οἰκοῦντας, κἀκ τούτου μυρία ὅσα συνέπιπτε τὰ δεινὰ καὶ αἱ ζημίαι ἀνείκαστοι, νῦν μὲν τῇ ἁγίᾳ τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ, νῦν δὲ τοῖς προκατόχοις τοῦ ἁγιωτάτου πατριαρχικοῦ ἀποστολικοῦ καὶ οἰκουμενικοῦ τούτου θρόνου, νῦν δὲ καὶ τοῖς συναδελφοῖς ἁγίοις ἀρχιερεῦσιν· ὁτὲ μὲν γὰρ καταπολιτευομένων ἐκείνων καὶ ἀντιπραττόντων τῶν ἀπὸ Κωνσταντινουπόλεως ἰδιωτευόντων πατριαρχῶν, ἐβλάπτετο τὸ κοινὸν τὰ μέγιστα ζημιούμενον ζημίαις, ὅσων αἱ μνῆμαι ἀκριβῶς ἐπὶ τῶν ἱερῶν σώζονται κωδήκων, ὁτὲ δὲ ἐκ μόνης ψευδοῦς διαβολῆς καὶ πλεῖστα ὅσα ὑπέστησαν τὰ δεινὰ καὶ τὰς ζημίας ἀδίκους οἱ ἀπὸ πατριαρχείας ἰδιωτεύσαντες, ἔστι δ' ὅτε καὶ πολλοὶ τῶν ἁγίων ἀρχιερέων ἐλεεινοὶ κοινωνοὶ τῆς βλάβης ταύτης ἐγένοντο, ὡς ἐκείνοις συμπράττοντες, καὶ διαβληθέντες πολλῶν τῶν ἀνιαρῶν ἐπειράθησαν· τούτων δ' ἁπάντων αἰτία ἡ παρὰ Κωνσταντινουπόλει διατριβὴ τῶν πρώην Κωνσταντινουπόλεως πατριαρχῶν· καὶ, συνελόντι εἰπεῖν, ἐπιβλαβὲς ἐν τοῖς μάλιστα κατεφάνη τὸ πρᾶγμα, τῇ τε καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ καὶ τοῖς πρώην πατριάρχαις, οὐχ ἧττον δὲ καὶ τοῖς ἀεὶ ἐνδημοῦσι τῶν ἁγίων ἀρχιερέων· ταύτῃ τοι καὶ τὴν διακώλυσιν τούτου πᾶς τις εὖ φρονῶν δοκιμάσειεν, οὐ μόνον ὡς ἁπλῶς καλὴν καὶ συμφέρουσαν ἀλλ' ὡς καὶ ἀναγκαίαν μάλιστα πρὸς τὰ κατέχοντα ἤδη δεινὰ τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ τὰς ἁπανταχοῦ ὑποκειμένας αὐτῇ ἐπαρχίας. Διὰ γὰρ τὰς τοιαύτας ταραχὰς, οἵοις ὑπερόγκοις πληρώμασι χρεῶν ὑπερπληρούμενον τὸ κοινὸν τουτὶ σκάφος καὶ ὡς εἰκὸς ταῖς περὶ αὐτὸ ὁλκάσι τῶν ἐπαρχιῶν, ἄλλοτε ἄλλῃ μετάδοσιν τοῦ βάρους μεταποιούμενον, τοσοῦτον ἐλεεινῶς βεβαρυμένα καταφαίνονται, ὥστε ἐν κινδύνῳ καθεστάναι εἰς βυθὸν ἀπωλείας ὑποβρύχια καταδῦναι, ἢν μή τις ἀλλὰ νῦν γε αὐτῶν ἀντιλάβηται. Ταῦτα ἄρα καὶ γνώμῃ

κοινῇ καὶ συνοδικῇ, ἔδοξε διὰ τοῦ παρόντος πατριαρχικοῦ καὶ συνοδικοῦ Τόμου ἤδη γοῦν ἐπιστῆσαι διακωλύσαντας ὡς οἷόν τε τὰ τοιαῦτα δεινά, καὶ πρόνοιαν γενναίαν καταβαλέσθαι, ὅπως τοῦ λοιποῦ, τό γ' ἐφ' ἡμῖν, διαπεφευγότες ταῦτα ἐσόμεθα· εἰ γὰρ ψεκτὸν δὶς ἐξαμαρτεῖν τὸ αὐτό, πολλῷ πλείονος μομφῆς ἄξιοι ἐσόμεθα παρὰ πᾶσιν ἁμαρτάνοντες τὸ αὐτὸ οὐχὶ δίς, ἀλλὰ καὶ πολλάκις, ἀλλὰ καὶ μηδὲ γοῦν τὰ παθήματα εἰς μαθήματα προτιθέμενοι, ἄλλως τε καὶ νόμιμον ἂν τοῦτο πεποιηκότες εἴημεν εἴ γε κατὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας τῶν Ἁγίων Ἀποστόλων τῷ ἐπισκόπῳ ἐκ παντὸς τρόπου προσήκει πάντων τῶν ἐκκλησιαστικῶν ἡ πρόνοια καὶ φροντίς. Ἵνα γοῦν μηκέτι τὰ αὐτὰ ἁμαρτάνωμεν, μήτε περιπίπτωμεν τοῖς μυρίοις τούτοις δεινοῖς, ζημίαις τε καὶ ταραχαῖς, μήτε ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, μήτε οἱ κατὰ καιροὺς πρώην Κωνσταντινουπόλεως πατριάρχαι, μήτε οἱ ἱερώτατοι ἅγιοι ἀρχιερεῖς, ἔδοξε τοῦ λοιποῦ μηδενὶ τῶν πρώην Κωνσταντινουπόλεως πατριαρχῶν ἐξεῖναι ἐνοικεῖν μήτε τοῖς τοῦ Καταστένου χωρίοις, μήτε ἐν τοῖς παρὰ τὴν Κωνσταντινούπολιν νησιδίοις καὶ ὅλως μηδαμοῦ ἐντὸς τῶν κάστρων τοῦ Ἑλλησπόντου, τῶν Δαρδανελλίων λεγομένων, ἀλλὰ μόνον ἔξω ἐκείνων, ὅπου ἂν συνοδικῶς δόξῃ, κατὰ λόγον τῶν τε ἠθῶν καὶ τῆς ἐπὶ τῆς πατριαρχείας αὐτοῦ πρὸς τὴν Ἐκκλησίαν καὶ πρὸς τοὺς συναδέλφους διαθέσεως, ἐκεῖ ἕκαστον τῶν πρώην πατριαρχῶν ποιεῖσθαι τὰς διατριβὰς καὶ οἰκήσεις, πρός τε τὸ ἥσυχον ἐκείνων, καὶ πρὸς διαφυγὴν τῶν ὑπονοιῶν καὶ διαβολῶν. Ὅθεν καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τοῦ λοιποῦ εἰς αἰῶνα τὸν ἅπαντα μηδεὶς τῶν πρώην Κωνσταντινουπόλεως πατριαρχῶν ἐνοικῇ διατρίβων ἐν τοῖς κατὰ τὸ Κατάστενον χωρίοις, μήτε ἐν τοῖς παρὰ τὴν Κωνσταντινούπολιν νησιδίοις, καί, συνελόντι εἰπεῖν, ἐντὸς τῶν εἰρημένων κάστρων τοῦ Ἑλλησπόντου μηδαμοῦ, ἀλλὰ μόνον ἔξω ἐκείνων, ὅπου ἂν δόξῃ τῇ Ἐκκλησίᾳ κατὰ λόγον τῶν τε ἠθῶν

καὶ τῆς ἐπὶ τῆς πατριαρχείας ἑκάστου πρὸς τὴν Ἐκκλησίαν καὶ πρὸς τοὺς συναδέλφους διαθέσεως· οὕτω γάρ, πρὸς τῷ ἡσύχῳ καὶ ἀβλαβεῖ τῆς Ἐκκλησίας, κἀκεῖνοι τὸ ἥσυχον ἕξουσι καὶ διαπεφευγότες ἔσονται τὰς ἐνδεχομένας ὑπονοίας καὶ διαβολάς. Ὅστις δὲ καὶ ὁποῖος ἡμῶν γε αὐτῶν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς βουλήσει ἢ πράξει, ἐμμέσως ἑτέρῳ ὀργάνῳ χρώμενος, ἢ ἀμέσως, ἐνείκησίν τινος τῶν πρώην Κωνσταντινουπόλεως πατριαρχῶν ἐντὸς τῶν εἰρημένων κάστρων τοῦ Ἑλλησπόντου, ἢ συμπράξει ἑτέρῳ τὰ τοιαῦτα πράττοντι, ἢ ἐνδώσει ὁπωσοῦν παρὰ τὰ ἤδη ἐν τῷ παρόντι γνώμῃ κοινῇ καὶ συνοδικῇ ἀποφανθέντα, ὁ τοιοῦτος πρόδηλός ἐστιν, ὅτι ὡς κατεξανιστάμενος τῆς Ἐκκλησίας, ἑαυτὸν ταῖς τῶν πατέρων ἐκείναις ἀραῖς φέρων ἑκουσίως καθυποβάλλει, καὶ πόρρω που τῆς τῶν χριστιανῶν μερίδος ἀπελαύνει, ὡς ἀπὸ τῆς αὐτοειρήνης τοῦ Κυρίου, φαμέν, Ἰησοῦ Χριστοῦ, ἐπὶ τὸν διάβολον μεθιστάμενος, οὐ μὴν ἀλλὰ φωραθεὶς καὶ ὡς σεσηπὸς μέλος, αὐτοκαθαίρετος ἐκκοπήσεται τῆς ἀρχιερατικῆς ὁλομελείας ποιναῖς ταῖς κατὰ νόμους ἀξίως καὶ ἀπροκριματίστως ὑποβληθείς. Ταῦτα μὲν οὖν ἀποφανθέντα κεκύρωται γνώμῃ κοινῇ καὶ συνοδικῇ, εἰς δὲ τὴν περὶ τούτου διηνεκῆ ἔνδειξιν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς Τόμος, καταστρωθεὶς κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

͵αψγε΄. Ἐν μηνὶ Μαρτίῳ καὶ Ἰνδικτιῶνος ΙΓ΄.

† ὁ Καισαρείας Γρηγόριος· — † ὁ Ἐφέσου Σαμουήλ· — † ὁ Ἡρακλείας Μελέτιος· — † ὁ Νικομηδείας Ἀθανάσιος· — † ὁ Χαλκηδόνος Ἱερεμίας· — † ὁ Δέρκων Μακάριος· — † ὁ Θεσσαλονίκης Γεράσιμος· — † ὁ Προύσης Ἄνθιμος· — † ὁ Σμύρνης Γρηγόριος· — † ὁ Διδυμοτείχου Παΐσιος· — † ὁ Ἀγκύρας Ἰωαννίκιος· — † ὁ Μελενίκου Λεόντιος· — † ὁ Μεσημβρίας Θεόκλητος· — † ὁ Βάρνης Φιλόθεος· — † ὁ Νυσσάβας Σεραφείμ.

Σημ. Κεῖται ἐν τῷ ὑπ' ἀριθ. 7 πατριαρχ. κώδηκι. Σχετικὰ πρὸς τὴν παῦσιν τῶν πατριαρχῶν Κωνσταντινουπόλεως καὶ τὸν ὧδε κἀκεῖσε περιορισμὸν καὶ τὴν διαμονὴν αὐτῶν ἔξει ὁ φιλίστωρ ἀναγνώστης ἐν τέλει τῶν τοῦ Μ. Ι. Γεδεὼν **Πατριαρχικῶν Πινάκων**, , ἔνθα καὶ τύποι καθαιρέσεων, ἀθωώσεων, ἐκλογῶν πατριαρχῶν

κτλ. Πρῶτον ὁ πατριάρχης Κωνστάντιος Α΄ ὁ ἀπὸ Σιναίου κατήργησε τὸ τῆς ἔξω τῆς Κωνσταντινουπόλεως ὑπερορίας τῶν πρώην πατριαρχῶν ἔθος, ἐπιτυχὼν ὑψηλοῦ αὐτοκρατορικοῦ ὁρισμοῦ πρὸς τὴν τούτου κατάργησιν. Σχετικὰ δ' ἔγγραφα δύο πρὸ δεκαετίας ἐξέδωκεν ὁ Μ. Κ. Παρανίκας ἐν Σαββατιαίᾳ Ἐπιθεωρήσει, τόμ. Α΄, σελ. 267—270 ἀναφερόμενα εἰς τὴν παῦσιν καὶ τὴν απομάκρυνσιν τοῦ πατριάρχου Νεοφύτου Ζ΄ τοῦ ἀπὸ Μαρωνείας (τῷ 1794).

Ρ΄

ΤΟΥ ΑΥΤΟΥ ΓΕΡΑΣΙΜΟΥ

Τόμος συνοδικὸς περὶ τοῦ μὴ χειροτονεῖν τοὺς ἀρχιερεῖς ὑποδιάκονον πρὸ τῶν εἰκοσιπέντε, μήτε πρεσβύτερον πρὸ τῶν τριάκοντα ἐτῶν, οὐ μὴν δ' ἀλλὰ μήτε τοὺς τοιούτους στεφάνοις στέφειν τοὺς γάμοις συζευγνυμένους, μήτε ἀναδέχεσθαι βρέφη ἐκ τῆς ἱερᾶς κολυμβήθρας τοῦ θείου βαπτίσματος, τουτέστι κουμπάρους καὶ συντέκνους γίνεσθαι, ὡς ἐναντία ταῦτα τοῖς θείοις νόμοις καὶ παρὰ κανόνας τῶν ἱερῶν Ἀποστόλων γιγνόμενα.

Γεράσιμος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ὅσοι καλῶς ἄρχειν τῶν ἄλλων καὶ νομίμως μέλλουσι, τούτους προσήκειν πολλῷ πρότερον ἑαυτῶν ἄρχειν πάντες ἂν ὁμολογήσαιεν, ἐπιμελουμένους ἐκ παντὸς τρόπου τά τε ἄλλα καὶ ὅπως σφᾶς αὐτοὺς ἀμέμπτους καὶ ἀμεμφεῖς ταῖς πράξεσι πρὸς τοὺς κειμένους παρέξονται νόμους· οὐδὲ γὰρ ἂν εὐπρεπῶς ἔχοι οὐδενὶ, εἴπερ τοὺς μὲν ἄλλους ἐπὶ τῇ τῶν νόμων παραβάσει τιμωρεῖσθαι δεδείττοιτο καὶ ἐκφοβείη, αὐτὸς δὲ ἐπὶ τῇ τούτων ἀκριβεῖ φυλακῇ μηδεμίαν φαίνοιτο τὴν φιλοτιμίαν ἐπιδεικνύμενος· ἣν δὲ καὶ ἐκκλησιαστικὴν τύχῃ ἐπιτετραμμένος τὴν ἀρχὴν τοῦ θείου μὲν τῷ

ὄντι καὶ θεοσδότου ἀρχιερατικοῦ ἐπαγγέλματος ἠξιωμένος, ποιμαίνειν τὸ λογικὸν τοῦ Χριστοῦ ποίμνιον ἐμπεπιστευμένος, τοῦτον δὴ τοῦτον ἔτι πλείω καὶ γενναιοτέραν τὴν τοιαύτην καταβλητέον φροντίδα καὶ ἐπιμέλειαν, ὅσῳ καὶ μείζονος ἔτυχε τῆς ἀρχῆς καὶ ὑπερανεστηκυίας μὲν τῶν πολιτικῶν ὅσον ψυχὴ σώματος, ἱερωτάτης δὲ μάλιστα ἐν τοῖς λοιποῖς ἱεροῖς καὶ θείοις μυστηρίοις τῆς ἀμωμήτου ἡμῶν πίστεως. Τῶν γὰρ ἄλλων ἱερῶν μυστηρίων δι' αὐτῆς ἐπιτελουμένων τῇ δυνάμει καὶ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, αὕτη ἡ ἱερωσύνη φαμὲν, ἐκεῖνά τε καὶ ἑαυτὴν τῇ αὐτῇ θείᾳ χάριτι ἐπιτελεῖ, κέντρου λόγον ἐπέχουσα, ὡς πρὸς περιφέρειαν τὰ λοιπὰ ἱερὰ μυστήρια· αὕτη καὶ γάρ ἐστιν ἡ τῇ δυνάμει τοῦ παναγίου Πνεύματος διὰ τοῦ μυστηρίου τοῦ βαπτίσματος ἡμᾶς εἰς παλιγγενεσίαν ἀνακαθαίρουσα· αὕτη ἡμῖν διὰ τοῦ χρίσματος τοῦ ἁγίου μύρου τὴν δύναμιν τῆς θείας ἐπιτίθησι σφραγῖδος εἰς ἀντίστασιν πρὸς τὰς προσβολὰς τοῦ τῶν ψυχῶν ἡμῶν πολεμίου· αὕτη ἡμᾶς διὰ τῆς ἱερᾶς μεταλήψεως κοινωνοὺς ἀπεργάζεται τοῦ θείου δεσποτικοῦ σώματός τε καὶ αἵματος· αὕτη ἐστὶν ἡ τὸν γάμον ἡμῶν τίμιον καὶ ἀμίαντον παρεχομένη· αὕτη ἡμᾶς διὰ τῶν ἱερῶν μυστηρίων τῆς μετανοίας καὶ τοῦ εὐχελαίου ἀξίους ἀποκαθίστησιν εἰς ὑποδοχὴν ἐκείνου τοῦ τιμίου σώματός τε καὶ αἵματος, συνελόντι δ' εἰπεῖν, δι' αὐτῆς χαίρομεν τὸν Δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν ἐπιγραφόμενοι· δι' αὐτῆς σεμνυνόμεθα ὑπὸ τῷ Κυρίῳ ἡμῶν ταττόμενοι· αὕτη ὥσπερ κλίμαξ ἡμῖν ἑδραία καὶ ἀσφαλὴς ἀνέστηκε, δι' ἧς πεποίθαμεν ἐπὶ τὴν μετοχὴν ἀναβήσεσθαι τῆς θείας ἐκείνης καὶ ἀρρήτου μακαριότητος, ἣν μόνον τὰ τῆς εὐσεβείας ταῦτα καὶ εὐσεβῶς διατηρήσωμεν. Τοιούτου οὖν καὶ τηλικούτου ὄντος τοῦ τῆς ἱερωσύνης θείου καὶ ἱεροῦ μυστηρίου, ἀναγκαῖον καὶ τοὺς ἀπὸ ταύτης τῇ γε τάξει προϊσταμένους καὶ τῇ ἀρχιερατικῇ θείᾳ καὶ μεγίστῃ ἀξίᾳ τετιμημένους μεγίστην καὶ τὴν ἐπιμέλειαν καταβάλλεσθαι, μὴ λάθωσιν ἐμποιήσαντες δόξαν ὀλιγωρίας τῶν ἱερῶν νόμων, καὶ ὡς οἷόν τε μάλιστα φροντιστέον αὐτοῖς, ὅπως καλὴν καὶ σπουδαίαν τὴν περὶ σφῶν αὐτῶν

δόξαν τοῖς χριστιανοῖς ἐμποιήσωσι· κατὰ γὰρ τὸν τῆς βασιλείας ἐπώνυμον, τὸν μέγαν, φαμὲν, τῆς Ἐκκλησίας πατέρα, «ἀξιοπιστία τοῦ διδάσκοντος εὐπαράδεκτον μὲν τὸν λόγον καθίστησι, προσεχεστέρους δὲ τοὺς μαθητευομένους παρασκευάζει, ἅμα δὲ καὶ πρὸς τὸ πείθειν καὶ δόξης ἐπιεικοῦς τυγχάνειν οὐδὲν τῶν ἁπάντων οὕτω συμβάλλεται ὡς ἡ περὶ τὰς πράξεις ἀρετή». Ταῦτ' ἄρα καὶ ἤδη, ἐντελοῦς ἱερᾶς Συνόδου συγκροτηθείσης, πάσης τῆς περὶ ἡμᾶς συνεδριαζούσης ἀδελφότητος, καὶ τῆς κοινῆς τῶν ἀδελφῶν καὶ τοῦ λοιποῦ ἱεροῦ καταλόγου εὐκλείας καὶ εὐδοξίας φροντίζοντες, σκέψιν προὐθέμεθα περὶ μεγάλων τινῶν καὶ ἰδίᾳ τοῖς ἀρχιερεῦσιν ἀνηκόντων. Φήμη γάρ τις ταῖς ἡμετέραις προσέβαλεν ἀκοαῖς, οὐ καλὰς οὐδὲ κατὰ νόμους τινῶν τῶν ἐκ τοῦ ἱεροῦ καταλόγου τὰς πράξεις μηνύουσα καὶ ταύτας περὶ ἱερὰ μυστήρια, χειροτονίαν τε, φαμὲν, καὶ τὸ ἱερὸν βάπτισμα· τῶν χριστιανῶν γάρ τινας ἀναξίως πρὸς ἱερωσύνην ἔχοντας καὶ ἀπαξιουμένους ταύτης παρὰ τῶν ἀρχιερέων ἐν τῇ πατρίδι εἰς ἀλλοτρίαν ἐπὶ χειροτονίᾳ ἀποδημεῖν· τοὺς δ' ἐκεῖ ἀρχιερεῖς ἀγνοοῦντας τὰ περὶ τὸν βίον ἐκείνων ἐγκλήματα, μηδ' εἰ ἔχοιεν παρὰ τῶν ἰδίων ἀρχιερέων συστατικὰ γράμματα διερευνωμένους, χειροτονεῖν αὐτοὺς καὶ τῆς ἱερωσύνης ἀξιοῦν μὴ ἐπ' ἐκκλησίαις αὐτῶν καθιστάντας ἀλλ' ἀποπέμποντας πάλιν εἰς τὰς πατρίδας· πολλοὺς δὲ καὶ τοὺς ἀπὸ τῆς ἰδίας αὐτῶν ἐπαρχίας παρανόμως χειροτονεῖν, ὀλιγωροῦντας τῶν νομίμων περὶ τῆς ἡλικίας διατάξεων· ἄλλους δὲ τῶν ἀρχιερέων καὶ ἱερέων ἱεροδιακόνων τε καὶ μοναχῶν τοὺς μὲν στεφάνους στέφειν τοὺς γάμῳ συζευγνυμένους καὶ κουμπάρους, φασὶ, γίγνεσθαι, τοὺς δὲ βρέφη ἀναδέχεσθαι ἐκ τῆς ἱερᾶς κολυμβήθρας τοῦ ἁγίου βαπτίσματος, συντέκνους τὸ δὴ λεγόμενον γιγνομένους. Ταῦτα δὲ καλῶς ἀνακρίναντες, κατείδομεν πολύ τι ἀφαιροῦντα τῆς ὀφειλομένης πρὸς τοὺς ἀρχιερεῖς καὶ τὸ ἱερὸν τάγμα εὐλαβείας παρὰ τοῖς λαϊκοῖς χριστιανοῖς καὶ πρόξενον τοῖς μὲν ἀρχιερεῦσι καὶ ἱερεῦσι καὶ τοῖς ἄλλοις τοῖς ἐκ τοῦ βήματος συκοφαντίας τε καὶ ἀδοξίας, τοῖς δὲ λαϊκοῖς γλωσσαλγίας τε καὶ ἁμαρτίας δεινῆς τῆς ἐπὶ τῇ

ἱεροκατηγορίᾳ, τῶν μὲν τοῦτο, τῶν δὲ ἐκεῖνο ἐπὶ τούτοις καθ' ὑπόνοιαν αἰτιωμένων καὶ ἃ μὴ θέμις διαβαλλόντων· οὐ μὴν ἀλλὰ καὶ παρὰ τοὺς νόμους τοιαῦτα γιγνόμενα ἀνεφάνησαν· περὶ μὲν γὰρ τῶν ἡλικιῶν κανόνες ἱεροὶ τῆς ἐν Τρούλλῳ ἁγίας Συνόδου ῥητῶς οὕτω διαγορεύουσιν· ὁ μὲν ΙΔ΄ «ὁ τῶν ἁγίων καὶ θεοφόρων πατέρων κρατείτω κανὼν καὶ ἐν τούτῳ, ὥστε πρεσβύτερον πρὸ τῶν τριάκοντα ἐτῶν μὴ χειροτονεῖσθαι, κἂν πάνυ ᾖ ὁ ἄνθρωπος ἄξιος, ἀλλ' ἀποτηρεῖσθαι· ὁ γὰρ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐβαπτίσθη καὶ ἤρξατο διδάσκειν· ὁμοίως μήτε διάκονος πρὸ τῶν εἰκοσιπέντε ἐτῶν ἢ διακόνισσα πρὸ τῶν τεσσαράκοντα ἐτῶν χειροτονείσθω»· ὁ δὲ ΙΕ΄ «ὑποδιάκονος μὴ ἥττων τῶν εἴκοσιν ἐτῶν χειροτονείσθω· εἰ δέ τις τῶν ἐν οἵᾳ οὖν ἱερατικῇ καταστάσει παρὰ τοὺς ὁρισθέντας χειροτονηθείη χρόνους καθαιρείσθω». Ταῦτα μὲν περὶ τῶν ἡλικιῶν. Τὸ δὲ περὶ τῶν ἀπὸ ἀλλοδαπῆς προσερχομένων καὶ χειροτονουμένων, εἰ καὶ μὴ δοκεῖ ἐπὶ τοῦ ῥητοῦ ἐνέχεσθαι τῷ παρ' ἐνορίαν ἐγκλήματι, ὅτι οἱ χειροτονοῦντες ἀρχιερεῖς μὴ ἔξω τῶν ἑαυτῶν ὁρίων μηδ' εἰς τὰς μὴ ὑποκειμένας αὐτοῖς πόλεις καὶ χώρας χειροτονοῦσιν, ἀλλά γε τῇ τοῦ νόμου διανοίᾳ συλλελόγισται καὶ τὰ τῶν χειροτονουμένων οὐκ ἀμέμπτως ἔχειν ἔοικεν· οὗτοι καὶ γὰρ ἔξω τῶν ὅρων τῆς πατρίδος αὐτῶν παρ' ἀλλοτρίων ἀρχιερέων χειροτονούμενοι εὐθὺς ἐπανίασι· διὸ καὶ κατὰ τῶν τοιούτων καὶ ἐπὶ πατριάρχου Μιχαὴλ τοῦ προγεγενημένου καὶ ὑπάτου τῶν φιλοσόφων ἐκδίδοται συνοδικὸν σημείωμα, ἐπεξηγούμενον μὲν τὴν τοῦ νόμου τούτου διάνοιαν, ἀποφαινόμενον δὲ τάδε· «συγκεχώρηται μὲν τοῖς ἀρχιερεῦσι τοὺς ἀμυήτους ἅπαντας τὸν περὶ πίστεως λόγον διδάσκειν καὶ κατηχεῖν καὶ βαπτίζειν, ὅθεν δήποτε ὄντας, τῶν θείων τε μυστηρίων μεταδιδόναι τῆς ἐξ οἱασοῦν ἐνορίας, χειροτονίας δὲ ἀξιοῦν τοὺς ἁπανταχόθεν ἐρχομένους οὐδαμῶς, ἀλλ' ἢ μόνους τοὺς ἐκ τῆς οἰκείας ἐνορίας, ὡς οἱ θεῖοι κανόνες διορίζονται». Οὐ μὴν οὐδὲ τὸ τῶν ἀρχιερέων καὶ ἱερέων καὶ τῶν ἄλλων τῶν ἐκ τοῦ βήματος τῶν γινομένων κουμπάρων ἢ συντέκνων πάντη ἀνεύθυνον τοῖς θείοις καὶ ἱεροῖς νόμοις δοκεῖ· τὸ μὲν γὰρ αὐτουργὸν

εἶναι τῇ θείᾳ χάριτι πρὸς τὸ ἱερὸν μυστήριον τοῦ βαπτίσματος καὶ τοῦ γάμου, τοῦτο ἔργον καὶ φροντίδα τοῖς ἀρχιερεῦσι καὶ ἱερεῦσιν ἡ ἁγία ἡμῶν Ἐκκλησία ἀνατίθησι, μηδόλως προσιεμένη εἰς τοῦτο τοὺς λαϊκούς, τὸ δ' ἐκ τῆς ἱερᾶς κολυμβήθρας ἀναδέχεσθαι τὸν βαπτιζόμενον, ἢ στέφειν τοὺς συναπτομένους καθυπουργία ἐκείνη κοσμικὴ ἂν εἴη καὶ τῶν λαϊκῶν φροντίς· ὁ δὲ ϛ' ἱερὸς κανὼν τῶν Ἁγίων Ἀποστόλων φησίν· «ἐπίσκοπος ἢ πρεσβύτερος, ἢ διάκονος κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰδὲ μὴ καθαιρείσθω»· ἣν δὲ μηδ' ἐν τῷ νόμῳ τούτῳ ἐκληφθῇ ἡ τοῦ λεγομένου συντεκνάτου καὶ κουμπαράτου ἀπαγόρευσις πρὸς τοὺς ἐκ τοῦ βήματος, ὅμως δ' οὖν διὰ τὰς ἐπενεχθείσας κατὰ καιροὺς ἐπὶ τούτοις συκοφαντίας καὶ διαβολὰς καλῶς ἂν ἔχειν ἡμῖν ἔδοξεν, εἰ καὶ τοῦτο διακωλύσαιμεν, πρὸς διατήρησιν τῆς σεμνότητος τῶν ἐκ τοῦ ἱεροῦ βήματος. Ὅθεν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τοῦ λοιποῦ τῶν ἁπανταχοῦ ἀρχιερέων, τῶν ἐμμέσως ἢ ἀμέσως ὑποκειμένων τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ, ἀποστολικῷ καὶ οἰκουμενικῷ Θρόνῳ, μηδεὶς τολμήσῃ χειροτονῆσαι, παρὰ τοὺς θείους καὶ ἱεροὺς νόμους καὶ κανόνας, πρεσβύτερον μὲν πρὸ τῶν τριάκοντα ἐτῶν, διάκονον δὲ πρὸ τῶν εἰκοσιπέντε, μήτε ὑποδιάκονον ἧττονα τῶν εἴκοσιν ἐτῶν, μήτε ὅλως νέηλυν ἀπ' ἀλλοτρίας ἐπαρχίας, ἀλλὰ περί τε τῶν ἡλικιῶν καὶ περὶ τῶν ἄλλων νομίμων καλῶς καὶ ἀκριβῶς διερευνώμενοι ἅπαντες οὕτω ποιῶνται τὴν τῶν χειρῶν ἐπίθεσιν, ἵνα μὴ καὶ κοινωνοὶ γένωνται ἁμαρτημάτων· πρὸς δὲ τούτοις μηδὲ τῶν ἀρχιερέων, ἢ ἱερέων ἢ ἄλλων τῶν ἐκ τοῦ βήματος τολμήσῃ τις ἢ κουμπάρος γενέσθαι, ἢ ἀναδέξασθαι βρέφη ἐκ τοῦ θείου βαπτίσματος, ὡς σκανδάλων τε παραίτια καὶ ταῦτα ὄντα καὶ συκοφαντίας πρόξενα. Ὅστις δὲ καὶ ὁποῖος τῶν ἀρχιερέων, ἢ ἱερέων, ἢ ἱεροδιακόνων, ἢ μοναχῶν, τολμήσῃ τοῦ λοιποῦ παραβῆναί πως τὰ ἐν τῷ παρόντι συνοδικῶς ἀποφανθέντα, ὁ τοιοῦτος ὡς καταφρονητὴς τῶν θείων καὶ ἱερῶν νόμων καὶ

κανόνων καὶ ὀλίγωρος πρὸς τὰς συνοδικὰς ἡμῶν ταύτας νομίμους καὶ καλὰς ἀποφάσεις καὶ καταλυτὴς τῶν πρὸς σεμνότητα συντεινόντων τοῖς ἐκ τοῦ ἱεροῦ τούτου καταλόγου, ἴστω ἑαυτὸν ὑπεύθυνον καὶ ἔνοχον τῇ ἐκ τῶν θείων καὶ ἱερῶν νόμων παντελεῖ καθαιρέσει τῆς ἀρχιερωσύνης, ἢ ἱερωσύνης, ἢ ἱεροδιακονίας ὅπως ἂν τύχῃ τάξεως ἔχων καὶ βαθμοῦ. Ταῦτα μὲν οὖν δίκαια καὶ νόμιμα καὶ συμφέροντα ἀποφαινόμεθα τῷ ἱερῷ καταλόγῳ, ὧν εἰς ἔνδειξιν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς Τόμος, καταστρωθεὶς κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς διηνεκῆ τὴν ἀσφάλειαν.

Ἐν μηνὶ Ἰουλίῳ. Ἰνδικτιῶνος ΙΔ'.

† ὁ Καισαρείας Λεόντιος· — † ὁ Ἐφέσου Σαμουήλ· — † ὁ Ἡρακλείας Μελέτιος· — † ὁ Νικομηδείας Ἀθανάσιος· — † ὁ Νικαίας Καλλίνικος· — † ὁ Χαλκηδόνος Ἱερεμίας· — † ὁ Δέρκων Μακάριος· — † ὁ Θεσσαλονίκης Γεράσιμος· — † ὁ Προύσης Ἄνθιμος. — † ὁ Νεοκαισαρείας Ἡσαΐας· — † ὁ Λαρίσσης Διονύσιος· — † ὁ Σμύρνης Γρηγόριος· — † ὁ Διδυμοτείχου Παΐσιος· — † ὁ Ἀγκύρας Ἰωαννίκιος· — † ὁ Βάρνης Φιλόθεος.

Σημ. Ἐξεδόθη τῷ 1796, κεῖται δὲ τὸ γράμμα δίχα χρονολογίας ἐν τῷ ὑπ' ἀριθμὸν 7 πατριαρχικῷ κώδηκι.

ΡΑ'

ΤΟΥ ΑΥΤΟΥ ΓΕΡΑΣΙΜΟΥ

Ἴσον πατριαρχικῆς καὶ συνοδικῆς ἐπιστολῆς πρὸς τοὺς ἐπισκόπους περὶ τοῦ μὴ ἔχειν ἐν Κωνσταντινουπόλει καπουκεχαγιάδες αὐτῶν ἑτέρους τῶν ἀρχιερέων, εἰ μὴ τοὺς κυριάρχας αὐτῶν.

Γεράσιμος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Θεοφιλέστατε ἐπίσκοπε Τρίκκης, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ

ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος κὺρ . . . . χάρις εἴη σου τῇ θεοφιλίᾳ καὶ εἰρήνη παρὰ Θεοῦ. Εἶναι προεγνωσμένον πᾶσι τοῖς συναδελφοῖς ἀρχιερεῦσι μητροπολίταις τε καὶ ἐπισκόποις, ὅτι προεξεδόθη πατριαρχικὸς καὶ συνοδικὸς Τόμος περιέχων, ἵνα πάντες οἱ ἐπίσκοποι πειθαρχῶσι καὶ ὑποτάσσωνται τοῖς κυριάρχαις αὐτῶν, φυλάττοντες τὰ ἐπισκοπικὰ ὅρια καὶ πάντα τὰ τοῦ ἐπισκοπικοῦ ἐπαγγέλματος ἀπαράβατα κατὰ τὰς διακελεύσεις τῶν ἱερῶν νόμων καὶ τοὺς ἐκκλησιαστικοὺς ὅρους καὶ θεσμούς· παρὰ ταῦτα δὲ ὥρισται καὶ ἀπεφάνθη συνοδικῶς, ὅπως μηδεὶς τῶν ἐπισκόπων ἔχῃ ἐνταῦθα ἐν τῇ βασιλευούσῃ ἔφορον τῶν ὑποθέσεων αὐτοῦ καὶ καπουκεχαγιάν, εἰ μὴ μόνον τὸν κυριάρχην αὐτοῦ καὶ μητροπολίτην, καὶ δι' ἐκείνου ἀναγγέλλωνται αἱ ὑποθέσεις αὐτοῦ πρὸς τὴν Ἐκκλησίαν· ἀλλ' ἡ παράτασις τοῦ καιροῦ, παραμελουμένου τοῦ πράγματος, ἀπέδειξε τὸ νὰ ἔχῃ ἕκαστος τῶν ἐπισκόπων ἐνταῦθα καπουκεχαγιὰν ὃν ἂν θέλῃ τῶν συνεδριαζόντων ἀρχιερέων, καὶ ἡ τούτου κατάχρησις προὐξένησε μέγα τὸ σκάνδαλον πρὸς τὴν Ἐκκλησίαν. Ὅθεν ὑπομιμνήσκοντες καὶ τῇ ἀρχιερωσύνῃ σου τὸν προεκδοθέντα ἐκεῖνον πατριαρχικὸν καὶ συνοδικὸν Τόμον, ὡς ἔχοντα ἀείποτε τὸ κῦρος καὶ τὴν ἰσχὺν ἀπαράτρεπτον, γράφοντες γνώμῃ κοινῇ καὶ συνοδικῇ ἐντελλόμεθα καὶ ἐπιτάττομέν σοι, ὅπως τοῦ λοιποῦ γνωρίζῃς ἔφορον εἰς ὅλας τὰς ὑποθέσεις σου τὸν κυριάρχην σου καὶ ὅσα ἔχεις νὰ ἀναγγείλῃς πρὸς τὴν Ἐκκλησίαν δι' αὐτοῦ νὰ ἀναφέρῃς καὶ νὰ ἐξαποστέλλῃς τὸ βασιλικὸν ζητομήριόν σου, τὰς ἐκπτώσεις τῶν χρεῶν σου πρὸς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ τὰ διάφορα πρὸς τοὺς δανειστάς σου, σὺν πάσῃ εὐπειθείᾳ καὶ ἑτοιμότητι, καὶ ὁ κυριάρχης σου διὰ τοῦ ἐφόρου, ὃν ἔχει ἐνταῦθα, εἴ γε τυχὸν διατρίβει εἰς τὴν ἐπαρχίαν αὐτοῦ καὶ μητρόπολιν, οἰκονομεῖ καὶ διευθετεῖ αὐτά· ἂν δ' ὅμως ποτὲ συμβῇ ἔχειν σε προβλήματα καὶ διενέξεις μεταξὺ τοῦ κυριάρχου σου περὶ δικαίου σου, τότε μόνον νὰ ἔχῃς ἄδειαν νὰ γράφῃς ἀμέσως πρὸς τὴν Ἐκκλησίαν ἀναγγέλλων μετὰ πάσης εὐθύτητος τὰς τοιαύτας διενέξεις σου. Διὸ πρόσεχε

καλῶς ἵνα μή, ἄλλ' ἀντ' ἄλλων διανοούμενος, συναρπαγῇς καὶ παραβλέψῃς τὴν τῆς Ἐκκλησίας διακέλευσιν, ὅτι οὐκ ἔστι συμφέρον σοι, ἐπειδὴ οὐδεὶς τῶν συνεδριαζόντων συναδελφῶν ἀρχιερέων πλὴν τοῦ κυριάρχου σου ἀναλαμβάνει τὰς ὑποθέσεις σου ἢ εἰσακούει τῶν αἰτήσεων σου. Οὕτω λοιπὸν γίνωσκε καὶ οὕτω ποίησον ἐξ ἀποφάσεως· ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ σοῦ.

Ἐν ἔτει σωτηρίῳ ͵αψγς'. Κατὰ μῆνα αὔγουστον.

† *Ὁ Κωνσταντινουπόλεως ἐν Χριστῷ ἀδελφὸς καὶ πᾶσα ἡ Ἱερὰ Σύνοδος.*

Σημ. Ἡ ὕπαρξις ἀποκρισαρίων ἐν Κωνσταντινουπόλει γνωστή ἐστι τοῖς μελετῶσι τὴν ἱστορίαν τῆς ὀρθοδόξου ἀνατολικῆς Ἐκκλησίας ἀπ' αὐτοῦ τοῦ Ε' αἰῶνος. Τίς δὲ πατριάρχης ἐξέδωκε προγενέστερον περὶ τῶν τοιούτων ἀποκρισαρίων ἢ καπικεχαγιάδων τῶν ἐπισκόπων Τόμον ἄγνωστον, ἴσως αὐτὸς ὁ Γεράσιμος. Προηγουμένως δὲ καὶ ἐπὶ Προκοπίου τοῦ ἀπὸ Σμύρνης ἐγένετο ἀπόφασις «μηκέτ' ἔχειν τοὺς ἔξω ἀρχιερεῖς πρὸς τὸν οἰκουμενικὸν πατριάρχην καὶ τὴν περὶ αὐτὸν ἁγίαν καὶ ἱερὰν σύνοδον ἀντιφωνητὰς καὶ ἀποκρισαρίους ἐκ τῶν λαϊκῶν, ἀλλ' ὅν τινα ἂν ἕλοιντο τῶν ἐνδημούντων ἐν Κωνσταντινουπόλει ἀρχιερέων». Σεργίου Μακραίου παρὰ Κ. Σάθᾳ· Μεσαιων. βιβλιοθ. τόμ. Γ', σελ. 342. Ἐπὶ τοῦ Γερασίμου ἐμπεδοῦται οὕτως ἡ κανονικὴ σχέσις ἐπισκόπων πρὸς τοὺς οἰκείους μητροπολίτας.

ΡΒ'

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΑΠΟ ΣΜΥΡΝΗΣ

Ἐξεδόθη κατὰ μάϊον τοῦ 1797 πατριαρχικὸν καὶ συνοδικὸν γράμμα κατὰ πᾶσαν τὴν Πελοπόννησον, ἀπαγορεῦον σφοδρῶς ὅλους τοὺς ἱερεῖς, ἱερομονάχους, ἱεροδιακόνους καὶ μοναχούς, καὶ τοὺς ἐν ὅλοις τοῖς ἐκεῖ μοναστηρίοις ἡγουμένους, καὶ τοὺς λοιποὺς νὰ μὴν ἐπιμίγνωνται εἰς τὰς κοσμικὰς καὶ κοινὰς ὑποθέσεις, μηδὲ νὰ ἀποκαθιστῶνται ἐπ' οὐδεμιᾷ αἰτίᾳ κοντζάπασίδες, ἢ βεκίλλιδες'

καὶ ἐπίτροποι τῶν κοινῶν ὑποθέσεων· καὶ ἐντολὴ πρὸς ὅλους ἐκεῖ τοὺς ἀρχιερεῖς, νὰ προσέχωσι καὶ νὰ μὴν ἀφίνωσί τινα νὰ ἐκτραπῇ τοῦ εὐθέως, καὶ ὅστις φανῇ παρήκοος νὰ ἀναγγέλλωσι τῇ Ἐκκλησίᾳ· τὸ ὁποῖον ἐστάλη διὰ τοῦ ἁγίου Χριστιανουπόλεως.

Σημ. Ἀναφέρεται ἐν σελίδι 2 τοῦ ὑπ' ἀριθμὸν 7 πατριαρχικοῦ κώδηκο, ὡς καὶ τὸ κατωτέρω.

ΡΓ΄

ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

Κατὰ μάϊον τοῦ 1797 ἐξεδόθη γράμμα πατριαρχικὸν εἰς ὅλην τὴν ἐπαρχίαν Βιζύης, προτρεπτικὸν πρὸς τοὺς ἐκεῖ χριστιανοὺς διὰ νὰ φυλάττωσι τὸ σέβας πρὸς τὸν ἀρχιερέα αὐτῶν καὶ νὰ μὴν ἐπιμίγνηνται εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις, οὐδὲ εἰς τὰς ἐκλογὰς τῶν χειροτονηθησομένων, μήτε εἰς ἀποκαταστάσεις αὐτῶν ἐν ταῖς ἐκκλησίαις καὶ ἐνορίαις, ἀλλὰ νὰ φυλάττωσι τὰ τοῦ ἰδίου αὐτῶν ἐπαγγέλματος καὶ νὰ προσέχωσιν ἀκριβῶς εἰς τοὺς ἐκδιδομένους ὑψηλοὺς ὁρισμοὺς, τὸ ὁποῖον ἀπεκόμισεν ὁ ἅγιος Βιζύης·

ΡΔ΄

ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

Κατὰ μάϊον τοῦ 1797 ἐξεδόθη γράμμα πατριαρχικὸν πρὸς τὴν Κοινότητα τοῦ Ὄρους διὰ νὰ διαλλάξωσιν αὐτοὺς καὶ νὰ προσέχωσι διὰ νὰ μὴν ἀναχωρῇ κανένας ἐκ τοῦ Ὄρους ἱερωμένος ἢ

μοναχὸς δίχα συστατικοῦ τῆς Κοινότητος γράμματος ὅτι παιδευθήσονται.

Σημ. Ἀναφέρεται ἐν σελ. 3 τοῦ ὑπ' ἀριθμ. 7 πατριαρχικοῦ κώδηκος· ἡ δὲ διαλλαγὴ ἀφορᾷ εἰς τοὺς Ἰβηρίτας, ἐρίζοντας πρὸς τοὺς Λαυριώτας.

ΡΕ'

ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

Κατὰ ἰούνιον τοῦ 1797 ἐξεδόθη πατριαρχικὸν γράμμα εἰς τὴν ἐπαρχίαν Σίφνου, κατὰ τῶν ἀφαρπαζόντων τὰ μοναστηριακὰ κτήματα καὶ ἀφιερώματα, καὶ ἱερὰ σκεύη καὶ ἄμφια, καὶ εἰς μαρτυρίαν τῆς ἀληθείας ἀπεῖργον δὲ καὶ διακωλύον τὰς εἰσόδους τῶν ἀνδρῶν εἰς τὰ γυναικεῖα μοναστήρια καὶ τῶν ἱερωμένων, ὡσαύτως καὶ τῶν γυναικῶν εἰς τὰ ἀνδρῷα.

Σημ. Σελ. 6 τοῦ αὐτοῦ κώδηκος. Παρόμοια δ' ἀπαντᾷ τις γράμματα κατὰ καιροὺς ἐκδεδομένα, ὧν ἡ ἐνταῦθα ἔκδοσίς ἐστι περιττή.

Ρ '

ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

Κατὰ ἰούλιον τοῦ αὐτοῦ ἔτους ἐξεδόθησαν πατριαρχικαὶ ἐπιστολαὶ πρὸς τὸν Ἀμυκλῶν, πρὸς τὸν Λακεδαιμονίας, πρὸς τὸν Παλαιῶν Πατρῶν, πρὸς τὸν Μονεμβασίας, πρὸς τὸν Ὠλένης, τὸ νὰ προσέχωσι καὶ νὰ ἐπιμελῶνται τοῦ ἀρχιερατικοῦ αὐτῶν ἐπαγγέλματος ὁποῦ εἶναι ἡ διδασκαλία καὶ πνευματικὴ νουθεσία πρὸς τοὺς ἐπαρχιώτας αὐτῶν χριστιανούς, διὰ νὰ φυλάττωσι τὰ τῆς

ἀμωμήτου ἡμῶν πίστεως ἀπαράτρεπτα, καὶ νὰ μὴν ἐκκλίνωσιν ἐκ συναρπαγῆς εἴς τι τῶν ἀπευκταίων, καὶ νὰ μὴ περιπέσωσιν εἰς τὴν φθοροποιὰν νεωστὶ ἀναφανεῖσαν λύμην, καθὼς καὶ περὶ τοῦ τοιούτου θέλουν πληροφορηθῇ οἱ ἀρχιερεῖς ἀπὸ τῆς πνευματικῆς διδασκαλίας καὶ ὁμολογίας τοῦ ἐκεῖ παρὰ τῆς Ἐκκλησίας διωρισμένου ἱεροκήρυκος διδασκάλου Ἀγαπίου, ἔχοντος καὶ ἑτέραν πατριαρχικὴν κοινὴν πρὸς πάντας τοὺς ἀρχιερεῖς ἐπιστολήν.

Σημ. Σελ. 11 τοῦ αὐτοῦ κώδηκος. Ἡ ἐπιστολὴ προδήλως ἀποδοκιμάζει τὰς ἀρχὰς τῆς γαλλικῆς ἐπαναστάσεως· οὐ σώζεται δ' ἐν τοῖς πατριαρχικοῖς κώδηξιν. Ὁ ἱεροκῆρυξ Ἀγάπιος πιθανῶς ἐστιν ὁ Λεονάρδος. Ἐστάλησαν δὲ καὶ πρὸς τοὺς μητροπολίτας Ἄρτης καὶ Ἰωαννίνων ὑπὸ τὸ αὐτὸ πνεῦμα ἀναγγέλλουσαι τὴν εἰς τὰς πόλεις ταύτας καὶ εἰς Παλαιὰς Πάτρας ἀποστολὴν τοῦ διδασκάλου Διονυσίου ὅπως «ὁμιλήσῃ καὶ αὐτὸς τὰ εἰκότα πρὸς αὐτούς, ὡς ἀπὸ μέρους τῆς Ἐκκλησίας, συνεπιφερόμενος καὶ ὑψηλὸν ὁρισμόν».

ΡΖ'

ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

Περὶ προικοδοσιῶν.

Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Οἱ τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ ἀποστολικῷ καὶ οἰκουμενικῷ Θρόνῳ ὑποκείμενοι ἱερώτατοι μητροπολῖται καὶ θεοφιλέστατοι ἀρχιεπίσκοποί τε καὶ ἐπίσκοποι, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοὶ ἡμῶν ἀδελφοὶ καὶ συλλειτουργοί· καὶ ἐντιμότατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἑκάστης ἐπαρχίας· καὶ λοιποὶ εὐλαβέστατοι ἱερεῖς, ὁσιώτατοι ἱερομόναχοι, χρήσιμοι γέροντες καὶ προεστῶτες χριστιανοὶ τῶν ἁπανταχοῦ πολιτειῶν, κωμοπόλεων καὶ χωρίων, τέκνα ἡμῶν ἐν Κυρίῳ ἀγαπητά· χάρις εἴη

ὑμῖν ἅπασι καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ Κυρίου Παντοκράτορος. Τῆς καθ' ἡμᾶς ταύτης ἁγιωτάτης ἐκκλησιαστικῆς περιωπῆς καὶ πνευματικῆς μεγαλειότητος ἔργον ἀείποτε καὶ τέλος πρόκειται σκοπιμώτατον κηδεμονικῶς προνοεῖν καὶ πνευματικῶς περιθάλπειν τοὺς ἁπανταχοῦ εὐσεβεῖς καὶ ὀρθοδόξους χριστιανούς, καὶ ἐκ παντὸς τρόπου φροντίζειν πατρικῶς τὰ πρὸς ψυχικὴν καὶ σωματικὴν ἐκείνων ὠφέλειαν· παίδων γὰρ φείδεσθαι πατρικός ἐστι νόμος, κατὰ τὸν μέγαν τῆς Ἐκκλησίας πατέρα, τὸν Θεολόγον φαμὲν Γρηγόριον· διὸ καὶ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἔργον ἑαυτῆς ἀπαραίτητον λογίζεται ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, ἵνα ἐάν που κατίδῃ λυμαντικήν τινα συνήθειαν παρεισφρήσασαν καὶ κοινοβλαβῆ τῷ χριστιανικῷ τούτῳ πληρώματι ἀγωνίζηται ἐκ μέσου ἐκείνην ποιῆσαι καὶ ῥιζηδόν, εἰ δυνατόν, ἀνασπᾶσαι τὸ κακόν, τὰ μὲν συμβουλεύουσα καὶ παραινοῦσα εὐχαῖς καὶ εὐλογίαις, τὰ δὲ ἀπειλοῦσα ἀραῖς καὶ ἐπιτιμήσεσιν ἐκκλησιαστικαῖς, καὶ ἐκ παντὸς τρόπου πειρωμένη πάνυ μητρικῶς εἴπως τὴν ἐν ἔθει τοῖς πνευματικοῖς αὐτῆς τέκνοις γιγνομένην κατ' ἄγνοιαν ἀφελοῦσα βλάβην ἐπεισαγάγειε τὴν ὠφέλειαν. Καὶ ἢν μὲν κατορθώσασα τὸ σκοπούμενον ἐπίδῃ τὰ ἑαυτῆς τέκνα ἀποστάντα μὲν τῆς κοινοβλαβοῦς συνηθείας, ὠφελούμενα δὲ τοῦ λοιποῦ καὶ εὐημεροῦντα, τότε δὴ τότε μητρικῶς πάνυ χαίρει εὐφραινομένη ἐπὶ ταῖς ἐκείνων ὠφελείαις· ἐὰν δὲ μήτε τὸ κοινοβλαβὲς ἐκεῖνο ἔθος ἐκκόψαι δυνηθῇ, καὶ οἱ χριστιανοὶ πρὸς τὸ μηδέν τι ὠφεληθῆναι ὑπὸ τῶν ἐκκλησιαστικῶν συμβουλῶν καὶ ἀπειλῶν διὰ περιστάσεις τινὰς καὶ προσέτι καὶ ψυχικῇ ἄλλῃ ὑποπίπτουσι βλάβῃ, δεσμοῖς ἐκκλησιαστικοῖς καὶ ἀραῖς ἔνοχοι γιγνόμενοι, τότε εὐφυῶς καὶ εὐνοϊκῶς τῶν δύο κακῶν τὸ ἔλαττον ἑλομένη καὶ εὐμηχάνως μεταβαλοῦσα ἀνίησι τοῖς τέκνοις τὰ ἐπιτίμια καὶ τῶν ἀρῶν ἐλεύθερα ἀποκαθίστησιν, οἰκονομίαις ταῖς μὴ κεκωλυμέναις ὑπὸ τῶν θείων καὶ ἱερῶν νόμων χρωμένη· ὅσα μὲν γὰρ δογματικὰ προτεθέσπισται παρὰ τῶν ἁγίων τῆς Ἐκκλησίας πατέρων καὶ θείων καὶ ἱερῶν Συνόδων, ἐπ' ἐκείνων οὐδὲ τὸ σμικρότατον μεταποιῆσαι ἔξεστιν, ἀλλὰ κρατεῖν

ἐκεῖνα δεῖ ἀεὶ ὡσαύτως διαφυλαττόμενα καὶ εὐσεβῶς διατηρούμενα πάντη ἀμεταποίητα, ὅσα ἔστιν ἰδεῖν ἐν ταῖς θείαις καὶ ἱεραῖς Συνόδοις καταγεγραμμένα, τῆς μὲν ἐν Χαλκηδόνι καὶ τῆς ἐν Καρθαγένη ἐν τοῖς πρώτοις κανόσι, τῆς δὲ ἕκτης καὶ ἑβδόμης ἐν τοῖς δευτέροις· ἐπ' ἐκείνων μὲν οὖν οὐδόλως ἔξεστι μεταποιῆσαί τι· ἐπὶ δὲ τῶν μὴ ἐν ἐκείνοις δεδογματισμένων καὶ τοῖς πολιτικοῖς ἀνηκόντων ἤθεσιν, ἔξεστιν ἡμῖν τοῖς ἀρχιερατικῶς προϊσταμένοις, τῇ θείᾳ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, οἰκονομίαις χρῆσθαι, μεταβάλλειν τε καὶ διορθοῦν, νῦν μὲν ἐπιτιμῶντας, νῦν δὲ ἀνιέντας, καὶ τοῖς πᾶσι τὰ πάντα γιγνομένοις, ἵνα τοὺς πάντας κερδίσωμεν, κατὰ τὸν ἀπόστολον, ὅπερ ἐπί τε ἄλλων πολλῶν καθ' ἑκάστην, ὡς εἰπεῖν, τῇ Ἐκκλησίᾳ οἰκονομεῖται, πρὸς τὸ συμφέρον τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν· οὐμὴν ἀλλὰ καὶ κατὰ τὸ ͵αψλς' σωτήριον ἔτος ἐπὶ τῆς πατριαρχείας τοῦ ἀοιδίμου Κωνσταντινουπόλεως Νεοφύτου τοῦ πάλαι* περὶ τῆς παρεισφρησάσης ἐν Κωνσταντινουπόλει ἀτάκτου καὶ ὑπερόγκου προικοδοσίας, πρὸς διακώλυσιν τῆς κοινοβλαβοῦς ταύτης συνηθείας ἐξέδοτο πατριαρχικὸν, συνοδικὸν, ἀφοριστικὸν γράμμα· ἀλλὰ μετ' οὐ πολὺ ἐπὶ τοῦ αὐτοῦ πατριάρχου τότε Νεοφύτου, κατιδοῦσα ἡ Ἐκκλησία, ὅτι ἀδύνατον διαφυλαχθῆναι ἐν τοῖς γαμικοῖς συναλλάγμασι τὴν συνοδικὴν ἐκείνην ἀπόφασιν, καὶ τὰ πνευματικὰ αὐτῆς τέκνα τοῖς ἐν ἐκείνῳ τῷ γράμματι ἐκκλησιαστικοῖς δεσμοῖς καὶ ἐπιτιμίοις ἔνοχα γίγνονται, μεταβαλοῦσα μετερρύθμισε τὸ πρᾶγμα διὰ πατριαρχικοῦ καὶ συνοδικοῦ συγχωρητικοῦ γράμματος συγχωρήσασα τοὺς ὁπωσδήποτε ταῖς ἀραῖς ἐκείναις περιπεπτωκότας καὶ διδοῦσα ἄδειαν ἑκάστῳ συνάπτοντι νομίμως γαμικὰ συναλλάγματα προικοδοτεῖν, ὅπως βούληταί τις καὶ δύναται· ἀλλὰ καὶ ὕστερον κατὰ τὸ ͵αψξζ' σωτήριον ἔτος ὁ ἐν ἀειμνήστοις ἀοίδιμος Σαμουὴλ πατριάρχης, ἐπὶ τῆς πρώτης αὐτοῦ πατριαρχείας, μετὰ πολλῆς τῆς ψυχικῆς ὀδύνης ὁρῶν τὸν τοῦ εὐσεβοῦς γένους ἡμῶν ὄλεθρον διὰ τὰς κατα-

* Νοεῖ τὸν ἀπὸ Καισαρείας πρὸς διάκρισιν τοῦ ἀπὸ Μαρωνείας.

χρήσεις τῶν προικοδοσιῶν καὶ μὴ φέρειν μηδὲ ἀνέχεσθαι δυνάμενος, ἐπεχείρησε πάνυ φιλοστόργως ἀπαλλάξαι τῆς δεινῆς ταύτης βλάβης οὐ μόνον τοὺς ἐν Κωνσταντινουπόλει ἀλλὰ καὶ τοὺς ἁπανταχοῦ εὐσεβεῖς καὶ ὀρθοδόξους χριστιανούς· καὶ δὴ βίβλον ὅλην περὶ τούτων συνέταξε πατριαρχικαῖς καὶ συνοδικαῖς ὑπογραφαῖς, καὶ ἐν τύποις ἁπανταχοῦ διέδωκε μετὰ φρικτῶν τῶν ἀρῶν καὶ ἐπιτιμίων, εἴπως ἐκκόψειε τὴν κοινοβλαβῆ τῆς προικοδοσίας ταύτης κατάχρησιν παντοίαις ἐκκλησιαστικαῖς δυνάμεσι φροντίζων καὶ ἀγωνιζόμενος. Ἀλλὰ καὶ τοῦ ἀειμνήστου καὶ σοφοῦ ἐκείνου τὰ τοσαῦτα βουλεύματα περὶ τῆς ὑποθέσεως ταύτης καὶ οἱ τηλικοῦτοι ἐπιπονώτατοι ἀγῶνες πάντῃ μάταιοι καὶ ἀνωφελεῖς ἀνεφάνησαν· ἀνηνέχθη γὰρ ἤδη ἡμῖν παρὰ πάσης τῆς πανεκλάμπρου καὶ πανευλαβοῦς χορείας, καὶ συμπάντων τῶν προκριτωτέρων χριστιανῶν τῆς βασιλευούσης ταύτης τῶν πόλεων, καὶ ἄλλων μερῶν καὶ ἐπαρχιῶν κατὰ καιρούς, ὡς διὰ πολλὰς καιρικάς τε καὶ ἄλλας περιστάσεις τῶν πάνυ ἀδυνάτων ἐστὶν ἐν τοῖς γαμικοῖς συναλλάγμασι διαφυλάξαι τὰ ἐν τῇ ῥηθείσῃ βίβλῳ ἀποφανθέντα, καὶ ὡς τοσοῦτον ἐκείνης παραπέλαυσαν, ὅτι ἔκτοτε μέχρι τοῦδε ἐπὶ χρόνους τοσούτους πάμπολλοι καὶ ὡς εἰπεῖν πάντες ἔνοχοι κατέστησαν τοῖς ἐν ἐκείνῃ ἐκκλησιαστικοῖς θεσμοῖς, ἐφ' οἷς πολλάκις κατὰ καιροὺς εἰς διάφορα μέρη ἐξεδέδοτο παρὰ τῆς Ἐκκλησίας συγχωρητικὰ γράμματα· διὸ καὶ ἐξητήσαντο ἤδη λύσιν μὲν τοῖς περιπεπτωκόσι ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς μέχρι τοῦδε, παντελῆ δὲ τοῦ λοιποῦ ἁπάντων τῶν χριστιανῶν διαφύλαξιν ἀπὸ τῶν ἀρῶν τῆς ῥηθείσης βίβλου· ἡ δὲ μετριότης ἡμῶν καίπερ ὁρῶσα κοινωφελέστατα τὰ ἐν τῇ βίβλῳ ἐκείνῃ ἀποφανθέντα, ὅμως πληροφορουμένη, ὡς εἴρηται, τὸ ἀδύνατον τοῦ πράγματος διὰ τὰς περιστάσεις καὶ ὅτι αἱ ἐν ἐκείνῃ ἀραὶ οὐ μόνον οὐκ ἠδυνήθησαν τὴν σωματικὴν ἐκείνην καὶ πρόσκαιρον ἀναχαιτίσαι βλάβην, πάντων τὰ αὐτά, ὡς καὶ πρὸ τῆς βίβλου, προικοδοτούντων, ἀλλὰ πλείστην ὅσην καὶ τὴν ψυχικὴν βλάβην ἐπεισήγαγε διὰ τὴν ἐνοχήν, καὶ πολλαχῶς περὶ τοῦ πράγματος βουλευ-

σαμένη, τελευταῖον τὸ ἔλαττον κακὸν πρὸ τοῦ μείζονος ἑλομένη πατρικῶς ὑπὲρ πάντων τῶν πνευματικῶν αὐτῆς τέκνων, ἔγνωμεν, τῇ δυνάμει καὶ πανσθενεῖ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, ἐκδοῦναι τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν γράμμα διακωλυτικὸν μὲν τοῦ λοιποῦ τῶν ἀρῶν τῆς ῥηθείσης βίβλου, συγχωρητικὸν δὲ τῶν μέχρι τοῦδε περιεπτωκότων τοῖς ἐν ἐκείνῃ δεσμοῖς καὶ ἐπιτιμίοις. Διὸ γνώμῃ κοινῇ καὶ συναινέσει τῶν ἐν Κωνσταντινουπόλει εὑρισκομένων ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητῶν καὶ περιποθήτων ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν πατριαρχῶν, τοῦ τε παναγιωτάτου πρῴην Κωνσταντινουπόλεως κυρίου κυρίου Γερασίμου, καὶ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου τῶν Ἱεροσολύμων κυρίου κυρίου Ἀνθίμου, μετὰ πάντων τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα ἵνα, πρῶτον μὲν ὅσα ἐν διαφόροις πόλεσιν, ἢ κωμοπόλεσιν, ἢ χωρίοις κατ' εὐαρέστησιν τῶν ἐνοικούντων καὶ κατὰ μέρος, εἴτε διὰ πατριαρχικῶν συνοδικῶν γραμμάτων, εἴτε ἄλλως πως εἰσὶ διωρισμένα καὶ τεταγμένα περὶ προικοδοσιῶν κατὰ καιρούς, ἐκεῖνα πάντα ἔχωσι τὸ κῦρος καὶ τὴν ἰσχὺν ἀπαράτρεπτον ἐσαεὶ καὶ ἀπαραμείωτον· τοῦ δὲ ῥηθέντος βιβλίου τοῦ ἀοιδίμου ἐν πατριάρχαις Σαμουὴλ, τοῦ περὶ συναλλαγμάτων καὶ προικοδοσιῶν, τὰς μὲν πατρικὰς ἐκείνου συμβουλὰς καὶ παραινέσεις, ὡς καλὰς καὶ κοινωφελεῖς μάλιστα, τοῖς βουλομένοις ἐξέστω ἀκωλύτως φυλάττειν καὶ διενεργεῖν μετὰ τῶν παρ' ἡμῶν εὐχῶν καὶ εὐλογιῶν· οἱ δὲ δι' ἥν τινα οὖν περίστασιν μὴ βουλόμενοι φυλάττειν τοῦ λοιποῦ τὰ ἐν ἐκείνῃ τῇ βίβλῳ συνοδικῶς ἀποφανθέντα περὶ τῶν προικοδοσιῶν, ἐχέτωσαν ἄδειαν συγκροτεῖν συνοικέσια νόμιμα, εἴτε ἐν Κωνσταντινουπόλει, Γαλατᾷ καὶ Καταστένῳ, εἴτε ἐν ἄλλοις μέρεσι καὶ ἐπαρχίαις, καὶ προικοδοτεῖν ἕκαστος, ὡς βούλεται καὶ δύναται, ἄνευ τινος ὑποψίας καὶ δισταγμοῦ καὶ, μηδόλως ἐνεχόμενος τοῖς ἐν ἐκείνῃ τῇ ῥηθείσῃ βίβλῳ ἐκκλησιαστικοῖς ἐπιτιμίοις· οὐ μὴν ἀλλὰ καὶ ὅσοι καὶ ὁποῖοι τῶν χριστιανῶν, μικροὶ ἢ μεγάλοι, ἄνδρες ἢ

γυναῖκες, ὁποιαστινοσοῦν τάξεως καὶ βαθμοῦ ὑπέπεσον, ὁπωσδήποτε τοῖς ἐν ἐκείνῃ τῇ βίβλῳ ἐκκλησιαστικοῖς δεσμοῖς καὶ ἐπιτιμίοις ἐξ ὅτου ἐξεδέδοτο μέχρι τῆς σήμερον, κακεῖνοι πάντες ζῶντές τε καὶ τεθνεῶτες ὑπάρχωσι πάντῃ συγκεχωρημένοι καὶ εὐλογημένοι παρὰ Θεοῦ Κυρίου Παντοκράτορος, λελυμένοι τε καὶ ἐλεύθεροι τῶν τυπωθέντων ἐκείνων καὶ ἐκδοθέντων (οὕτως ἐν τῷ κώδηκι) ἀρῶν, καὶ τῶν ἐκκλησιαστικῶν δεσμῶν καὶ ἐπιτιμίων πάντῃ ἀμέτοχοι καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, ἔχοντες καὶ τὰς εὐχὰς καὶ εὐλογίας τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν ἁγίων τῆς Ἐκκλησίας πατέρων ἐξ ἀποφάσεως.

,αψγη'. Ἐν μηνὶ Φεβρουαρίῳ. Ἰνδικτιῶνος Α'.

† *Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης εὔχεται.*

† *Πρώην Κωνσταντινουπόλεως Γεράσιμος συνεπεύχεται.*

† *Ἱεροσολύμων Ἄνθιμος ἐν Χριστῷ τῷ Θεῷ συνεπεύχεται.*

† *ὁ Ἐφέσου Σαμουήλ· — † ὁ Ἡρακλείας Μελέτιος· — † ὁ Κυζίκου Ἰωακείμ· — † ὁ Νικομηδείας Ἀθανάσιος· — † ὁ Νικαίας Καλλίνικος. — † ὁ Χαλκηδόνος Ἱερεμίας· — † ὁ Δέρκων Μακάριος· — † ὁ Θεσσαλονίκης Γεράσιμος· — † ὁ Προύσης Ἄνθιμος· — † ὁ Νεοκαισαρείας Ἡσαΐας· — † ὁ Λαρίσσης Διονύσιος· — † ὁ Εὐρίπου Ἱερόθεος· — † ὁ Δημητριάδος Ἀθανάσιος.*

Σημ. Ἐκ τοῦ ὑπ' ἀριθμὸν 7 πατριαρχ. κώδηκος. Ἀντιβλήθην θὲς τὰς ἐν ταῖς σελίσι 70—73, 218 καὶ 257—261 τοῦ μετὰ χεῖρας τόμου ἐκδεδομένας συνοδικὰς διατάξεις. Πρὸς συμπλήρωσιν τῶν περὶ προικοδοσιῶν ἐκκλησιαστικῶν διατάξεων παρασυνάπτονται ὑπ' ἀριθμοὺς ΡΘ', ΡΙ' καὶ ΡΙΑ' αἱ διατάξεις τῶν πατριαρχῶν Ἀγαθαγγέλου τοῦ ἀπὸ Χαλκηδόνος καὶ Γρηγορίου ς' τοῦ ἀπὸ Σερρῶν. Ἀπὸ τοῦ παρόντος γράμματος μανθάνομεν ὅτι αἱ περὶ προικοδοσίας διαταγαὶ τοῦ ἀπὸ Καισαρείας Νεοφύτου ἐξεδόθησαν τῷ 1736, ἠκυρώθησαν δ' ὑπ' αὐτοῦ τούτου. Ἀνάγνωθι διατριβὴν Μ. Ι. Γεδεὼν ὑπὸ τὸν τίτλον «Αἱ περὶ προικοδοσίας ἐπαρχιακαὶ καὶ πατριαρχικαὶ διατάξεις» ἐν τόμῳ Η' «Ἐκκλησιαστικῆς Ἀληθείας», σελ. 215—219, 224—228 καὶ 233—236.

ΡΗ΄

ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

Ἴσον ἀπαράλλακτον τοῦ εἰς τὴν Τρίκερην ἐκδοθέντος πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος διορίζοντος ὡς δεῖ γενέσθαι τοὺς ἀρραβῶνας τῶν μνηστευομένων καὶ τῶν διδομένων λόγῳ ἀρραβῶνος πραγμάτων.

Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Θεοφιλέστατε ἐπίσκοπε Σκιάθου καὶ Σκοπέλου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ· καὶ ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς, χρήσιμοι γέροντες καὶ προεστῶτες τῆς χώρας Τρίκερης· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Ἔγνωμεν καὶ ἐβεβαιώθημεν, ὅτι αὐτόθι περὶ τοὺς ἀρραβῶνας τῶν συνοικεσίων ἐπικρατοῦσι μερικαὶ συνήθειαι πολλῶν κακιῶν πρόξενοι καὶ μεγάλων ταραχῶν καὶ σκανδάλων παραίτιοι, δηλαδὴ οἱ πενθεροὶ ὅσα συμφωνοῦσι διδόναι τοῖς ἐπὶ θυγατράσι γαμβροῖς μετρητά, οὐκ ἐπιμετροῦσιν ἐκείνοις ἐν τῷ γάμῳ ἢ ὀλίγον πρὸ τοῦ γάμου, ἀλλ' ἐκ τοῦ παραυτίκα ἐν καιρῷ τοῦ ἀρραβῶνος, ἵνα ἐπαυξάνῃ ταῦτα ὁ γαμβρὸς ἐμπορευόμενος καὶ πραγματευόμενος, καὶ οἱ μὲν ἀρραβῶνες παρατείνονται μέχρι δέκα καὶ δεκαπέντε ἐτῶν, οἱ δὲ ἀρραβωνιαστικοὶ ἀκωλύτως πάνυ συνδιατρίβουσι καὶ συναναστρέφονται ταῖς ἑαυτῶν μνησταῖς, ἀνεμποδίστως εἰσερχόμεννοι εἰς τὰς οἰκίας ἐκείνων· συμβὰν δ' ἀποθανεῖν τὸν γαμβρὸν πρὸ τῆς τοῦ γάμου ἐκτελέσεως, μυρία ἀναφύονται σκάνδαλα καὶ κρίσεις καὶ λογομαχίαι, τοῦ μὲν πενθεροῦ ἢ τῆς μνηστῆς ἀπαιτούντων ὅσα ἐπεμέτρησαν τῷ γαμβρῷ ἐν καιρῷ ἀρραβῶνος σῶα καὶ ἀνελλιπῆ μετὰ τῆς ἐπαυξήσεως, ἤγουν διάφορον ἐκείνων, τὰ δέκα πρὸς ἕνδε-

κα καθ' ἕκαστον χρόνον, ἐφ' ὅσους χρόνους ἐχρῆτο ἐκείνοις ὁ γαμβρὸς ἔτι ζῶν εἰς ἐμπορίαν, τῶν δὲ συγγενῶν καὶ κληρονόμων τοῦ ἀποθανόντος γαμβροῦ οὐ πειθομένων διδόναι οὔτε τὴν αὔξησιν τῶν εἰρημένων ἄσπρων, οὔτε διάφορον· ἐν τούτοις δὲ ἅπασι πρὸς τοῖς ἄλλοις κακοῖς πολλαὶ εἰσὶ καὶ παρανομίαι· τὸ γὰρ ἀναβάλλειν καὶ παρατείνειν τὴν μνηστείαν ὑπὲρ τοὺς τέσσαρας χρόνους ἄνευ τινὸς ἀσθενείας τοῦ γαμβροῦ ἢ τῆς νύμφης, ἢ θανάτου γονέως αὐτῶν, ἢ μακρᾶς τινος ἀποδημίας ἔστι πάντη παράνομον καὶ ἀπηγορευμένον, ὡς φαίνεται ἐν τῷ πρώτῳ τίτλῳ τοῦ τετάρτου βιβλίου τοῦ ἱεροῦ Ἀρμενοπούλου, εἶτα καὶ τὸ μὴ ἐπιστρέφειν τοὺς συγγενεῖς τοῦ πρὸ τοῦ γάμου ἀποθανόντος γαμβροῦ πρὸς τὸν πενθερὸν ἢ τὴν μνηστὴν ὅσα μετρητὰ παρέλαβον μετὰ τῆς ἐπαυξήσεως, οὐκέτι κατὰ τοὺς νόμους ἐστίν· οἱ γὰρ θεῖοι καὶ ἱεροὶ νόμοι, ὅπου τὰ βάρη τοῦ γάμου ἐκεῖ καὶ τοὺς καρποὺς τῆς προικὸς μένειν διακελεύονται, ἐνταῦθα δὲ ὁ μήπω στεφανωθεὶς ἀρραβωνιαστικὸς ὁ πρὸ τοῦ γάμου τελευτήσας οὐκ ἐπανηληφὼς ἦν τὰ βάρη τοῦ γάμου ὅτε ἐχρῆτο τοῖς χρήμασιν ἐκείνοις εἰς ἐμπορίαν, ὥστε οὐ δικαίως κερδίζουσιν οἱ κληρονόμοι ἐκείνου τὴν αὔξησιν τῶν προικιμαίων ἄσπρων, ἀλλὰ δίκαιόν ἐστιν ἐπιστρέψαι σὺν τοῖς χρήμασιν ἐκείνοις καὶ τὴν αὔξησιν πρὸς τὸν πενθερὸν ἢ τὴν μνηστὴν, οὐ μὴν δὲ ἀλλὰ περιττὸν ἂν εἴη μακρηγορεῖν ὅσης ατοπίας καὶ ὅσων ἐνδεχομένων κακῶν παραίτιον γίνεται, ὅταν ἀκωλύτως νέος μνηστὴρ νεάνιδι μνηστῇ συνδιατρίβουσι συναναστρεφόμενοι ἀνυποστόλως. Πρὸς διόρθωσιν οὖν καὶ διακώλυσιν τῶν τοσούτων κακῶν, παρόντων τε καὶ μελλόντων, γράφοντες μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα ἵνα πρῶτον μὲν μηδεμία μνηστεία ἢ ἀρραβὼν ἐπιτελῆται αὐτόθι, ἔτι ἀνηλίκου ὄντος τοῦ γαμβροῦ ἢ τῆς νύμφης, ἐν γὰρ τοῖς ἀνηλίκοις οὐκ ἂν εἴη καὶ ἡ ὀρθὴ συγκατάνευσις, ἥν τινα ἀναγκαίως πρὸς τὸν γάμον ἐπιζητοῦσιν οἱ ἱεροὶ νόμοι, ἀλλὰ γίνωνται ἀρραβῶνες τῶν ἐν ἡλικίᾳ καὶ μηδόλως συναναστρέφωνται οἱ ἀρραβωνιαστικοὶ

ταῖς ἀρραβωνιαστικαῖς· εἶτα δὲ ἄνευ τῶν ἀνωτέρω ῥηθέντων (οὕτω) νομίμων αἰτιῶν μὴ παρατείνωνται αἱ ἐκτελέσεις τῶν γάμων πλείω τῶν τεσσάρων ἐτῶν. Ἐὰν δὲ συμβῇ ἀποθανεῖν τινα πρὸ τοῦ γάμου ἠρραβωνισμένον, ὀφείλουσιν οἱ συγγενεῖς καὶ κληρονόμοι ἐκείνου ἐπιμετρῆσαι πρὸς τὸν πενθερὸν ἢ τὴν μνηστὴν ὅσαπερ λόγῳ προικὸς παρειληφὼς ἦν ἐκεῖνος καὶ ἐχρῆτο εἰς ἐμπορίαν, λογαριαζόμενα τὰ δέκα πρὸς ἕνδεκα τὸν καθ' ἕκαστον χρόνον. Ταῦτα μὲν οὖν πρὸς διακώλυσιν τῶν παρανομιῶν καὶ ταραχῶν καὶ πρὸς κοινὴν ὠφέλειαν τῶν εἰρημένων χριστιανῶν ἀποφαινόμεθα συνοδικῶς· ὅστις δὲ καὶ ὁποῖος μικρὸς ἢ μέγας, ἀνὴρ ἢ γυνή, ἱερωμένος ἢ λαϊκός, τολμήσῃ παραβῆναι ὁπωσοῦν καὶ ἀνατρέψαι τὰ ἐν τῷ παρόντι ἀποφανθέντα, ὁ τοιοῦτος, ὅστις ἂν ᾖ τῶν αὐτόθι, ὡς ἀπειθὴς καὶ παρήκοος ταῖς συνοδικαῖς ταύταις καὶ πατρικαῖς ἀποφάσεσιν, ὡς κοινοβλαβὴς τῇ πατρίδι αὐτοῦ, καὶ ὡς καταφρονητὴς τῶν θείων καὶ ἱερῶν νόμων, ἀφωρισμένος εἴη κτλ. (αἱ συνήθεις ἀραί.) Οὕτω γενέσθω καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως.

͵αψγη΄. Ἐν μηνὶ Ἀπριλλίῳ. Ἰνδικτιῶνος Α΄.

† ὁ Ἐφέσου Σαμουήλ· — † ὁ Ἡρακλείας Μελέτιος· — † ὁ Κυζίκου Ἰωακείμ· — † ὁ Νικομηδείας Ἀθανάσιος· — † ὁ Νικαίας Καλλίνικος· — † ὁ Χαλκηδόνος Ἱερεμίας· — † ὁ Δέρκων Μακάριος· — † ὁ Θεσσαλονίκης Γεράσιμος· — † ὁ Προύσης Ἄνθιμος· † — ὁ Νεοκαισαρείας Ἡσαΐας· — † ὁ Λαρίσσης Διονύσιος· — † ὁ Εὐρίπου Ἱερόθεος· — † ὁ Δημητριάδος Ἀθανάσιος.

Σημ. Κῶδηξ Πατριαρχείου· ἀριθμ. 7.

ΡΘ΄

ΑΓΑΘΑΓΓΕΛΟΥ ΤΟΥ ΑΠΟ ΧΑΛΚΗΔΟΝΟΣ

Γράμμα πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες, κατὰ τὴν κοινὴν τοῦ γένους αἴτησιν, ἐπικυρωτικὸν τῶν κοινῶς εἰς δέκα καὶ τρία κεφάλαια κανονισθεισῶν περὶ τοὺς γάμους προικοδοσιῶν, καὶ διαιτηθεισῶν, καὶ ὁρισθεισῶν παρὰ τῶν ἐκλεγέντων δέκα διαιτητῶν.

Ἀγαθάγγελος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἐντιμότατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ εὐλαβέστατοι ἱερεῖς, καὶ ὁσιώτατοι ἱερομόναχοι οἱ ψάλλοντες ἐν ταῖς ἱεραῖς ἐκκλησίαις Πόλεως, Γαλατᾶ, καὶ Καταστένου καὶ λοιποὶ ἀπαξάπαντες εὐλογημένοι χριστιανοὶ, ἄνδρες τε καὶ γυναῖκες, ἑκάστης τάξεως καὶ βαθμοῦ· τέκνα ἡμῶν ἐν Κυρίῳ ἀγαπητά· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ, παρ' ἡμῶν δὲ εὐχὴ, εὐλογία, καὶ συγχώρησις. Περὶ τῆς ἐκκλησιαστικῆς ἀδιαλείπτου προνοίας, καὶ τῆς τῶν προκρίτων τοῦ ἡμετέρου γένους μετὰ ζήλου προμηθείας, πᾶς τις ἂν, εὖ φρονῶν, ὁμολογήσειε, μὴ μόνον ἐπὶ τὰ πόρρω ἐξικνουμένης, καὶ, ὥσπερ ἐξ ἐπόπτου τινὸς ἐκ τῆς προκαθημένης τῆσδε τῶν Πόλεων, ἐπεξερχομένης τὰ κατὰ μέρος προσπίπτοντα τῷ χριστωνύμῳ λαῷ, καὶ τὰ πρόσφορα φιλοστόργως καὶ φιλογενῶς διαιτώσης, ἀλλὰ καὶ τὰ ἐγγὺς καὶ οἰκεῖα, αὐτὰ δηλονότι τὰ συμφυῆ τε καὶ σύστοιχα τῷ κοινωνικῷ τοῦ ἀνθρωπίνου γένους βίῳ, καὶ τῇ τοῦ ὀρθοδόξου πληρώματος περὶ τοὺς νομίμους γάμους διατάξει συμβάλλοντα ἀγρύπνοις ὀμμάτων βολαῖς περισκοπούσης, καὶ περιβλεπούσης, καὶ μάλι-

στα ὅταν προσφόρῳ τῷ καιρῷ καὶ τοῖς πράγμασι τὸ προσῆκον ἀποδιδῷ, οὐδὲν ἀθεράπευτον καὶ ἀνεπίσκεπτον ἀνέχεται καταλιμπάνειν· ἀλλ' εἴ τι μὲν καλῶς ἔχειν δοκεῖ, τούτου τὴν σύστασιν καὶ διαμονὴν πραγματεύεται πολυτρόπως, εἴ τι δὲ τῶν τοῦ πρέποντος ὅρων παρεξενήνεκται, τοῦτο ἐπανακαλεῖν καὶ ἐπανάγειν πειρᾶται ἐπὶ τὸ εὔθετον καὶ σεμνόν, καὶ πάντα πρὸς τὸ ὀνήσιμον καὶ κοινωφελὲς διευθύνει, ὥσπερ καὶ ἐπὶ τῆς προκειμένης τῶν γαμικῶν συναλλαγμάτων ὑποθέσεως, διάπυρον ἔχουσα τὴν περὶ τὰ συμφέροντα καὶ κοινωφελῆ τοῦ ἡμετέρου γένους μέριμναν ἡ ἐκκλησιαστικὴ πρόνοια, γενναίαν καταβάλλεται τὴν ἐπιμέλειαν καὶ σπουδήν. Ἐπεὶ δὲ αἱ παροῦσαι διαταγαὶ συντίθενται κατὰ κοινὴν παράκλησιν καὶ ὁμόφωνον γνώμην παντὸς τοῦ ἐν τῇ βασιλευούσῃ ὀρθοδόξου πληρώματος, αἱ περὶ τῆς διορθώσεως δηλονότι τῶν εἰς τοὺς γάμους συμβαινουσῶν καταχρήσεων, ἀναγκαῖόν ἐστιν, ἵν' ἐξιστορηθῶσιν ἐν συντομίᾳ, ἢ μᾶλλον εἰπεῖν στηλιτευθῶσιν, ὅσα ἐκ τούτων συνέβησαν καὶ καθ' ἑκάστην συμβαίνουσιν εἰς τὸ ἡμέτερον γένος ἄρρητα κακά, ἅπερ καὶ κοινῇ ψήφῳ καὶ ἀποφάσει, ναὶ μὴν καὶ ἀγρύπνῳ τῶν προϋχόντων τοῦ γένους ἐπιμελείᾳ ἐξομαλισθέντα ριζηδὸν ἐκσπασθῶσι καὶ ἀφανισθῶσιν ἐξ ὁλοκλήρου. Πολλαὶ τῷ ὄντι, καὶ αἰσθητικώταται ἐστάθησαν εἰς τὸ ἡμέτερον γένος καί εἰσιν αἱ φθοροποιαὶ βλάβαι, ὅσας ἐπέφερον καὶ καθ' ἑκάστην ἐπιφέρουσιν εἰς τῶν λαϊκῶν τὸ πολίτευμα τὰ ἐπικρατήσαντα ὀλέθρια περὶ τοὺς γάμους τραχώματα, καὶ ἡ ἀπόλυτος καὶ ἀπεριόριστος πολυτέλεια τῶν γαμικῶν προικοδοτημάτων, ἅτινα συναλλαττόμενα πρότερον ἀμοιβαίως ὡς χάριτες καὶ δωρεαί, καὶ διδόμενα κατὰ μέτρον τῆς εὐπορίας τῶν συναπτομένων εἰς γάμους φαμιλιῶν, κατήντησαν ἤδη ἀπὸ κοινῆς καταχρήσεως νὰ κανονισθῶσιν ὡς χρέη ἄφευκτα, καὶ νὰ ἀπαιτῶνται οὐ μόνον παρὰ τῶν πλουσίων καὶ εὐκαταστάτων, ἀλλὰ καὶ παρ' αὐτῶν τῶν ἀπόρων καὶ δυστυχῶν. Ἡ τοιαύτη καταχρηστικὴ καὶ ὀλεθρία συνήθεια, ὡς λοιμώδης τις νόσος, ἐφαπλουμένη ἀπὸ καιροῦ εἰς καιρόν, τοσαῦτα δεινὰ καὶ μεγάλα κακὰ καὶ δυσχερείας παρεισέφερε

καὶ ἐπροξένησεν εἰς ὅλον τὸ ἡμέτερον γένος, ὥστε ἐξ αἰτίας ταύτης καὶ οἰκίαι ἐπιφανεῖς εἰς ἔνδειαν καὶ ἀμηχανίαν πολλάκις κατέπεσον, καὶ ἄλλαι οὐκ εὐαρίθμητοι φθοραὶ καὶ πολυειδεῖς ζημίαι κατά τε ψυχὴν καὶ κατὰ σῶμα ἐπήγασαν, καὶ ἁπλῶς εἰπεῖν, ἐκ τούτου συνέβη, ὥστε αὐτὸ τὸ ἱερὸν καὶ εὐλογημένον τοῦ γάμου μυστήριον, οἱ νόμοι τῆς θείας οἰκονομίας οἱ πρὸς διάρκειαν τοῦ ἀνθρωπίνου γένους διορισθέντες, ἡ βάσις τῆς ἐντίμου τῶν ὀρθοδόξων συμπολιτεύσεως, ὁ γλυκὺς σύνδεσμος τοῦ κοινωνικοῦ βίου, δύσκολος κατέστη καὶ δυςσυγκρότητος· καθότι, δοθέντος τοῦ κακοῦ παραδείγματος τῶν ἁδρῶν καὶ πλουσίων πρὸς τοὺς νυμφίους καὶ γαμβροὺς τραχωμάτων καὶ προικοδοσιῶν, κοινὴ ἀνήφθη ἅμιλλα, ἢ μᾶλλον εἰπεῖν, λύσσα τῆς παραλαβῆς τῶν τραχωμάτων, καὶ ἕκαστος τῶν εἰς γάμον ἀποβλεπόντων νέων, εἴτε ὑπὸ πλεονεξίας καὶ φιλοκερδείας, εἴτε ὑπὸ ματαίας φιλοτιμίας κινούμενος, ἐπραγματεύετο τὴν ἑαυτοῦ μνήστευσιν, πωλούμενος πρὸς τὸν τὰ πλείω παρέχοντα πενθερὸν, διὰ νὰ πλουτήσῃ ὁ γενναῖος εἰς μίαν ἡμέραν μὲ τὸ τράχωμα, χωρὶς νὰ φροντίσῃ περὶ ἄλλης τινὸς κυβερνήσεως, καὶ χωρὶς νὰ στοχασθῇ ὁ ἀσυλλόγιστος ὅτι ὕστερον θέλει δυστυχεῖ, καὶ ἐλπίζοντας εἰς μίαν μόνην ἄστατον τύχην, ὅτι θέλει τὸν βοηθήσει, διὰ νὰ εὐτυχήσῃ καὶ αὐτὸς καὶ τὰ τέκνα του, ἀνέβαλλε τὸν καιρὸν τῆς ὑπανδρείας του, καὶ ἐκ τούτου περιέπιπτεν εἰς μεγάλους κινδύνους ψυχικοὺς καὶ σωματικούς. Ἀφοῦ δὲ τέλος πάντων ὑπανδρεύετο παραδιδόμενος εἰς ἁδρὰς καὶ πολυτελεῖς δαπάνας, διέμενεν ὁ δύστηνος ἐν ὑστέροις καὶ αὐτὸς ἀκυβέρνητος καὶ τὰ τέκνα του δι᾽ αὐτὸν, καὶ τὸ ὀσπήτιόν του περιέπιπτεν εἰς μυρία κακὰ, ὡσὰν ὁποῦ ἐπάνω εἰς τέτοιους πάγους μιᾶς ἀβεβαίου τύχης καὶ μιᾶς ὀλισθηρᾶς κενοδοξίας ἐθεμελίωνον τὰ ὑστερινά των οἱ τοῦ νῦν καιροῦ γαμβροί· ἐπειδὴ προσέχοντες εἰς μόνην τὴν τοῦ τραχώματος καὶ τῆς προικὸς παχύτητα, παρέβλεπον οἱ ἀνόητοι τῶν ἠθῶν τὴν ἀνομοιότητα, δὲν ἐρωτοῦσαν τὴν πολιτείαν τῆς κόρης, δὲν ἐξέταζον ἀνατροφὴν, δὲν ἐρευνοῦσαν ἦθος καὶ προαίρεσιν, ἀλλ᾽ ἐπραγματεύοντο χρήματα ἄσπρα, παρο-

ρῶντες καὶ ὅσα ἄλλα ἐδύναντο νὰ καταστήσωσι δυσάρμοστον καὶ ἀσυμβίβαστον τὴν μετὰ τῶν ὁμοζύγων αὐτῶν συμβίωσιν. Διότι προηγουμένης μὲ τόσην ἀκρισίαν καὶ ἀφροσύνην τῆς ἐκλογῆς, ἐλεεινὰ παρείποντο καὶ τὰ μετὰ τὴν συνάφειαν τῶν γάμων, καὶ παναθλία αὐτοῖς ἡ ζωὴ ἦν, καὶ μεμψιμοιρίαι καθημεριναὶ, πικραὶ μεταμέλειαι, λογομαχίαι, καὶ ἔριδες, καὶ πόλεμοι, καὶ ἀηδίαι, καὶ ἄλλα πολλὰ ῥητὰ καὶ ἄρρητα κακὰ ἐπηκολούθουν συχνάκις, ὡς ὀψώνια τῆς τῶν γονέων ἀκαίρου καὶ παραλόγου φιλοτιμίας. Πολλοὶ ἐκ τῶν εὐπορούντων καὶ εὐκαταστάτων θέλοντες νὰ ἐκδόσωσι τὰς ἰδίας θυγατέρας των εἰς ἄνδρας ἀναλόγου βαθμοῦ, ζῶντες οἱ ἄθλιοι ἠναγκάζοντο νὰ κληροδοτῶσι τὰς περιουσίας των, νὰ ἀπαλλοτριοῦνται καὶ νὰ ἀποξενώνωνται ἀπὸ τὰς οἰκίας των, καὶ μὲ τέτοιον τρόπον, ἄκοντες καὶ χωρὶς νὰ θέλωσι, νὰ ἀδικῶσι τὰ ἄρρενα τέκνα των καὶ νὰ τελευτῶσι καὶ αὐτοὶ δυστυχεῖς· οἱ ἐνδεέστεροι καὶ πτωχότεροι, μὴ ἔχοντες τῶν γαμβρῶν τὰ ὤνητρα, κατεθλίβοντο, βλέποντες μὲ ἀπορίαν καὶ στεναγμόν τους παρερχομένην τὴν ἡλικίαν τῶν θυγατέρων των καὶ αὐτὰς μαραινομένας καὶ ἐκπιπτούσας· τοιαῦτα καὶ ἄλλα πολλὰ ἀηδῆ καὶ παγχάλεπα, καὶ τῇ ψυχῇ καὶ τῷ σώματι βλαπτικὰ συνέβαινον εἰς τὸ ἡμέτερον γένος ἐκ τῆς κακῆς αὐτῶν τῶν τραχωμάτων συνηθείας, καὶ παρεσκεύαζον ἐπαχθῆ καὶ ἀνήσυχον ὅλων τῶν λαϊκῶν τὴν ζωήν. Διὸ καὶ παρατηρηθείσης πολλάκις τῆς ἀπὸ τούτου προκυπτούσης πολυειδοῦς δυστυχίας καὶ ἀνηκέστου εἰς τοὺς ἀνθρώπους βλάβης, σπουδαῖοι κατὰ καιροὺς προὐτέθησαν λόγοι ἐπὶ τῶν ἀοιδίμων ἡμῶν προκατόχων, καὶ ὅροι καὶ κεφάλαια συνεγράφησαν, καὶ τύποις ἐξεδόθησαν, πρὸς θεραπείαν καὶ καθορισμὸν τῆς διαδοθείσης αὐτῆς τῷ ἡμετέρῳ γένει φθοροποιᾶς λύμης τῶν τραχωμάτων, ἅπαξ καὶ δὶς καὶ σχεδὸν κατὰ πᾶσαν ἐκκλησιαστικὴν ἐποχὴν σκέψεις ἐγένοντο σοβαραὶ καὶ γενναῖαι παρὰ τῶν ἐπιλεκτοτέρων τοῦ γένους μελῶν, ἀλλ᾽οὐκ οἴδαμεν ὅπως τὰ μὲν συντεθέντα περὶ τούτου γράμματα παρημελήθησαν, τὸ δὲ κακὸν, συμπαρατεινόμενον τῷ καιρῷ καὶ αὐξανόμενον, ἔφθασεν ἤδη καὶ εἰς αὐτὴν

τὴν δυστυχῆ τοῦ χρόνου ἐσχατιάν, καθ' ἣν τὸ γένος ἡμῶν, ἐκ τῶν καταλαβουσῶν αὐτὸ ἀγχιστρόφων τοῦ καιροῦ περιστάσεων, ἀθλίως δυστυχῆσαν καὶ πτωχεῦσαν, εἴπερ ποτὲ ἄλλοτε, βαθυτέρας ἤδη καὶ συντονωτέρας δεῖται σκέψεως, πρὸς ἀναίρεσιν τῶν ὀλεθρίων τραχωμάτων, καὶ ἀναστολὴν καὶ διόρθωσιν τῆς τοιαύτης τῶν προικοδοτημάτων καταχρήσεως· μάλιστα δὲ οὐ μόνον ὁ τῆς φρονήσεως λόγος, ἀλλὰ καὶ αὐτὴ τέως ἡ ἀνάγκη ὑπαγορεύει νῦν τὸν περιορισμὸν καὶ τὴν χαλίνωσιν πάσης περιττῆς πολυτελείας, καθότι πολλὰ φανερὸν καὶ ἀποδεδειγμένον εἶναι εἰς κάθε ἔμπειρον καὶ γνωστικὸν ὅτι ὅσον περιστέλλονται αἱ ἐπουσιώδεις δαπάναι καὶ τὰ περιττὰ ἔξοδα, καὶ ἐλαττοῦνται καὶ ὀλιγοστεύουσιν αἱ χρεῖαι, τοσούτῳ μᾶλλον ῥάδια καὶ εὐκολοοικονόμητα γίνονται τὰ ἀναγκαῖα καὶ ἀναπόφυκτα δαπανήματα, καὶ ἑπομένως ἀλυπότερος καὶ εὐκολώτερος καθίσταται ὁ βίος, αὐτὴ δηλαδὴ ἡ ζωὴ τῶν ἀνθρώπων. Ταῦτα τοίνυν μετὰ συνέσεως καὶ φρονήσεως διανοηθέντες, καὶ πολυειδῶς βασανίσαντες ἐκ πολλοῦ τοῦ χρόνου οἱ ἐνταῦθα ἐν βασιλευούσῃ τὰ πρῶτα φέροντες ἀφ' ἑκάστου συστήματος, οἱ προκριτώτεροι ἑκάστου ρουφετίου* ὁμογενεῖς, αὐτόχθονές τε καὶ παρεπίδημοι, καὶ καλῶς κατιδόντες τὸ ἄπορον καὶ ἀμήχανον τοῦ γένους ἡμῶν, θεραπείαν πανταχόθεν ἐπιζητοῦντος, καὶ συναλγοῦντες ἐπὶ τῇ φθοροποιᾷ λύμῃ ταύτῃ, καὶ μετ' ἐπιστασίας οὐ τῆς τυχούσης αὐτοῦ συνδιασκεψάμενοι, προσέφερον ἡμῖν κοινὴν ἔγγραφον παρὰ πάντων ἀναφοράν, προβάλλοντες καὶ αἰτούμενοι παρὰ τῆς ἐκκλησιαστικῆς προνοίας ὁμοφώνως τὴν παντελῆ ἀναίρεσιν, καὶ ἐξ ὁλοκλήρου κατάργησιν τῶν κακῇ συνηθείᾳ ὀλεθρίως ἐπικρατησάντων καὶ διδομένων τραχωμάτων, καὶ τὴν διαρρύθμισιν καὶ περιορισμὸν τῶν περὶ τοὺς γάμους παρὰ τῶν γονέων ταῖς θυγατράσιν ἐπιδιδομένων προικοδοσιῶν καὶ λοιπῶν κοσμημάτων, καὶ γενικῶς ἐδεήθησαν ἀπὸ κοινῆς γνώμης, ἵνα ὁροθετηθῶσι κανόνες περὶ πάντων ἁπλῶς τῶν γαμικῶν συναλλαγμάτων καὶ προικῶν, ἀνα·

* δηλ. συντεχνίας.

χαιτίζοντες μὲν ὅλα τὰ περιττὰ καὶ πάσας τὰς ἐπιζημίους ὑπερβολάς, ἀποκαθιστῶντες δὲ τὸ σεμνοπρεπὲς περὶ ταῦτα καὶ μέτριον, καὶ τὸ καθῆκον τῇ χριστιανικῇ ἡμῶν διαγωγῇ καὶ τῷ ραγιαδικῷ* χαρακτῆρι καὶ πολιτεύματι. Ἡμεῖς οὖν οἱ τὴν γενικὴν κηδεμονίαν τοῦ ὀρθοδόξου πληρώματος θεόθεν ἐμπεπιστευμένοι, ἐναγκαλισάμενοι μετὰ ζήλου τὴν πρόθεσιν ταύτην, ὡς ἀναμφιλέκτως τοῦ κοινωνικοῦ βίου καὶ τῆς χριστιανικῆς σεμνοπρεπείας καὶ εὐταξίας συστατικήν, καὶ ὡς πρὸς κοινὴν ὠφέλειαν τῶν πνευματικῶν μας τέκνων ἀφορῶσαν, ὑπὲρ ὧν χρέος ἡγούμεθα κυριώτατον ἐπαγρυπνεῖν καὶ διενεργεῖν ἀείποτε κατὰ δύναμιν τὰ συμφέροντα καὶ καλά, σκεψάμενοι μετὰ τῆς περὶ ἡμᾶς Ἱερᾶς ἀδελφότητος, ἀνεθέμεθα τὴν φροντίδα τῆς τῶν ἀναγκαίων κεφαλαίων διαμορφώσεως καὶ διαιτήσεως ἐμπείροις τε καὶ λόγου ἀξίοις, σπουδαίοις καὶ φρονίμοις ἀνδράσιν, ἔκ τε τοῦ συστήματος τῶν προὐχόντων τοῦ ἡμετέρου γένους καὶ τῆς ἐντίμου χορείας τῶν ζηλωτῶν τοῦ Κοινοῦ Ἐπιτρόπων καὶ ἐκ τῶν προκρίτων τῶν εὐλογημένων ρουφετίων, οἵτινες συνελθόντες ἐπὶ τούτῳ εἰς ἓν, καὶ κατ' ἐκλογὴν διορισθέντες ἐξ αὐτῶν δέκα διαιτηταί, οἱ ἐμπειρότεροι καὶ νουνεχέστεροι καὶ λόγου ἄξιοι, μετὰ πολλῆς ἐπεξεργασίας συνέθεντο Ὅρους καὶ Κανόνας, διατάττοντας σφοδρῶς τὴν ὁλοσχερῆ κατάργησιν τῶν τραχωμάτων, καὶ τὸν τρόπον τῆς εἰς τὸ ἑξῆς διατάξεως τῶν γινομένων προικοδοσιῶν, καὶ ἄλλων ἀναγκαίων πρὸς τὴν ἐξάλειψιν τῶν προλαβουσῶν καταχρήσεων, καὶ σύστασιν τῆς εἰς τὸ ἑξῆς ἀρίστης εὐταξίας, τοὺς ὁποίους ὡς πᾶσιν ἀρεστοὺς καὶ εὐαποδέκτους ἐγγράφως συνταξάμενοι, καὶ ὑπογράψαντες, ἀνήνεγκαν τῇ συνοδικῇ ἐπικρίσει, δι' ἐνυπογράφου αὐτῶν τε καὶ πάντων τῶν ἐν τῇ βασιλευούσῃ προκρίτων ἀναφορᾶς, ἐξαιτούμενοι τὴν διὰ συνοδικοῦ σιγιλλιώδους γράμματος ἐπικύρωσιν αὐτῶν μετὰ σφοδρῶν ἐπιτιμίων κατὰ τῶν ὅπως ποτε παραβαινόνων, καὶ μὴ φυλαττόντων τὰ κοινῶς καὶ συνοδικῶς δεδογμένα. Καὶ δὴ ἐπεξελθόντες καλῶς τὰ

* τῷ τῆς ὑπηκοότητος δηλδ. πρὸς τὴν θεόθεν ἐφ' ἡμᾶς τεταγμένην ἀρχήν.

γραφέντα, ἐπῃνέσαμεν τὸν φιλογενῆ σκοπὸν αὐτῶν, καὶ ἀπεδεξάμεθα εὐχαρίστως τὸ αἴτημα ὡς κοινωφελὲς ἀγαθόν. Ἐφ' ᾧ καὶ ψήφῳ κοινῇ καὶ συνοδικῇ τοῦ τε μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου τῶν Ἱεροσολύμων καὶ πάσης Παλαιστίνης κυρίου Ἀθανασίου, καὶ τῆς περὶ ἡμᾶς ἐν τῇ βασιλευούσῃ ἐνδημούσης ἱερᾶς Ἀδελφότητος καὶ ἁγίας Συνόδου, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν καὶ περιποθήτων ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ τῇ κοινῇ τοῦ γένους συναινέσει τὰ κοινῶς στερχθέντα καὶ ἀποφανθέντα, ἔδοξε καὶ κανονικῶς νὰ ἐπικυρώσωμεν, καὶ διὰ συνοδικοῦ τύπου ἀνεξάλειπτα εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα νὰ τὰ παραδώσωμεν, καὶ τελευταῖον διὰ τῆς πνευματικῆς μαχαίρας καὶ τοῦ καυστηρίου τῶν ἐπιτιμίων, ὁποῦ εἶναι τὰ τελευταῖα τῶν ἰατρῶν εἰς τὰ σωματικὰ πάθη καταφύγια, νὰ θεραπεύσωμεν τὸ κακόν· περὶ ὧν καὶ ἀποφαινόμενοι θεσπίζομεν κοινῇ καὶ συνοδικῇ ἀποφάσει νὰ διαφυλαχθῶσιν ἀπαράτρεπτα τὰ ἐφεξῆς, ἐν ῥητοῖς κεφαλαίοις δέκα καὶ τρισὶν ὁροθετηθέντα:

Α'. Νὰ καταργηθῇ, καὶ νὰ σηκωθῇ διόλου τὸ τράχωμα, καὶ μέχρι τῆς λέξεως αὐτῆς, καὶ μήτε παρὰ τῶν γονέων τῆς κόρης, μήτε παρὰ τῶν συγγενῶν, ἢ ξένων, μήτε φανερῶς καὶ ἐν προικοσυμφώνῳ, μήτε κρυφίως πρὸ τοῦ γάμου, μήτε μετὰ τὸν γάμον νὰ δίδωνται εἰς μετρητὰ ἄσπρα τὰ λεγόμενα τραχώματα, ἢ εἰς ὕλην οἱανδήποτε ἐπὶ λόγῳ τραχώματος, καὶ μήτε ὁ γαμβρὸς νὰ ἀπαιτῇ ἢ νὰ λαμβάνῃ τοῦ λοιποῦ χρήματα ἕνεκεν τραχώματος, μήτε ὁ προικοδοτῶν νὰ δίδῃ, ὡσὰν ὁποῦ τὸ μυστήριον τοῦ γάμου μήτε πωλεῖται, μήτε ἀγοράζεται.

Β'. Ἡ προῖκα, ὡς ἐκ παλαιοῦ τοῦ χρόνου νενομοθετημένη, νὰ εἶναι συγκεχωρημένη καὶ εἰς τὸν διδόντα, καὶ εἰς τὸν λαμβάνοντα, πλὴν νὰ εἶναι προσδιωρισμένη εἰς ἓξ βαθμούς· καὶ τῆς μὲν Α' τάξεως νὰ ἐξαπλοῦται ἕως δέκα χιλιάδας γρόσια καὶ ὄχι πλέον· τῆς δὲ Β' ἓξ χιλιάδες· τῆς δὲ Γ' ἕως τέσσαρας χιλιάδας· τῆς δὲ Δ' ἕως τρεῖς χιλιάδας· τῆς δὲ Ε' μέχρι τῶν δύο χιλιάδων· τῆς δὲ ϛ' τάξεως μέχρι τῶν χιλίων γροσίων. Οὐδέποτε δὲ κτήματα

κινητά, ἢ ἀκίνητα, ὀσπήτιον δηλαδή, ὀνδᾶς ἢ ἐργαστήριον ἐπὶ λόγῳ προικὸς νὰ μὴ δίδωνται, ὡσαύτως οὐδὲ μέρος, οὐδὲ ὅλον ἕνεκεν τῆς τιμῆς τῆς προικὸς νὰ μὴ δίδωνται εἰς μετρητά, ὡσὰν ὁποῦ συγχίζει τὴν ἀπαγόρευσιν τοῦ τραχώματος, εἶναι ἀπηγορευμένον καὶ ἐμποδισμένον ἐν τῇ κατασκευῇ τῆς προικὸς, ὁποίας ἂν εἴη τάξεως) ψαλίδι νὰ μὴν ἐμβαίνῃ εἰς σάλι λαχοῦρι διὰ ροῦχον, συναριθμούμενον μὲ τὴν προῖκα.

Γ΄. Εἰς τοὺς γινομένους ἀρραβῶνας νὰ ἐπικρατήσωσι τὰ ἐφεξῆς· ἤτοι τὰ διδόμενα ἀμοιβαίως δακτυλίδια ἐξ ἑκατέρων τῶν μερῶν, νὰ ξετιμῶνται ἀπὸ γρόσια ἑκατὸν, ἕως γρόσια χίλια, κατὰ ἀναλογίαν τῶν ἐν τῷ Β΄ κεφαλαίῳ βαθμῶν τῆς προικός· ἡ κακῶς συνειθισμένη προσφορὰ τῶν λεγομένων μποχτζαλικίων, τσεβρέδων, πατίστων εἶναι ἐμποδισμένη διόλου· ὡσαύτως ἀπαγορεύονται νὰ ἐκλείψωσιν ἐξ ὁλοκλήρου τόσον εἰς τοὺς ἀρραβῶνας, ὅσον καὶ εἰς τοὺς γάμους τὰ κουφέτα καὶ κόντιτα μὲ πανέρια, καὶ χαρτία, καὶ τὰ ὑπερήφανα καὶ πολυτελῆ συμπόσια καὶ τραπέζια, καὶ τὰ παιγνίδια, καὶ οἱ χοροὶ, καὶ ἁπλῶς κάθε πολυέξοδος κατάχρησις, ὡς ἀσύμφορα τῷ γένει ἡμῶν καὶ δυστυχίας πρόξενα. Ὁ δὲ ἀρραβὼν νὰ ἐκτείνεται ἕως μῆνας ἕξ, ἄνευ μέντοι εὐλόγου ἐμποδίου, νὰ ἐκτείνεται περισσότερον μὲ προσδιορισμὸν καὶ ἄλλης προθεσμίας, ἧς μετὰ τὴν τελείωσιν, νὰ ἐκτελῆται ὁ γάμος.

Δ΄. Ὁ γαμβρὸς νὰ εἶναι ἐλεύθερος ἀπὸ κάθε βάρος κακοσυνειθισμένον, ὁποῦ ὑποχρεοῦται νὰ ἐκτελῇ ἐξ αἰτίας τοῦ τραχώματος, καὶ νὰ μὴν ἔχῃ ἄδειαν νὰ στέλλῃ εἰς τὴν ἀρραβωνιαστικήν του δῶρα· οἷον ἁγιοβασιλιάτικα καὶ ἄλλα παντοίου εἴδους καὶ ὕλης, ἀλλὰ ἀφαιρουμένων ὡς εἴρηται, εἰς τὰς ἡμέρας τῶν γάμων καὶ ἀρραβώνων τῶν περιττῶν καὶ ματαίων ἐξόδων καὶ τῆς διανομῆς τῶν μποχτζαλικίων καὶ τζεβρέδων, καὶ ὅλων τῶν ζαχαρικῶν καὶ τῆς πληθύος τῶν διὰ καλεσμάτων φίλων καὶ ξένων, νὰ ἐκτελῆται το μυστήριον τοῦ γάμου θεοφιλῶς, καὶ μετὰ πάσης τῆς ὀφειλομένης εὐταξίας καὶ σεμνότητος· ὁμοίως νὰ εἶναι ἐλεύθερος ὁ γαμβρὸς ἀπὸ τὰ ἔξοδα τοῦ λουτροῦ, νὰ μὴν ἔχῃ ἄδειαν νὰ ἀγο-

ράζη καὶ νὰ στέλλῃ τρᾶν, μήτε νὰ δίδῃ ἄσπρα ἐπὶ λόγῳ τρᾶς, μόνον δὲ εἰς τὴν νύμφην νὰ εἶναι συγκεχωρημένον νὰ φορῇ ἐν τῇ ἡμέρᾳ τοῦ γάμου δέκα δράμια τρᾶν καὶ οὐχὶ πλέον· ὁ δὲ κουμπάρος εἶναι ὑπόχρεως εἰς τὴν ἀγορὰν τῶν κηρίων μιᾶς ὀκᾶς μόνον, καὶ εἰς τὰ ἔξοδα τῶν ἱερέων, καὶ δὲν ἔχει ἄδειαν νὰ φέρῃ λαμπάδας μεγάλας κεκοσμημένας μὲ τρᾶς, καὶ τζεβρέδες, μήτε στέφανα πολυτελῆ, ἀλλ' ἁπλᾶ· καὶ τῆς μὲν Α΄ τάξεως ὀκᾶν κηρίου μίαν, καὶ ἀναλόγως μικροτέρας, μέχρι τῆς ἕκτης τάξεως.

Ε΄. Ἐκρίθη εὔλογον καὶ τίμιον, ὁ γαμβρὸς νὰ μὴν πηγαίνῃ συνεχῶς εἰς τὸ ὀσπήτιον τῆς ἀρραβωνιαστικῆς καὶ νὰ διανυκτερεύῃ, ἀλλὰ μόνον εἰς τὰς ἐπισήμους ἑορτὰς καὶ τὰς ἡμέρας τῶν χαιρετισμῶν νὰ πηγαίνῃ, καὶ νὰ ἀπέρχηται ἀναχωρῶν ἐκεῖθεν.

Ϛ΄. Ἡ ἐν τοῖς προικοσυμφώνοις καταγραφομένη προῖκα νὰ εἶναι διατετιμημένη, ἡ τιμή της ξεκομμένη, καὶ ἡ ἀδιατίμητος, ἡ μὴ ξεκομμένη δηλαδὴ νὰ καταργηθῇ.

Ζ΄. Εἰς κάθε ἐνορίαν Πόλεως, Γαλατᾶ καὶ Καταστένου, νὰ διορισθῶσι δύο τῶν προκριτωτέρων αὐτῆς, ὁμοίως καὶ ὁ πρῶτος προεστὼς τῆς ἐν τῇ ἐνορίᾳ ἐκείνῃ ἐκκλησίας, ἐκτιμηταὶ τῆς προικὸς, ὥστε νὰ ἐκτιμῶσι τὰς προῖκας διὰ νὰ μὴν ὑπερβαίνωσι τοὺς προσδιορισμοὺς τῶν τάξεων· οἱ ὁποῖοι ὀφείλουσι νὰ καταγράφωσι τὰς τιμὰς τῶν προικιμαίων πραγμάτων, καὶ νὰ ὑπογράφωσιν ὁμοῦ· ὅ, τι δὲ ἐθεώρησαν καὶ διετιμήσαντο ἑκάστης τάξεως τῆς ἐνορίας αὐτῶν τὴν προικοδοσίαν, τοῦτο νὰ τὸ ἀναγγέλλωσιν εἰς τὴν Μεγάλην Ἐκκλησίαν διὰ τῶν συνήθων μαρτυρικῶν τεσκερέδων, ζητητικῶν τῆς ἀδείας τοῦ στεφανώματος, οἵτινες θέλουν εἶναι ὑπογεγραμμένοι ἀπὸ τὸν πρῶτον προεστῶτα τῆς ἐκκλησίας, τὸν καὶ ἐκτιμητήν.

Η΄. Ἡ διάκρισις τῆς καταστάσεως τῶν ἓξ τάξεων νὰ ἐξετάζηται καὶ νὰ γίνηται ἀπὸ τοὺς προκρίτους ἑκάστου συστήματος καὶ ἐσναφίου, δηλαδὴ ὅταν προτεθῇ ἐκτίμησις προικοδοσίας νὰ εἶναι ὑπόχρεοι οἱ προικοδοτοῦντες γονεῖς, καὶ ἄλλοι νὰ ἐμφανίζωσιν εἰς τοὺς ἐκτιμητὰς μαρτυρικὸν τεσκερὲν ὑπογεγραμμένον πα-

ρὰ τῶν εἰρημένων πρώτων τοῦ συστήματος καὶ ἐσναφίου των. Οἱ δὲ δίδοντες τὴν μαρτυρίαν τῆς ὁποίας ἔλαχεν ἕκαστος τάξεως προκριτότεροι τῶν συστημάτων καὶ μαγίστορες τῶν ἐσναφίων νὰ εἶναι ὑπόχρεοι νὰ δίδωσι καθαρὰν καὶ ἄδολον μαρτυρίαν ἑκάστης τάξεως ἐν βάρει τῆς συνειδήσεώς των, καὶ ἐν βάρει τῶν ἐκφωνηθεισῶν ἀρῶν.

Θ΄. Κάθε προικοσύμφωνον, τὸ ὁποῖον δὲν ἔχει τὴν μαρτυρίαν τῶν ἐκτιμητῶν, καὶ τὴν μαρτυρίαν τοῦ πρώτου προεστῶτος καὶ συνεκτιμητοῦ, δὲν θέλει ἔχει τὸ κῦρος.

Ι΄. Νὰ συνταχθῇ ἐπίτηδες κῶδιξ γενικὸς, εἰς τὸν ὁποῖον νὰ καταστρώννωνται κατάστιχα τῶν διατιμήσεων, παραδιδόμενα παρὰ τῶν ἐκτιμητῶν· ὁ δὲ κῶδιξ οὗτος νὰ ἐμπιστευθῇ εἰς τοὺς κατὰ καιρὸν ἐφόρους καὶ ἐπιτρόπους τῶν Νοσοκομείων τοῦ Γένους, οἱ ὁποῖοι νὰ εἶναι ὑπόχρεοι διὰ νὰ ἐπαγρυπνῶσιν εἰς τὴν διατήρησιν τῆς διατάξεως αὐτῆς, ἐπεξεργαζόμενοι τὰς πράξεις τῶν ἐκτιμητῶν καὶ ἀναγγέλλοντες εἰς τὴν Ἐκκλησίαν καὶ εἰς τὸ γένος τὰς ἐνδεχομένας καταχρήσεις, διὰ νὰ γίνηται ἡ πρέπουσα συστολὴ καὶ παιδεία κατὰ τὴν χρείαν· νὰ ἐμφανίζηται ἐν καιρῷ ὁ γενικὸς οὗτος κῶδιξ εἰς τὴν Ἐκκλησίαν καὶ εἰς τὸ Γένος διὰ νὰ γίνηται γνωστὴ πρὸς πάντας ἡ διατήρησις τῆς εὐταξίας αὐτῆς.

ΙΑ΄. Οἱ ἐκτιμηταὶ λαϊκοὶ καὶ ἱερωμένοι δὲν ἔχουσιν ἄδειαν νὰ ζητῶσι διὰ τοὺς κόπους των ἀπὸ τοὺς προικοδοτοῦντας οὐδὲν, εἰ μὴ μόνον ἐπ' ὀνόματι τῶν Νοσοκομείων ἓν ἄσπρον λιανὸν εἰς τὸ γρόσι, τὰ ὁποῖα ὁμοῦ μὲ τὴν ἐμφανισμένην καταγραφὴν τῶν ἐκτιμήσεων νὰ παραδίδωσιν εἰς χεῖρας τῶν ἐπιτρόπων τῶν Νοσοκομείων χάριν βοηθείας αὐτῶν τῶν Νοσοκομείων.

ΙΒ΄. Ὅσοι δὲ ἔφθασαν νὰ εἶναι προηρραβωνισμένοι, καὶ οὗτοι ὀφείλουσι νὰ ὑπόκεινται εἰς τοὺς ἰδίους κανόνας καὶ διαταγὰς τοῦ παρόντος κοινοῦ καὶ συνοδικοῦ σιγιλλιώδους γράμματος.

ΙΓ΄. Καὶ τελευταῖον, οἱ ἐκτεθέντες ὅροι καὶ κανόνες ἔχωσι τὸ κῦρος καὶ τὴν ἰσχὺν ὡς νομικαὶ διαταγαὶ νὰ ἐνεργῶνται ἀπὸ τῆς σήμερον, καθ' ἣν ἡμέραν κοινῇ ψήφῳ ἐξετέθησαν, δηλαδὴ ἀπὸ

τοῦ χιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἑβδόμου σωτηρίου ἔτους ἐν μηνὶ ὀκτωβρίῳ. Ταῦτα τοιγαροῦν τὰ ἐν δέκα καὶ τρισὶ κεφαλαίοις περὶ τῶν γαμικῶν συναλλαγμάτων ἐκτεθέντα, καὶ δημοσίᾳ γνώμῃ καὶ ἀρεσκείᾳ κοινῇ ὁροθετηθέντα, ὡς ἀνατρεπτικὰ τῶν ἐπιβλαβῶν καταχρήσεων, καὶ ἀδιστάκτως συντείνοντα τῷ κοινωνικῷ βίῳ καὶ πολιτεύματι, οὐ μὴν δὲ ἀλλὰ καὶ ὡς ἐξ ἀνάγκης ἀπαιτούμενα τῇ ἀπόρῳ τοῦ γένους ἡμῶν καταστάσει, ἐπικυροῦμεν ἐκκλησιαστικῶς, καὶ θεσπίζομεν ἵνα μένωσιν ἀπαράτρεπτα καὶ ἀπαρεγχείρητα ἀπὸ τοῦ νῦν καὶ εἰς ἅπαντα τὸν ἐφεξῆς χρόνον ἐν τῇ βασιλευούσῃ τῇδε τῶν πόλεων. Ὁς δ' ἂν τῶν ἁπάντων καὶ ὁποῖος τῶν ὁμογενῶν χριστιανῶν παραβὰς τούσδε τοὺς ὅρους δράσῃ αὐτογνωμονῶν τὰ συνήθη, καὶ παρὰ τὰ νενομοθετημένα ἀπαυθαδιάσῃ, ἢ διασεῖσαι καὶ ἀνατρέψαι θελήσῃ αὐτά, ἀντιβαίνων τοῖς κειμένοις, ὁ τοιοῦτος ὁποίας ἂν εἴη τάξεως καὶ βαθμοῦ, εἴτε τῶν ἀπὸ τοῦ ἱεροῦ βήματος, εἴτε τῶν ἔξω τοῦ βήματος, ἐπικατάρατος εἴη παρὰ τῆς μακαρίας καὶ παναγίας Τριάδος, τοῦ ἑνὸς τῇ φύσει Θεοῦ Κυρίου Παντοκράτορος, καὶ ἀφωρισμένος τῆς τοῦ Χριστοῦ ποίμνης, ἀπηλλοτριωμένος πάσης θείας χάριτος καὶ εὐλογίας, ξένος, γυμνὸς καὶ ἀμέτοχος τῶν ἐπὶ γῆς ἀγαθῶν τοῦ Ὑψίστου· οὐ μὴν συναγάγῃ ἀμητόν, οὐδὲ σπέρμα σταχύων ἀμύσσῃ· ἀντὶ δὲ τούτων ἀναβήσεται ἄκανθα, οὐδὲ δένδρον, οὐδὲ χόρτος ἐν τῷ κήπῳ αὐτοῦ, ἀλλ' ἔσται ὃν τρόπον ἔρημος ἐγκαταλελειμμένη, τὰ δὲ ἔργα τῶν χειρῶν αὐτοῦ ὡς χνοῦς ἀχύρων λικμώντων ἀπέναντι ἀνέμου καὶ ὡς κονιορτὸς τροχοῦ διαφερόμενος εἰς ἀέρα· πᾶσα ἡ ἐμπορεία αὐτοῦ εἰς προνομὴν καὶ ἅρπαγμα, καὶ φάγονται καὶ πίονται υἱοὶ ἀλλοτρίων, ἐφ' οἷς ἐμόχθησεν. (Ἕπονται οὐχὶ πλέον αἱ συνήθεις, ἀλλὰ φρικωδέσταται ἀραὶ κατὰ τῶν παραβατῶν). Ἐξ ἐναντίας δέ, ὁ φυλάξας ἀπαράβατα καὶ ἀδιάσειστα τὰ κοινῇ ψήφῳ νενομοθετημένα, καὶ τῷ κανόνι τούτῳ συστοιχήσας εὐλογημένος εἴη παρὰ τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ ζωοποιοῦ, καὶ ἀδιαιρέτου Τριάδος· εὐφροσύνη καὶ ἀγαλλίαμα ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐν πᾶσιν ἀγαθοῖς ἡ ψυχὴ αὐτοῦ, καὶ τὰ ὀλιγοστὰ αὐτῷ χιλιοστὰ γένοιντο,

καὶ τὰ μικρὰ μέγιστα· εὐοδωθήτωσαν αἱ ὁδοὶ αὐτοῦ, καὶ δοξασθήτω ἐνώπιον Κυρίου, σπέρμα μακρόβιον δῴη αὐτῷ Κύριος καὶ ὄνομα αἰώνιον, καὶ τὰ αἰτήματα τῆς καρδίας αὐτοῦ προσευχομένου δεκτὰ παρὰ τῷ Θεῷ, καὶ προστεθείη χρόνος ἐπὶ χρόνον ἐν τῇ ζωῇ αὐτοῦ, καὶ τὰ ἔγγονα αὐτοῦ ἐν μέσῳ τῶν λαῶν, καὶ πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον παρὰ Θεοῦ, ἔχων καὶ τὰς εὐχὰς καὶ εὐλογίας πάντων τῶν ἀπ' αἰῶνος ἁγίων τῆς Ἐκκλησίας Πατέρων, καὶ ἡμῶν αὐτῶν, καὶ τῶν πατέρων αὐτοῦ. Ἐκτὸς δὲ τῶν ἐκφωνηθεισῶν φρικωδεστάτων ἀρῶν, ἐκδοθήσεται κατὰ κοινὴν παράκλησιν ἡμῶν καὶ ὑψηλὸς βασιλικὸς ὁρισμὸς, καὶ προσκυνητὸν φερμάνι μὲ σφοδρὰν ἐπιταγὴν καὶ ἀπόφασιν νὰ παιδεύωνται καὶ πολιτικῶς ὅσοι φωραθῶσι παραβάται τῶν ἐκκλησιαστικῶν νομοθεσιῶν. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, ὅπερ τύποις ἐκδοθὲν καὶ ἐν τῷ ἱερῷ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κώδικι καταστρωθὲν, διεδόθη παντὶ τῷ ὀρθοδόξῳ ἐν βασιλευούσῃ πληρώματι, πρὸς εἰδοποίησιν καὶ γνῶσιν τῶν ἐν αὐτῷ ἱερῶν διαταγῶν, καὶ ἀκριβῆ διαφύλαξιν αὐτῶν.

Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ὀκτακοσιοστῷ εἰκοστῷ ἑβδόμῳ. Κατὰ μῆνα ὀκτώβριον. Ἐπινεμήσεως Α'.

† Ἀγαθάγγελος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης ἀποφαίνεται.

† Ὁ Ἱεροσολύμων Ἀθανάσιος ἀποφαίνεται.

† ὁ Ἐφέσου Μακάριος· — † ὁ Ἡρακλείας Ἰγνάτιος· — † ὁ Κυζίκου Ματθαῖος· — † ὁ Νικομηδείας Παναρετος· — † ὁ Νικαίας Ἰωσήφ· — † ὁ Χαλκηδόνος Ζαχαρίας· — † ὁ Δέρκων Νικηφόρος· — † ὁ Νέων Πατρῶν Δοσίθεος· — † ὁ Σωζουπόλεως Κωνστάντιος.

ΡΙ΄.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΑΘΑΓΓΕΛΟΥ

Προσημείωσις. Ἀνατυποῦται ἐκ τοῦ εἰς σελίδας 24 φυλλαδίου, τοῦ φέροντος τίτλον «Διαταγαὶ γάμων καὶ προικοδοσιῶν Ὅροι καὶ Κανόνες. Ἐν τῷ τοῦ Πατριαρχείου τῆς Κωνσταντινουπόλεως Τυπογραφείῳ ͵αωκζ΄» —Μετὰ τὰς ὁροθεσίας ἕπεται ἡ πρὸς τοὺς Ἐπιτρόπους τῶν Νοσοκομείων Ἀπόδειξις, ἣν εἰς συμπλήρωσιν ἐκδιδόαμεν ὧδε. Χαρακτηριστικωτάτη δὲ τῶν ἠθῶν τῆς τότ᾽ἐποχῇ κεῖται ἐν τῷ φυλλαδίῳ τούτῳ ἡ ἀναφορὰ τῶν συντεχνιῶν περὶ τῶν κακῶν, ὧν ἐγένετο τῇ κοινωνίᾳ παραίτιος ἡ περὶ τὰς προικοδοσίας ἀμετρία.

Ἀπόδειξις πατριαρχικὴ καὶ συνοδικὴ πρὸς τοὺς ἐφόρους τῶν κοινῶν Νοσοκομείων.

Ἀγαθάγγελος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς πατριάρχης.

Τιμιώτατοι ἔφοροι καὶ ἐπιστάται τῶν κοινῶν τοῦ ἡμετέρου Γένους Νοσοκομείων, ἡμέτεροι κατὰ πνεῦμα υἱοὶ ἀγαπητοὶ καὶ περιπόθητοι· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ, παρ᾽ ἡμῶν δὲ εὐχή, εὐλογία καὶ συγχώρησις. Καταλυθείσης σὺν Θεῷ τῆς, ὡς μὴ ὤφελε, παρεισφθαρείσης εἰς τὸ ἡμέτερον Γένος ὀλεθρίου τῶν τραχωμάτων συνηθείας, καὶ διαταχθείσης παμψηφεὶ τῆς νέας ἐν τοῖς γαμικοῖς συναλλάγμασιν ὁροθεσίας τῶν προικοδοσιῶν, καὶ τῆς ἀνηκούσης τῷ εὐσεβεῖ πολιτεύματι εὐσχημοσύνης καὶ εὐταξίας ἐν κεφαλαίοις ῥητοῖς ὁρισθείσης, καθὼς διὰ τοῦ ἐπίτηδες ἐκδοθέντος πατριαρχικοῦ καὶ συνοδικοῦ σιγιλλιώδους γράμματος διασεσάλπισται ἐπ᾽ ἐκκλησιῶν, καὶ τοῖς πᾶσι γνωστὸν κατέστη· ἐπειδὴ τὸ Ζ΄ τῆς ὁροθεσίας αὐτῆς κεφάλαιον ἀνακαλεῖ ἐπισήμως τὴν ἄγρυπνον ἐπιστασίαν καὶ ἐφορίαν τῶν τοῦ Γένους Νοσοκομείων, ἐπὶ ἀπαρατρέπτῳ φυλακῇ καὶ πραγματικῇ ἐνεργείᾳ τῶν κοινῇ ἐγκριθέντων καὶ καταρτισθέντων συνοδικῶς, διὰ τοῦτο ἡ με-

τριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, πρὸς τὸν θεοφιλῆ τοῦτον σκοπὸν ἀπευθυνόμενοι, καὶ τὸν περὶ τὰ θεάρεστα καὶ κοινωφελῆ τῆς ὑμῶν τιμιότητος ἐπιγινώσκοντες ζῆλον, τὸν μάλιστα καὶ κατ' ἐξοχὴν περὶ τὴν εὐρυθμίαν καὶ βελτίωσιν τῶν τοῦ Γένους Νοσοκομείων ἀνακαλούμενον, γράφοντες διὰ τοῦ παρόντος, καὶ τὰς ἐγκαρδίους ἡμῶν εὐχὰς καὶ εὐλογίας ἐπιδαψιλευόμενοι, καθιστῶμεν ὑμᾶς ἐφόρους, ἐπιστάτας καὶ ἐπόπτας διηνεκεῖς, ναὶ μὴν καὶ ἐκτελεστάς, μετὰ πάσης ἀδείας καὶ πληρεξουσιότητος τῶν κοινῇ δεδογμένων, προτρεπόμενοι καὶ ἐντελλόμενοι ὅπως σκεψάμενοι καθ' ἑαυτοὺς ἐκλέξητε καὶ συστήσητε καθ' ἑκάστην ἐνορίαν Πόλεως, Γαλατᾶ, καὶ Καταστένου, ἀνὰ δύο τῶν τιμιωτέρων καὶ ὑποληπτικωτέρων διατιμητὰς τῶν γινομένων ἐν τοῖς γάμοις προικοδοσιῶν, καὶ ὑπαλλήλως προσεκτικοὺς εἰς τὴν καλὴν τοῦ πράγματος αὐτοῦ ἁρμονίαν καὶ τῶν κεφαλαιωδῶν ὅρων τὴν διατήρησιν, παρέχοντες αὐτοῖς τὰς δεούσας ὁδηγίας, καὶ παραλαμβάνοντες δι' αὐτῶν τὸ ταχθὲν ἐπ' ὀνόματι τῶν Νοσοκομείων εἰσόδημα, καὶ τὴν καταγραφὴν τῶν προικοδοσιῶν, καὶ ἑνὶ λόγῳ ἐνεργοῦντες πᾶν εἴ τι ἀνήκει πρὸς τὴν τοῦ κοινωφελοῦς ἔργου εὐόδωσιν καὶ διάρκειαν, ὑπὲρ ἧς ἕξετε καὶ τὴν ἐκκλησιαστικὴν προθυμίαν ἐνεργὸν καὶ προστάτιν, καὶ ἑτοίμην εἰς πᾶν αἴτημα ὑμῶν πραγματευόμενον τὴν ἀσφάλειαν τοῦ ἔργου. Οὕτω ποιήσατε μετὰ τοῦ συνήθους χριστιανικοῦ ὑμῶν ζήλου, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μεθ' ὑμῶν. ͵αωκζ'.

Ἐν μηνὶ Δεκεμβρίῳ. Ἰνδικτιῶνος Α'.



ΡΙΑ΄.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΑΠΟ ΣΕΡΡΩΝ

Περὶ προικοδοσιῶν.

Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Τὰς προβαινούσας κατὰ καιροὺς συνθήκας καὶ ὁροθεσίας μεταξὺ τῶν εὐσεβῶν, καὶ τούτων μάλιστα ὅσαι πρὸς κοινὴν ὠφέλειαν αὐτῶν καὶ εὐκατάστατον διαγωγὴν καὶ εὐνομίαν, κρίσεσιν ὀρθαῖς καὶ ἐκτεταμέναις δοκιμασίαις, σὺν τῷ δικαίῳ ἐπενοήθησαν, ταύτας ἐμφανιζομένας καὶ ἀναφερομένας τῇ τοῦ καθ' ἡμᾶς Οἰκουμενικοῦ θρόνου περιωπῇ, ἐφ' ᾧ τὸ κῦρος λαβεῖν καὶ τὴν ἐς τοὐπιὸν ἀσφάλειαν, οὐ μόνον ἀποδοχῆς ἀξίας ἡγούμεθα, ὡς τὴν μέριμναν ἔχοντες τῆς εὐκαταστάτου διαγωγῆς παντὸς τοῦ εὐσεβοῦς χριστεπωνύμου πληρώματος, ἀλλὰ καὶ γράμμασι πατριαρχικοῖς κατοχυροῦν καὶ κατασφαλίζειν οὐ παραιτούμεθα ἐπὶ τῷ συντηρεῖσθαι ἀπαραβάτους καὶ ἀμεταθέτους ἐς ἀεί, καὶ μηδεμίαν τῇ τοῦ καιροῦ προόδῳ ὑποστῆναι τὴν μεταποίησιν. Ἐπειδὴ τοιγαροῦν καὶ ἤδη προσεκομίσθη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς κοινὴ ἀναφορὰ τῶν τιμιωτάτων δημογερόντων τῆς πολιτείας Μιτυλήνης, δι' ἧς ἀναφέρουσι τὴν ἐκ παλαιᾶς κακῆς συνηθείας περὶ τὰς συγκροτήσεις τῶν συνοικεσίων ἐπιπολάζουσαν ὀλεθρίαν κατάχρησιν ἐν τῇ πατρίδι αὐτῶν· ἐπεκράτησε γὰρ ἅπασιν, ὡς εἰπεῖν, τὴν τῶν γονέων περιουσίαν προικοδοτεῖσθαι ταῖς πρωτοτόκοις καὶ δευτεροτόκοις τῶν θυγατέρων, οὐ μόνον ἐν μετρητοῖς, ἀλλὰ καὶ εἴ τι ὑποστατικὸν ἢ ὀσπήτιον τύχοι κεκτημένος ὁ πενθερὸς, παραχωρεῖν ἅπαντα τῇ δεσποτείᾳ τῶν δύο πρώ-

των εἰσποιουμένων γαμβρῶν, αὐτὸν δὲ ἀποξενούμενον καὶ ἄοικον διαμένοντα, οὐ μόνον ἀθλίως πένεσθαι ἐν τῷ γήρει, ἀλλὰ καὶ τὰς λοιπὰς θυγατέρας ἀνυπάνδρους καὶ ἀπροστατεύτους παρ' ὅλον τὸν βίον καταλείπειν, καὶ μυρία ἄλλα ἐκ τῆς τοιαύτης συνηθείας παραλόγως συμβαίνειν τὰ ἐπακόλουθα. Ταύτην οὖν τὴν ἐξ ἔθους οὐχ ὁσίως ἐπικρατήσασαν κατάχρησιν κατιδόντες σύμπαντες οἱ εὐλογημένοι χριστιανοὶ κάτοικοι τῆς πολιτείας ταύτης, ὀλεθρίαν καὶ πολυβλαβῆ τῇ πατρίδι αὐτῶν, καὶ ἐκ πείρας ἐγνωκότες τὰ ἐξ αὐτῆς πολυειδῆ δεινά, συνῆλθον εἰς ἕν, καὶ ἀκριβῶς περὶ τοῦ πρακτέου συνδιασκεψάμενοι, ἔγνωσαν κοινῶς καὶ ὁμοφώνως, συναινοῦντος καὶ τοῦ κανονικοῦ ἀρχιερέως αὐτῶν, ἱερωτάτου μητροπολίτου Μιτυλήνης, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λέσβου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Πορφυρίου, καταργῆσαι αὐτὴν διόλου καὶ ἐξαλεῖψαι· καὶ οὕτω, κατὰ στερρὰν καὶ ἀμετάθετον αὐτῶν ἀπόφασιν, ἐξέθεντο κοινῇ γνώμῃ νέαν ὁροθεσίαν περὶ τῶν προικοδοσιῶν τῶν γάμῳ κατεγγυωμένων νεανίδων, ἀπαλλάττουσαν τοῦ λοιποῦ καὶ γονεῖς καὶ θυγατέρας τῶν ἐπαπειλουμένων ἀπευκταίων, καὶ ταύταις μὲν ῥαδίως τὴν ὑπανδρείαν παρασκευάζουσαν, ἐκείνους δὲ τῆς ἐν τῷ γήρει προφυλάττουσαν δυστυχίας· καὶ πρῶτον μὲν διετάξαντο γενικὴν καταγραφὴν ἁπάντων τῶν προσόντων ἑκάστῳ κτημάτων καὶ ὑποστατικῶν, διατιμηθέντων εἰδημόνως, καὶ διεῖλον ἰσοπόσως τῷ ἀριθμῷ τῶν τέκνων αὐτῶν, ὥστε ἐν καιρῷ ὑπανδρείας λαμβάνειν ἕκαστον τὸ ἐπιβάλλον αὐτῷ μερίδιον· καὶ ἐν περιστάσεσι δὲ θανάτου εἴτε γονέων, εἴτε καὶ τέκνων, ὅρους ἔθεντο πραγματευομένους δικαίαν τοῖς περιλειπομένοις προσώποις τὴν ἐκ τῆς περιουσίας μετοχήν, καὶ ἄλλας ἔτι φρονίμους καὶ ἐπωφελεῖς καὶ τῶν προλαβουσῶν δυστυχιμάτων καὶ καταχρήσεων ἀποκρουστικὰς ὁρισάμενοι, καὶ τὴν νέαν ταύτην ὁροθεσίαν διὰ τῶν ὑπογραφῶν αὐτῶν κοινῶς ἐμπεδώσαντες, καὶ κατ' αὐτὴν πολιτεύεσθαι τοῦ λοιποῦ ἐν ἀνεπιστρόφῳ λογισμῷ καὶ ἐνοχῇ προστίμων διαταξάμενοι, ἔγνωσαν ἐπικρατῦναι τὰ δεδογμένα καὶ διὰ τῆς ἐκκλησια-

στικῆς ἰσχύος, ἐφ' ᾧ καὶ τὸ κῦρος ἔχειν καὶ τὴν ἐνέργειαν ἀμεταποίητον διὰ παντός· ταῦτα ἀναφέροντες διὰ τῆς ἀναφορᾶς αὐτῶν οἱ διαληφθέντες τιμιώτατοι δημογέροντες ἐξητήσαντο ὡς ἀπὸ κοινῆς γνώμης καὶ συγκαταθέσεως ἁπάντων τῶν συμπολιτῶν αὐτῶν ἐπικυρωθῆναι καὶ κατασφαλισθῆναι ταῦτα πάντα δι' ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ σιγιλλιώδους γράμματος ἐν μεμβράναις. Τούτου χάριν ἐπεξελθόντες τὰ ἐν τῷ προσκομισθέντι ἡμῖν ἀρχιερατικῶς ἐπιβεβαιωμένῳ ἴσῳ τοῦ διαληφθέντος ὁροθετηρίου γράμματος, καὶ συντείνοντα καὶ ἐπωφελῆ τοῖς ῥηθεῖσι χριστιανοῖς Μιτυληναίοις ἐπιγνόντες, καὶ τῶν προλαβουσῶν κακῶν καὶ ὀλεθρίων αὐτοῖς συνηθειῶν ἀπαλλακτικά, ἀπεδεξάμεθα τὰς κοινὰς αὐτῶν ἐνθέρμους δεήσεις καὶ παρακλήσεις, καὶ γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων (κτλ.) ἐπικυροῦμεν καὶ κρατύνομεν τὰ μεταξὺ τῶν εἰρημένων εὐσεβῶν κατοίκων τῆς πολιτείας Μιτυλήνης γενομένας συνθήκας καὶ ὁροθεσίας, τὰς ἐν ἑπτὰ κεφαλαίοις ἐμφαινομένας ἐν τῷ κοινῷ αὐτῶν ἐνυπογράφῳ ὁροθετηρίῳ γράμματι, ὡς εὐλόγους, καὶ τοῦ δικαίου ἐχομένας, καὶ πρὸς εὐνομίαν αὐτῶν ἀφορώσας· περὶ ἧς λόγον οὐ τυχόντα ποιούμεθα, καὶ συνῳδὰ ταύταις ἀποφαινόμεθα καὶ ὁριζόμεθα, ἵνα Α΄] ἑκάστη ὑπανδρευομένη κόρη οἰκοδομῆται ὀσπήτιον δι' ἐξόδων τοῦ πατρὸς αὐτῆς, οὗτινος ἐκτιμωμένου παρὰ τῶν διωρισμένων ἐκτιμητῶν τῆς κοινότητος τῆς πολιτείας ταύτης, ἡ ἡμίσεια τιμὴ χαρίζηται τῇ νυμφευομένῃ, ἡ δὲ ἄλλη ἡμίσεια καταγράφηται εἰς τὸν κατάλογον τῆς ἐκτιμήσεως ὅλων τῶν κινητῶν καὶ ἀκινήτων πατρομητρικῶν αὐτῆς πραγμάτων συμπεριλαμβανομένη ὡς μέρος τῆς κτηματικῆς μόνον περιουσίας τῶν γονέων αὐτῆς· Β΄] ἅπασα ἡ διατιμωμένη πατρομητρικὴ περιουσία διαιρῆται εἰς τοσαῦτα ἴσα μερίδια, ὅσοι εἰσὶν οἱ παῖδες αὐτῶν ἄρρενές τε καὶ θήλεις, συμπεριλαμβανομένων κἀκείνων τῶν γονέων εἰς ἓν μερίδιον, ἑκάστη δὲ τῶν θυγατέρων λαμβάνῃ μετὰ τοὺς γάμους τὸ ἀνῆκον αὐτῇ ἓν μερίδιον, ἔχουσα τὸ δικαίωμα τῆς ἐκλογῆς· Γ΄] ἐὰν ἡ νυμφευομένη ἐκλέξῃ λαβεῖν τὴν προῖκα αὐτῆς ἀπὸ τῆς περιουσίας

μόνον τοῦ πατρὸς, ἢ τῆς μητρὸς, μετὰ δὲ τὴν τοιαύτην προικοδοσίαν αὐτῆς καὶ τὴν ὑπανδρείαν, τῷ μὲν προικοδοτήσαντι προσώπῳ τῶν γονέων συμβῇ θάνατος, τὸ δὲ περιλειπόμενον βουληθῇ εἰς δευτέρους ἀπιδεῖν γάμους, τότε τὰ τέκνα εἴγε βουληθεῖεν διανέμεσθαι ἑαυτοῖς τὴν τοῦ ἀποθανόντος περιουσίαν, λαμβάνωσιν ἀπὸ τῆς περιουσίας τοῦ ζῶντος καὶ δευτερογαμοῦντος προσώπου ἐκ τῶν γονέων τὸ εἰς βάρος καὶ ἐνοχὴν αὐτοῦ ἀνῆκον, καὶ ἀναλογοῦν ἥμισυ μέρος τῶν ἰδίως καὶ μονομερῶς ὡς εἴρηται προικοδοτηθέντων, ἅτε δὴ ἀμφοτέροις τοῖς γονεῦσιν ἐπικειμένου τοῦ χρέους τῆς τῶν θυγατέρων ὑπανδρείας· Δ΄] μετὰ τοὺς γάμους τῆς θυγατρὸς νέμωνται οἱ γονεῖς ὅλα ὁμοῦ τὰ λοιπὰ μερίδια, ὑπανδρεύωσι δὲ κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰς λοιπὰς θυγατέρας αὐτῶν· τὰ δὲ μερίδια τῶν ἀρρένων, εἴ γε ἔχωσιν, ὁμοῦ δὲ καὶ τὸ προσιδιάζον αὐτοῖς μερίδιον καρπῶνται καὶ ἐξουσιάζωσιν οἱ αὐτοὶ γονεῖς ἐφ' ὅρου ζωῆς πρὸς ζωοτροφίαν αὐτῶν· Ε΄] εἴ γε συμβῇ θάνατος τῷ πατρὶ, τότε σὺν τῇ ἐκτιμήσει τῆς περιουσίας αὐτῶν κινητῆς τε καὶ ἀκινήτου, κατατίθωνται ὁμοῦ καὶ τὰ εὑρεθησόμενα μετρητὰ, ἐξ αὐτῶν δὲ τῶν μετρητῶν δίδωνται αἵ τε ἐλεημοσύναι καὶ λοιπὰ ψυχικὰ αὐτοῦ, καὶ ὁλόκληρος ἡ χάρις τοῦ ὀσπητίου περὶ τὰς ἀνυπάνδρους θυγατέρας αὐτοῦ, εἴγε ἔχοι, πληρῶνται δὲ καὶ τὰ χρέη αὐτοῦ, εἰ τύχοι ὀφείλων, τὰ δὲ ὑπόλοιπα τῶν μετρητῶν διανέμωνται ἑαυτοῖς ἐξ ἴσου τὰ ὑπανδρευμένα τέκνα καὶ ἀνύπανδρα· ἐὰν δὲ μὴ εὑρεθῶσι μετρητὰ τῷ ἀποιχομένῳ, τότε αἱ ἐλεημοσύναι καὶ τὰ χρέη καὶ τὸ ἥμισυ μόνον τῆς τοῦ ὀσπητίου χάριτος πρὸς τὰς ἀνυπάνδρους θυγατέρας ἐξαιρῶνται πρῶτον ἅπαντα ἀπὸ τῆς κτηματικῆς περιουσίας αὐτοῦ, τὸ δὲ λοιπὸν ἥμισυ τῆς χάριτος ἀναπληρῆται ἀπὸ τῆς περιουσίας τῆς μητρὸς, καὶ ἑπομένως διανέμωνται ἑαυτοῖς ἰσομοίρως τὰ ἀπροίκιστα τῶν τέκνων τὴν ὑπολειφθεῖσαν πατρικὴν περιουσίαν ἐξαιρουμένου καὶ τῇ μητρὶ (ἐὰν φυλάξῃ χηρείαν) ἑνὸς μεριδίου ἀπό τε τῶν κτημάτων καὶ τῶν μετρητῶν, ὅπερ ἕξει κατὰ χρῆσιν μόνον· οὕτω δὲ ἔχωσιν ἐξακολουθεῖν καὶ ἐπειδὰν ἡ μήτηρ τελευτήσῃ· Ϛ΄] εἴ γε ζώντων ἔτι τῶν γονέων ἐπισυμβῇ θάνατός

τινι τῶν τέκνων, ἰδιόκτητον ἔχοντι περιουσίαν, κληρονομῶσιν αὐτὴν οἱ γονεῖς κατὰ τὸ τοπικὸν ἔθος· ἐὰν δὲ τελευτήσῃ μετὰ τὸν θάνατον τοῦ πατρὸς ἢ τῆς μητρὸς, τὴν ἰδιόκτητον αὐτοῦ περιουσίαν κτηματικήν τε καὶ χρηματικὴν μετὰ τοῦ κληρονομικοῦ αὐτοῦ μεριδίου, εἴτε ἐξῃρημένου τυχόντος, εἴτε ἀμερίστου μένοντος, διανέμωνται ἰσομοίρως πάντα τὰ τῶν ἀδελφῶν αὐτοῦ πρόσωπα, εἴτε προικισθέντα πρότερον, εἴτε καὶ μή· συμπεριλαμβάνηται δὲ εἰς ἓν μερίδιον ἴσον καὶ τὸ ζῶν πρόσωπον ἐκ τῶν γονέων· Ζ'] ἐὰν μετὰ τὴν ἀποβίωσιν τῶν γονέων αἱ προικισθεῖσαι θυγατέρες μὴ εὐχαριστηθῶσιν εἰς τὸ προικοδοτηθὲν αὐταῖς μερίδιον, ἔχωσι δικαίωμα κατατιθέμεναι ἐκεῖνο (ἐκτὸς τῆς χάριτος τοῦ ὀσπιτίου) μετὰ τῆς πατρικῆς καὶ μητρικῆς περιουσίας λαμβάνειν μερίδιον ἐπίσης μετὰ τῶν λοιπῶν τέκνων. Ἐκτὸς δὲ τῶν ἀνωτέρω περὶ προικοδοσίας διατάξεων, μηδόλως ἔχωσιν ἄδειαν οἱ γονεῖς, καὶ συγγενεῖς χαρίζειν τοῖς τέκνοις αὐτῶν ὑποστατικὰ, ἢ ἐν μετρητοῖς καθ' οἱονδήτινα τρόπον· εἰ δέ τις φωραθείη παραβάτης τούτου, αὐτὸς μὲν ποινῇ καθυποβάλλεται ἐκκλησιαστικῇ, ἡ δὲ χάρις ἡ γενομένη εἴτε διὰ μετρητῶν, εἴτε εἰς ὑποστατικὰ, δημεύηται παρὰ τῆς κοινότητος τῆς πολιτείας, καὶ ἐξ αὐτῆς τὰ μὲν δύο τρίτα ἐπιστρέφωνται εἰς τὸν τὴν χάριν ἐκείνην ποιήσαντα, τὸ δὲ ἄλλο τρίτον οἰκειοποιῆται ἡ κοινότης· ἐὰν δὲ ὁ χαρίσας ἀναγγείλῃ οἴκοθεν τῇ κοινότητι τὸ τόλμημα μεταμελούμενος, λαμβάνῃ τότε ἅπαντα τὰ χαρισθέντα, καταλείπων μόνον πρὸς δέκα τοῖς ἑκατὸν εἰς ὠφέλειαν τῶν νοσοκομείων, καὶ τῶν σχολείων τῆς πολιτείας ταύτης Μιτυλήνης. Ἐπὶ δὲ τούτοις μηδαμῶς γίνεσθαι διάλυσιν ἀρραβώνων ἄνευ εὐλογοφανοῦς καὶ δικαίας αἰτίας· εἰ δέ ποτε συμβῇ, χρηματικαῖς ποιναῖς ὑπείκειν τὸν αἴτιον, πληροῦντα τῷ ἀδικηθέντι μέρει πρὸς τεσσαράκοντα τοῖς ἑκατὸν ἐκ τῆς ἀνηκούσης αὐτῷ προικὸς, διατιμωμένης ἁπάσης, ἐκ τούτων δ' αὖ τῶν λόγῳ προστίμου ὡς εἴρηται πληρωθησομένων, ἐξαιρῶνται εἴκοσι τοῖς ἑκατὸν, ὧν τὸ μὲν ἓν τρίτον λαμβάνειν τὴν μητρόπολιν, τὸ δὲ ἄλλο τρίτον δίδοσθαι τῇ κοινότητι, καὶ τὸ λοιπὸν τρίτον διανέμε-

σθαι ἐξ ἴσου πρὸς τὰ σχολεῖα καὶ τὸ νοσοκομεῖον, γινομένης τῆς τοιαύτης τοῦ προστίμου καταβολῆς ἀμέσως μετὰ τὴν τῶν ἀρραβώνων διάλυσιν. Ἐπειδὴ δὲ κατὰ τὴν ἐν τῷ κοινῷ ὁροθετηρίῳ γράμματι περίληψιν, αἱ ἐκτεθεῖσαι διατάξεις περὶ τῶν προικοδοσιῶν ἄρξονται ἐνεργεῖσθαι ἀπὸ τῆς πρώτης τοῦ παρελθόντος Νοεμβρίου μηνός, διὰ τοῦτο οἱ πρὸ τῆς ῥηθείσης ἐποχῆς φθάσαντες ἀρραβωνισθῆναι, μὴ ἔστωσαν ὑποκείμενοι ταῖς ἐν τῷ παρόντι θεσμοθεσίαις, ἐκτὸς τῶν περὶ μετρήματος διαταχθέντων· ἐξαιρῶνται δὲ τῶν νομοθετηθέντων καὶ ὧν ἡ κατάστασις τῆς προικοδοσίας οὐχ ὑπερβαίνει τὰς δεκαπέντε χιλιάδας γροσίων· ἡ ὁρισθεῖσα μέν τοι ποινὴ περί τε μετρήματος, καὶ διαλύσεως ἀρραβώνων, ὡσαύτως καὶ περὶ τῶν ἀκολούθως ῥηθησομένων λάβῃ ἀρχὴν ἐνεργεῖσθαι ἀπὸ τῆς ῥηθείσης ἐποχῆς κατὰ τῶν ἄλλως διατεθησομένων. Ἐκλιπέτωσαν δὲ τοὐντεῦθεν οἱ κακῶς συνειθιζόμενοι κάντια καὶ πακλαβάδες, καὶ τὰ λεγόμενα γεμάτα, καὶ παυσάσθω τὸ σύνολον ἡ ἐν καιρῷ ἀρραβώνων ἀποστολὴ τῶν τοιούτων ματαίων καὶ περιττῶν ἐπιδείξεων πρὸς τοὺς γαμβροὺς καὶ συγγενεῖς αὐτῶν· τοῖς δὲ γονεῦσι μὴ ἐξέστω ἀποστέλλειν τινὶ τῶν συγγενῶν ἢ φίλων λόγῳ φιλοδωρίας ὑποκαμισώβρακα, ἢ ὄρνιθας, ἐκτὸς μόνον πρὸς τοὺς ἐξωτερικούς, τῆς χρείας καλούσης· ὡσαύτως δὲ ὦσιν ἀπηγορευμένα παντάπασι τοῖς συγγενέσι τῆς νύμφης τὰ λεγόμενα κρεμάσματα καὶ αἱ δωρεαί, καὶ τὰ ἐκ μέρους τοῦ γαμβροῦ πρὸς τοὺς συγγενεῖς καὶ γονεῖς τῆς νύμφης φορέματα· τῷ δὲ ἀπειθῶς προσενεχθησομένῳ, διὰ μὲν τὰ κρεμάσματα λεγόμενα ἐπαγέσθω ποινὴ ἡ ἀνωτέρω περὶ τῶν χαρισμάτων καὶ μετρημάτων ὁρισθεῖσα· τὸν δὲ τὰς λοιπὰς παραβάσεις τολμήσαντα ζημιοῦσθαι χρηματικῶς, πτωχὸν μὲν ὄντα γροσίοις ἑκατόν, εὐκατάστατον δὲ μέχρι πεντακοσίων γροσίων. Ταῦτα τοιγαροῦν τὰ ἐν ἑπτὰ κεφαλαίοις καὶ ἐφεξῆς διειλημμένα περὶ τῶν προικοδοσιῶν καὶ λοιπῶν περὶ τοὺς γάμους διατάξεων τῶν ἐν τῇ πολιτείᾳ Μιτυλήνης εὐσεβῶν χριστιανῶν, ὡς διὰ κοινοῦ αὐτῶν ἐνυπογράφου ὁροθεσίου γράμματος συντεθειμένα, καὶ συντείνοντα εἰς κοινὴν αὐτῶν ὠφέλειαν καὶ εὐνομίαν τῆς πατρίδος

αὐτῶν, ἐμπεδοῦμεν καὶ κρατύνομεν ἵνα μένωσιν ἀπαράβατα καὶ ἀμετάτρεπτα διὰ παντὸς, ἕως οὗ ὁ ἥλιος διιππεύων τὸν ἴδιον περιτρέχει κύκλον, καὶ διενεργῶνται κατὰ τὸν ἐκτεθέντα τρόπον ἀπαραλλάκτως, ἀμεταποίητα καὶ ἀπαράλλακτα διατηρούμενα παρὰ πάντων αὐτῶν. Ὅς δ' ἂν καὶ ὁποῖος ἐξ αὐτῶν ἀνὴρ ἢ γυνὴ, ὁποιασοῦν τάξεως καὶ βαθμοῦ τολμήσῃ καθ' οἱονδήτινα τρόπον ἀναιδῶς καταπατῆσαι τὰς διαληφθείσας κοινὰς συνθήκας καὶ διατάξεις τὰς ἐπικυρωθείσας καὶ παρ' ἡμῶν ἐκκλησιαστικῶς, καὶ κρυφίως ἢ φανερῶς ἐπιχειρήσῃ παραβῆναι ταύτας μέχρι καὶ κεραίας αὐτῆς, καὶ βουληθῇ ἀθετῆσαι καὶ παρεκτραπῆναι τῶν ἐν τῷ παρόντι συνοδικῶς ἐκπεφασμένων, ὁ τοιοῦτος ὡς τῆς κοινῆς εὐνομίας πολέμιος, καὶ λειποτάκτης, καὶ κακόβουλος, ἀφωρισμένος ὑπάρχῃ παρὰ τῆς Ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου μακαρίας Τριάδος τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ μετὰ θάνατον ἄλυτος, καὶ τυμπανιαῖος, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος, καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη πρὸς τοὺς τιμιωτάτους προεστῶτας καὶ δημογέροντας τῆς πολιτείας Μιτυλήνης.

Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ὀκτακοσιοστῷ τριακοστῷ ἕκτῳ. Κατὰ μῆνα Ἰαννουάριον. Ἐπινεμήσεως Θ'.

†Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† *ὁ Ἐφέσου Χρύσανθος·* — † *ὁ Ἡρακλείας Διονύσιος·* — † *ὁ Νικομηδείας Πανάρετος·* — † *ὁ Χαλκηδόνος Ἱερόθεος·* — † *ὁ Δέρκων Γερμανός·* — † *ὁ Θεσσαλονίκης Μελέτιος·* — † *ὁ Ἀμασείας Καλλίνικος·* — † *ὁ Λαρίσσης Ἄνθιμος·* — † *ὁ Δράμας Νεόφυτος·* — † *ὁ Σοφίας Παΐσιος·* — † *ὁ Ἐρσεκίου Ἰωσήφ·* — † *ὁ Πόσνας Ἀμβρόσιος.*

Σημ. Ἐκ τοῦ ὑπ' ἀριθμ. 18 (κατὰ τὴν νέαν ἀρίθμησιν) πατριαρχικοῦ Κώ-

δηκος. Εἰς συμπλήρωσιν ἐκδιδόαμεν τὸ γράμμα τοῦ ἀειμνήστου πατριάρχου Γερμανοῦ Δ΄ τοῦ ἀπὸ Δέρκων, λύσαντος ἀπὸ τῶν ἀρῶν καὶ ἐπιτιμίων τοὺς εἰς αὐτὰς ἐπὶ ταραβάσει τῶν διατάξεων Ἀγαθαγγέλου καὶ Σαμουὴλ ὑποβληθέντας.

ΡΙΒ΄.

ΓΕΡΜΑΝΟΥ ΤΟΥ ΑΠΟ ΔΕΡΚΩΝ

Περὶ προικοδοσιῶν.

† Γερμανὸς ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἐντιμότατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ εὐλογημένοι χριστιανοί, καὶ ὁσιώτατοι ἱερομόναχοι οἱ ψάλλοντες ἐν ταῖς ἐκκλησίαις τῆς Πόλεως, τοῦ Γαλατᾶ καὶ ὅλου τοῦ Καταστένου· τέκνα ἐν Κυρίῳ ἡμῶν ἀγαπητά· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Τῆς καθ' ἡμᾶς ταύτης ἐκκλησιαστικῆς περιωπῆς καὶ πνευματικῆς ἐξουσίας ἔργον ἀείποτε καὶ τέλος πρόκειται τὸ προνοεῖν κηδεμονικῶς ὑπὲρ τῆς ψυχικῆς καὶ σωματικῆς ὠφελείας τῶν πνευματικῶν αὐτῆς τέκνων, καὶ ἑπομένως, ἐάν που κατίδῃ παρεισφρύσασαν λυμαντικήν τινα καὶ ἐπιβλαβῆ τῷ χριστωνύμῳ πληρώματι συνήθειαν πειρᾶται ἐκ μέσου ταύτην ποιῆσαι καὶ ῥιζηδόν, εἰ δυνατόν, ἀνασπάσαι, ὁτὲ μὲν συμβουλεύουσα καὶ παραινοῦσα εὐχαῖς καὶ εὐλογίαις, ὁτὲ δὲ ἀπειλοῦσα ἀραῖς καὶ ἐπιτιμίοις [πάντα τρόπον μετερχομένη] κατὰ φιλόστοργον πρόνοιαν, ὅπως ἀφελοῦσα τὴν περὶ τὰ ἤθη κατ' ἄγνοιαν γιγνομένην τοῖς πνευματικοῖς αὐτῆς τέκνοις βλάβην, ἀντεισαγάγῃ... μὲν κατορθώσασα τὸ σκοπούμενον, ἐπίδῃ τὰ ἑαυτῆς τέκνα, ἀποστάντα μὲν τῆς κοινοβλαβοῦς συνηθείας, ὠφελούμενα δὲ καὶ εὐημεροῦντα, τότε δὴ χαίρει καὶ εὐφραίνεται πνευματικῶς ἐπὶ ταῖς ἐκείνων ὠφελείαις· ἐὰν δὲ μήτε τὸ κοινοβλαβὲς ἐκεῖνο ἔθος ἐκκόψαι

δυνηθῇ, καὶ οἱ χριστιανοὶ πρὸς τὸ μηδέν τε ὠφεληθῆναι διά τινας περιστάσεις ἐκ τῶν ἐκκλησιαστικῶν συμβουλῶν καὶ ἀπειλῶν, προσέτι καὶ ψυχικῇ ἄλλῃ περιπίπτωσι βλάβῃ, δεσμοῖς ἐκκλησιαστικοῖς καὶ ἀραῖς ἔνοχοι γιγνόμενοι, τότε εὐφυῶς καὶ εὐνοϊκῶς τῶν δύο κακῶν τὸ ἔλαττον ἑλομένη, ἀπαλλάττει τούτους τῶν ἐπιτιμίων καὶ ἀρῶν, καὶ ἐλευθέρους ἀποκαθίστησιν, οἰκονομίαις χρωμένη ταῖς μὴ κεκωλυμέναις παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων. Ὅσα γὰρ περί τε τὰ δόγματα, τὰ μυστήρια, τὰς ἱερὰς παραδόσεις, καὶ τοὺς θείους κανόνας ὥρισται καὶ τεθέσπισται παρὰ τῶν ἁγίων τῆς Ἐκκλησίας πατέρων καὶ τῶν θείων καὶ ἱερῶν Συνόδων, ἐπ' ἐκείνων οὐδὲ τὸ σμικρότατον μεταποιῆσαι ἔξεστιν ἡμῖν τοῖς ἀρχιερατικῶς προϊσταμένοις τῇ θείᾳ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος οἰκονομίαις χρῆσθαι, μεταβάλλειν τε καὶ διορθοῦν, νῦν μὲν ἐπιτιμῶντας, νῦν δὲ ἀφιέντας, καὶ τοῖς πᾶσι τὰ πάντα γιγνομένους, ἵνα τοὺς πάντας κερδίσωμεν, κατὰ τὸν θεῖον Ἀπόστολον, καθάπερ τοιαύταις οἰκονομίαις ἐχρήσατο ἡ Ἐκκλησία καὶ περὶ τῆς παρεισφρυσάσης εἰς Κωνσταντινούπολιν ἀτάκτου καὶ ὑπερόγκου προικοδοσίας. Καὶ γὰρ πρὸς διακώλυσιν τῆς κοινοβλαβοῦς ταύτης συνηθείας δὶς κατὰ τοὺς προπαρελθόντας χρόνους, ἤτοι ἐπὶ τοῦ ἀειμνήστου πατριάρχου κυροῦ Νεοφύτου τοῦ πάλαι καὶ ἐπὶ τοῦ [μακαρίτου] πατριάρχου κυροῦ Σαμουὴλ ἐξέδωκε φρικτὰ πατριαρχικὰ καὶ συνοδικὰ ἐπιτίμια· ὅμως καὶ πρῶτον καὶ ὕστερον κατιδοῦσα ὅτι ἀδύνατον διατηρεῖσθαι τὰς περὶ τῶν γαμικῶν συναλλαγμάτων συνοδικὰς ἐκείνας ἀποφάσεις, καὶ ὅτι οἱ χριστιανοὶ γίνονται ἔνοχοι τοῖς ἐκκλησιαστικοῖς δεσμοῖς, ἐξέδωκε πάλιν συγχωρητικὰ γράμματα, καὶ συνεχώρησε τοὺς ὁπώσποτε ὑποπίπτοντας ταῖς φρικταῖς ἀραῖς ἐκείναις, παρέχουσα ἄδειαν ἑκάστῳ πραγματευομένῳ γαμικὰ συναλλάγματα προικοδοτεῖν κατὰ τὴν βούλησιν καὶ δύναμιν αὐτοῦ. Ἀλλὰ καὶ ἐσχάτως ὁ ἀοίδιμος πατριάρχης κυρὸς Ἀγαθάγγελος, ὁρῶν μετὰ ψυχικῆς ὀδύνης τὴν ἐκ τῶν προικοδοσιῶν βλάβην τοῦ χριστωνύμου πληρώματος, καὶ μὴ φέρων τὴν περὶ αὐτὰς κατάχρησιν, ἐπεχείρησε πάνυ φιλοστόργως [κατὰ κοι-

νὴν] αἴτησιν τῶν τὰ πρῶτα φερόντων τότε ἐκ τοῦ ἡμετέρου γένους, καὶ κατὰ μίμησιν τῶν ἀειμνήστων προκατόχων ἡμῶν, ἀπαλλάξαι τῆς δεινῆς ταύτης βλάβης τοὺς ἐν τῇ βασιλευούσῃ [ὀρθοδόξους· ὅθεν] συνέταξε βίβλον μετὰ πατριαρχικῶν καὶ συνοδικῶν ὑπογραφῶν περιέχουσαν φρικτὰς ἀρὰς καὶ ἐπιτίμια, εἴ πως ἐκκόψειε τὴν κοινοβλαβῆ τῆς προικοδοσίας ταύτης κατάχρησιν. Ἀλλὰ καὶ οἱ καταβληθέντες κόποι καὶ ἀγῶνες τοῦ ἀοιδίμου τούτου προκατόχου ἡμῶν πάντῃ μάταιοι καὶ ἀνωφελεῖς ἀπέβησαν. Ἐγένετο γὰρ γνωστὸν καὶ ἤδη τῇ ἡμῶν μετριότητι ἀπὸ ἐνυπογράφου ἀναφορᾶς τῶν τιμιωτάτων ἐφόρων καὶ ἐπιτρόπων τοῦ Κοινοῦ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ὅτι διὰ τὰς καιρικὰς καὶ ἄλλας περιστάσεις τῶν πάνυ ἀδυνάτων ὑπάρχει διαφυλαχθῆναι ἐν τοῖς γαμικοῖς συναλλάγμασι τὰ ἐν τῇ ῥηθείσῃ βίβλῳ συνοδικῶς ἀποφανθέντα, καὶ ἔκτοτε ἄχρι τοῦδε οἱ πλείους, μᾶλλον δὲ ἅπαντες οἱ εὐσεβεῖς ἔνοχοι κατέστησαν τοῖς ἐν ἐκείνῃ τῇ βίβλῳ δεσ[μοῖς, ἀραῖς καὶ] ἐπιτιμίοις ἐκκλησιαστικοῖς, καὶ ἅμα ἔνθερμος προσηνέχθη αἴτησις ὡς ἐκ μέρους τῆς αὐτῶν τιμιότητος, καὶ ὡς ἐκ μέρους ὅλου τοῦ ἡμετέρου γένους, ὅπως ἐπιχορηγηθῇ ἡ συγχώρησις καὶ (ἄφεσις τοῖς) ὑποπεπτωκόσι ταῖς ἐκκλησιαστικαῖς ἐκείναις ἀραῖς, καὶ ἡ ἀπὸ τούτων ἀπαλλαγὴ εἰς τὸ ἑξῆς πάντων τῶν εὐσεβῶν, ποιουμένων ἐλευθέρως τὰ γαμικὰ συναλλάγματα. Ἡ γοῦν [μετριότης ἡμ]ῶν καίτοι ὁρῶσα κοινωφελέστατα τὰ ἐν τῇ βίβλῳ ἀποφανθέντα, ὅμως πληροφορουμένη, ὡς εἴρηται, τὸ ἀδύνατον τοῦ πράγματος διὰ τὰς περιστάσεις, καὶ ὅτι αἱ ἐν ἐκείνῃ ἀρ[αὶ] οὐ μόνον οὐκ ἠδυνήθησαν τὴν ὀλεθρίαν ἐκείνην περὶ τὰς προικοδοσίας διακωλῦσαι βλάβην, πάντων τὰ αὐτὰ ὡς καὶ πρὸ τῆς βίβλου προικοδοτούντων, ἀλλὰ καὶ πλείστων ὅσων τὴν ψυχικὴν ζημίαν ἐπήγαγον διὰ τὴν ἐνοχὴν εἰς αὐτὰς ταύτας, καὶ πολλαχῶς βουλευσαμένη περὶ τοῦ πράγματος, τελευταῖον τὸ ἔλαττον κακὸν πρὸ τοῦ μείζονος ἑλομένη ὑπὲρ τῶν πνευματικῶν αὐτῆς τέκνων, ἔγνω τῇ χάριτι καὶ δυνάμει τοῦ παναγίου καὶ ζωοποιοῦ καὶ τελεταρχικοῦ Πνεύματος ἐκδοῦναι τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδι-

κὸν γράμμα, ἀπολύον μὲν τοῦ λοιποῦ τῶν ἐν ἐκείνῃ τῇ βίβλῳ προεκδοθεισῶν ἀρῶν τοὺς ὀρθοδόξους ἅπαντας, συγχωροῦν δὲ τοῖς μέχρι τοῦδε ὑπ' αὐτὰς ὑποπεπτωκόσιν. Ὅθεν κοινῇ γνώμῃ καὶ συναινέσει τῶν τε παναγιωτάτων καὶ (σεβασμιωτάτων) προκατόχων ἡμῶν, τοῦ τε κυρίου Κωνσταντίου τοῦ Α', τοῦ κυρίου Κωνσταντίου τοῦ Β', τοῦ κυρίου Γρηγορίου καὶ τοῦ κυρίου Ἀνθίμου, καὶ τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου τῶν Ἱεροσολύμων καὶ πάσης Παλαιστίνης κυρίου Ἀθανασίου, καὶ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι λίαν ἀγαπητῶν καὶ περιποθητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, γράφοντες ἐν ἁγίῳ Πνεύματι ἀποφαινόμεθα ἐκκλησιαστικῶς, ἵνα τῆς ῥηθείσης βίβλου τοῦ ἀοιδίμου ἐν πατριάρχαις κυροῦ Ἀγαθαγγέλου τὰς μὲν πατρικὰς συμβουλὰς καὶ παραινέσεις περὶ τῶν συναλλαγμάτων τῶν προικοδοσιῶν ὡς καλὰς καὶ ἐπωφελεῖς οἱ βουλόμενοι ἔχωσιν ἐπ' ἀδείας φυλάττειν καὶ διενεργεῖν ἀκωλύτως μετὰ τῶν παρ' ἡμῶν εὐχῶν καὶ εὐλογιῶν, οἱ δὲ δι' ἡντιναοῦν αἰτίαν καὶ περίστασιν μὴ δυνάμενοι φυλάττειν τοῦ λοιποῦ τὰ ἐν ἐκείνῃ τῇ βίβλῳ συνοδικῶς ἀποφανθέντα περὶ τῶν προικοδοσιῶν, ἐλευθέρως συγκροτῶσι συνοικέσια νόμιμα καὶ προικοδοτῶσιν ἕκαστος καθὰ βούλεται καὶ δύναται, μηδόλως ἐνεχόμενοι τοῖς ἐν τῇ ῥηθείσῃ βίβλῳ προεκδεδομένοις ἐκκλησιαστικοῖς ἐπιτιμίοις. Ὅσοι δὲ τῶν χριστιανῶν μικροὶ ἢ μεγάλοι, νέοι ἢ γέροντες, ἄνδρες ἢ γυναῖκες ἑκάστης τάξεως καὶ βαθμοῦ καὶ καταστάσεως ὑπέπεσον τοῖς ἐν τῇ βίβλῳ ἐκείνῃ ἐκκλησιαστικοῖς δεσμοῖς καὶ ἐπιτιμίοις, ἀφ' ὅτου ἐξεδόθη αὕτη μέχρι τῆς σήμερον, οὗτοι πάντες ζῶντές τε καὶ τεθνεῶτες ὑπάρχωσι συγκεχωρημένοι καὶ εὐλογημένοι παρὰ Θεοῦ Κυρίου παντοκράτορος, λελυμένοι τε καὶ ἐλεύθεροι τῶν τυπωθεισῶν ἐκείνων καὶ ἐκδοθεισῶν ἀρῶν, καὶ πάντῃ ἀμέτοχοι τῶν ἐκκλησιαστικῶν δεσμῶν καὶ ἐπιτιμίων ἔν τε τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι, ἔχοντες καὶ τὰς εὐχὰς καὶ εὐλογίας πάντων τῶν ἀπ' αἰῶνος ἁγίων καὶ τῶν ὁσίων καὶ θεοφόρων τῆς Ἐκκλησίας πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν ἁγίων Συνό-

δων. Ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος σὺν τῇ παρ' ἡμῶν εὐχῇ καὶ εὐλογίᾳ εἴη μετὰ πάντων ὑμῶν. ͵αωμδ'.

† **ΓΕΡΜΑΝΟΣ** ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης ἐν Χριστῷ τῷ Θεῷ εὔχεται.
Ὁ πρ. Κωνσταντινουπόλεως **ΚΩΝΣΤΑΝΤΙΟΣ Α'** ἐν Χρ. τῷ Θεῷ συνεύχεται.
Ὁ πρ. Κωνσταντινουπόλεως **ΚΩΝΣΤΑΝΤΙΟΣ Β'** ἐν Χρ. τῷ Θεῷ συνεύχεται.
Ὁ πρ. Κωνσταντινουπόλεως **ΓΡΗΓΟΡΙΟΣ** ἐν Χριστῷ τῷ Θεῷ συνεύχεται.
Ὁ πρ. Κωνσταντινουπόλεως **ΑΝΘΙΜΟΣ** ἐν Χριστῷ τῷ Θεῷ συνεύχεται.
Ὁ Ἱεροσολύμων **ΑΘΑΝΑΣΙΟΣ** ἐν Χριστῷ τῷ Θεῷ συνεύχεται.

† ὁ Καισαρείας Παΐσιος· — † ὁ Ἡρακλείας Διονύσιος· — † ὁ Κυζίκου Μελέτιος· — † ὁ Νικομηδείας Διονύσιος· — † ὁ Χαλκηδόνος Ἱερόθεος· — † ὁ Δέρκων Νεόφυτος· — † ὁ Ἰωαννίνων Ἰωακείμ· — † ὁ Ρασκοπρεσρένης Κύριλλος· — † ὁ Δημητριάδος Μελέτιος.

Σημ. Μεταγραφὲν ἀπὸ πατριαρχικοῦ κώδηκος ἐξεδόθη καὶ ὑπὸ Μ. Δ. Χαμουδοπούλου ἐν τῇ *Ἐκκλησ. Ἀληθείᾳ*, τόμῳ Β', σελ. 348—349. Προστίθεται δ' ἐνταῦθα, κατὰ τὴν ἔννοιαν τῆς ἐν σελίδι 310 σημειώσεως, καὶ ἡ ὑπὸ Γερμανοῦ Δ' τοῦ ἀπὸ Δέρκων λύσις τῶν ἐπιτιμίων (ἴδε καὶ σελίδα 335 τοῦ παρόντος τόμου τῶν «Κανονικῶν Διατάξεων»), οὕτω δὲ κλείεται τούτων ὁ Α' τόμος, ἔχων ὡς συμπλήρωμα τρία ἔγγραφα 1] τὸν Τόμον τὸν εἰς Ρωσσίαν σταλέντα τῷ 1663, λύοντά τινας ἀπορίας τῶν αὐτόσε ὀρθοδόξων· 2] γράμμα τοῦ πατριάρχου Γρηγορίου ς' τοῦ ἀπὸ Σερρῶν περὶ τῶν τοῦ γάμου συστατικῶν καὶ 3] τοῦ αὐτοῦ τὸν περὶ συνοικεσίων Τόμον, διότι μετὰ τοσαύτας ἐκδοθείσας ἐνταῦθα περὶ συνοικεσίων διατάξεις εὔλογόν ἐστι ἵνα παρασυναφθῇ ὁ τοῦ Γρηγορίου Τόμος ὁ τοὺς βαθμοὺς τοῦ γάμου καθορίζων. Τὸ περιεχόμενον τοῦ Β' τόμου τῶν μετὰ χεῖρας «Κανονικῶν διατάξεων» ὁ ἀναγνώστης εὑρήσει ἐν τῷ προλόγῳ τοῦ τόμου τούτου.

ΣΥΜΠΛΗΡΩΜΑ

ΡΙΓ'.

Τόμος ζητημάτων τινῶν ἀναγκαίων, ὧν αἱ λύσεις ἐγένοντο παρὰ τῶν ἁγιωτάτων καὶ μακαριωτάτων τεσσάρων πατριαρχῶν, καὶ ἐξεδόθησαν δοκιμασθεῖσαι κατὰ τοὺς ὅρους καὶ κανόνας τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ἐν εἴδει ἐρωτήσεως καὶ ἀποκρίσεως· κατὰ τὸ σωτήριον ἔτος ,αχξγ'.

Ἐν ὀνόματι τοῦ ἀγεννήτου καὶ ἀναιτίου Πατρὸς, καὶ τοῦ γεννητοῦ καὶ αἰτιατοῦ Υἱοῦ, καὶ τοῦ αἰτιατοῦ καὶ ἐκπορευτοῦ παρὰ μόνου τοῦ Πατρὸς ἁγίου Πνεύματος, τῆς παναγίας, καὶ μακαρίας, καὶ ζωοποιοῦ, καὶ ἀδιαιρέτου, καὶ ἀσυγχύτου, καὶ βασιλικῆς Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, ἐξ ἧς πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον χορηγεῖται τῇ κτίσει.

Προοίμιον.

Ἐκ Θεοῦ ἄρχεσθαι καὶ εἰς Θεὸν ἀναπαύεσθαι, ἡ θεολόγος παρεγγυᾶται φωνὴ τοῖς μέλλουσιν ὅπως δήποτε ἐμβατεύειν πράγμασι σωστικοῖς τε τῶν ψυχῶν καὶ συντηρητικοῖς ἀρχαίων ἐθῶν· πᾶσα γὰρ ἀπόφασις τὰς ἀφορμὰς ἐκεῖθεν λαβοῦσα, εἰς εὔχρηστον ἀπολήγει πέρας καὶ ἀρέσκον αὐτῷ· ἀλλὰ καὶ ὁ προφητικώτατος Σολομὼν φάσκων ἐν τοῖς ἰδίοις πονήμασι: σύνεσις ἐν πολλῇ βουλῇ, δίδωσιν ἐννοῶν, ὅση ἐστὶ πρὸς ὠφέλειαν ἡ ἀπὸ τῶν ἱερῶν κανόνων ἐπαγομένη βουλὴ, καὶ ἡ ἀπὸ τῶν θείων πατέρων συλλεγομένη σύνεσις· τῇ γὰρ συνδρομῇ τῶν πολλῶν βουλευμάτων κατατροποῦμεν τὸ λανθάνον καὶ ὑποκαθήμενον ἀσύνετον νόημα, ἐκ-

θρώσκει δὲ τὸ συνετὸν κοινοβούλιον, ὡσεί τις ὁπλιτοπάλας ἀκοντιστής, πᾶσαν ἀμφιβολίαν εὐσθενῶς διαλύον· διὸ οὐδέ τις ἂν ἀμφιγνωμήσειε τοὺς ἐκ Θεοῦ ἀρχομένους καὶ εἰς Θεὸν ἀναπαυομένους, τῇ συνδρομῇ τῶν πολλῶν καὶ καλῶν βουλευμάτων, μὴ τυχεῖν τῶν ὧν δι' ἐφέσεως ἔχουσι· τοίνυν θαρρήσαντες τούτοις ἅτε τῷ Θεῷ λατρευταὶ, καὶ τῷ κοινοβουλίῳ τῶν ἀποστόλων καὶ κανόνων καὶ συνοδικῶν ἀποφάσεων ἐπερειδόμενοι, πρὸς τὰς ἐρωτήσεις τὰς ἀποκρίσεις [ποιούμεθα], πρὸ πάντων τῆς ἀπὸ τούτων ψυχικῆς ὠφελείας στοχαζόμενοι.

Σημειωτέον ὅτι Τόμος λέγεται ἡ ἐπαγομένη παρὰ τῆς συνόδου ἀπόφασις ἐφ' οἱασδήποτε ὑποθέσεως, τὸ τέμνειν πάσας τὰς ἀμφιβολίας καὶ διαλύειν πάσας τὰς προσφερομένας ἀμφισβητήσεις· ὥσπερ καὶ ὁ Νόμος διὰ τὸ νέμειν ἑκάστῳ τὸ ἀνῆκον δίκαιον καὶ μερίζειν τὰ ὁπωσοῦν δοκοῦντα συγκεχυμένα καὶ δυσδιάκριτα.

Ἐρώτησις κεφ. α'.

Τί ἐστι βασιλεύς;

Ἀπόκρισις.

Ἀπὸ τοῦ μεγάλου Νομίμου τῆς Μεγάλης Ἐκκλησίας ἐν κεφαλαίῳ Α' εἰς τὸ Β στοιχεῖον: βασιλεύς ἐστιν ἔννομος ἐπιστασία· κοινὸν ἀγαθὸν πᾶσι τοῖς ὑπηκόοις· μήτε κατὰ προσπάθειαν ἀγαθοποιῶν, μήτε κατ' ἀντιπάθειαν τιμωρῶν, ἀλλὰ ἀναλόγως ταῖς τῶν ἀρχομένων ἀρεταῖς, ὥσπερ τις ἀγωνοθέτης, τὰ βραβεῖα ἐξ ἴσου παρεχόμενος, μηδὲ καινὰς εὐεργεσίας εἰς βλάβην ἄλλων τισὶ χαριζόμενος.

Ἑρμηνεία.

Τὸν βασιλέα ὥσπερ κεφαλὴν πάντων καὶ κολοφῶνα εὐεργετικὸν εἶναι δεῖ πρὸς πάντα τὰ ὑποκείμενα αὐτῷ μέλη καὶ οὔτε τῇ προσπαθείᾳ τῆς ἀγάπης ἡττώμενον ἀγαθοποιεῖν τοὺς ἀμετόχους ἀρετῆς, οὔτε κακοποιεῖν τοὺς ἀξίους τιμῆς, πάθει τινὶ φερόμενον, ἢ μίσει, ἀλλ' ὡς τῆς δικαιοσύνης ἐργάτην παρορᾶν ἅπαν πάθος,

ἀναλόγως βραβεύειν τὰς ἀμοιβάς, καὶ μὴ εὐεργετεῖν καὶ διδόναι εὐεργεσίας καινάς, ἤτοι ἀσυνήθεις, πρός τινας, ὧν εὐεργεσιῶν οἱ παρ' ἀξίαν τετιμημένοι, εἰς βλάβην ἄλλων ἐπιδραττόμενοι, κέχρηνται ταύταις ἐπὶ συγχύσει καὶ ἀταξίᾳ, ἔσθ' ὅτε καὶ πρὸς ἐναντίωσιν τοῦ εὐεργετήσαντος· διὸ σκεπτέον τοὺς βασιλεῖς μὴ διδόναι τὴν δόξαν αὐτῶν ἑτέρῳ, μηδὲ καινοτομεῖν ἐπὶ τὰς εὐεργεσίας, κατὰ τὸ λέγον «μὴ δὸς ἑτέρῳ τὴν δόξαν σου».

Νόμος.

Σκοπὸς τῷ βασιλεῖ τῶν τε μενόντων καὶ ὑπαρχόντων δυνάμεων, δι' ἀγαθότητος ἡ φυλακὴ καὶ ἡ ἀσφάλεια, καὶ τῶν ἀπολωλότων δι' ἀγρύπνου ἐπιμελείας ἡ ἀνάληψις, καὶ τῶν ἀπόντων διὰ σοφίας καὶ δικαίων τρόπων καὶ ἐπιτηδεύσεων ἡ πρόσκτησις· τέλος τῷ βασιλεῖ τὸ εὐεργετεῖν, διὸ καὶ εὐεργέτης λέγεται ἐξαιρέτως, καὶ ἡνίκα τῆς εὐεργεσίας ἐξατονήσει δοκεῖ κιβδηλεύειν κατὰ τοὺς παλαιοὺς τὸν βασιλικὸν χαρακτῆρα· ἐπισημότατος οὖν ὀφείλει εἶναι ὁ βασιλεύς, καὶ ἐν θείῳ [ζήλῳ;] περιβόητος.

Ἑρμηνεία.

Ἐκ τούτων συνάγεται ὅτι ὁ βασιλεὺς ἐστὶ κύριος πάντων ὡς ἐκδεχομένων παρ' αὐτοῦ πάντων τῶν ὑπηκόων εὐεργεσίας, τῶν δὲ ὁπωσδήποτε ἀνθισταμένων, τιμωρίας, εἰ τυχὸν εἴη ὁ ἀνθιστάμενος αὐτῷ καὶ ὁ κατὰ τόπον ἐκκλησιαστικῶς προϊστάμενος· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ, ἀλλ' εἰς ἔπαινον τῶν ἀγαθοποιῶν, τιμωρίαν δὲ τῶν κακοποιῶν· ἔκδικος γὰρ ἐστὶ Θεῷ· διὸ καὶ γέγραπται: τὸν Θεὸν φοβεῖσθε· τὸν βασιλέα τιμᾶτε· καὶ ὑπὲρ βασιλέων εὔχεσθε.

Ἐρώτησις κεφ. ϐ'.

Ἆρα δεῖ ἁπλῶς πάντας καὶ μάλιστα τὸν κατὰ τόπον ἐπίσκοπον ἢ πατριάρχην ὑπείκειν καὶ ὑποτάσσεσθαι τῷ ἡγεμονεύοντι βασιλεῖ κατὰ πάσας τὰς πολιτικὰς ὑποθέσεις καὶ κρίσεις, ὥστε ἕνα εἶναι τὸν κύριον καὶ ἡγεμόνα, ἢ οὔ;

Ἀπόκρισις.

Εἰς τὸ ΞΔ' κεφάλαιον τοῦ μεγάλου Νομίμου, φέρεται ἀπὸ τοῦ Τόμου τῆς ἐγγραφῆς πρὸς τὸν ποτὲ βασιλέα κὺρ Μανουὴλ τοῦ ἁγιωτάτου οἰκουμενικοῦ πατριάρχου κὺρ Μιχαὴλ, ταυτὶ, Θεὸν ὀρθῶς σέβεσθαι, μετὰ δὲ, τὸν βασιλέα τιμᾶν, καὶ εἰλικρινῆ πίστιν φυλάττειν πρὸς ἄμφω πάντας τοὺς εὐσεβεῖν βουλομένους, νόμοις αὐτοῖς ἅπασιν εὐσεβοῦσι περὶ τὸ θεῖον, ὡς ἀναγκαίως πρόπαλαι τέθειται· δυοῖν γὰρ ὄντοιν τούτοιν πάσης ὑπερκειμένοιν ἀνθρωπίνης τιμῆς, ἐν οἷς ᾠκείωται πάντως ἡ τῆς ὀφειλομένης περὶ ταῦτα πίστεως ἐντολή· ὃ γὰρ ὁ Θεὸς (ἐν οἴκῳ;) καὶ ἐν ἅπασι, τοῦτ' ἐπὶ γῆς μετὰ Θεὸν ἐν τοῖς ὑπὸ τὴν αὐτοῦ ἐπικράτειαν τὸ βασιλικὸν ὕψος τε καὶ ἀξίωμα· καὶ ὁποῖον τρόπον ὁ τὴν περὶ τὸ θεῖον πίστιν ἀπαρνησάμενος τῆς ὀρθοδόξου ὁμηγύρεως ἐξωστράκισται, τὸν αὐτὸν καὶ ὁ τὴν περὶ τὸ βασίλειον πίστιν ἐξωμοσάμενος, καὶ δολερῶς καὶ ὑπούλως πρὸς αὐτὸ διακείμενος ἀνάξιος ἡμῖν δοκεῖ ἀπὸ Χριστοῦ κεκλῆσθαι καὶ ὀνομάζεσθαι, εἴπερ δὴ χριστὸς Κυρίου καὶ ὁ τὸ στέφος τοῦ κράτους καὶ τὸ διάδημα περικείμενος· ἐπεὶ οὖν οὕτω ταῦτα ἔχει, καὶ ἀπαραίτητον χρέος ἔχομεν ἕκαστος ἔνθεν πίστιν καὶ πρὸς τὸν κραταιὸν ἡμῶν βασιλέα φυλάττειν διὰ παντός· καὶ μετ' ὀλίγον, συνοδικῶς τὰ παρόντα διατιθέμεθα καὶ διοριζόμεθα τοῦ λοιποῦ, πάντας τοὺς εἰς ἀρχιερωσύνης ὕψος ἀναγομένους, ἁγιωτάτους φαμὲν πατριάρχας, τὴν αὐτῶν διδόναι ἀσφάλειαν, καὶ περὶ τῆς εἰς τὸν κραταιὸν βασιλέα πίστεως, ἣν καὶ περὶ τοῦ κατ' αὐτὸν ὀρθοδόξου φρονήματος ἕκαστος δίδωσιν.

Ὅρα τὴν ὁμολογίαν τοῦ πατριάρχου μεθ' ὅσης εὐλαβείας λέγεται, καὶ σκόπει ἀκριβῶς τὰς λέξεις καὶ τὴν ἔννοιαν: ὁμολογῶ διὰ τῆς παρούσης μου ἐγγραφῆς ἵνα φυλάττω πρὸς σὲ τὸν κραταιὸν αὐτοκράτορα βασιλέα καθαρὰν πίστιν καὶ εὔνοιαν, καθὰ χρεωστῶ τοῦτο ἀπὸ φυσικοῦ καὶ νομίμου χρέους, καὶ ἵνα ὑπάρχω εἰς τὸν ὁρισμὸν καὶ εἰς τὸ θέλημα καὶ εἰς τὸ πρόσταγμα τῆς βασιλείας σου, καὶ κατὰ παντὸς ἀνθρώπου ἐναντιουμένου τῷ παρόντι

ὅρκῳ· καὶ μετ' ὀλίγα· οὐ μόνον εἰς τὸν βασιλέα, ἀλλὰ καὶ εἰς τὴν βασίλισσαν, καὶ εἰς τὰ βασιλίδια αὐτῶν τὸν ὅρκον ἀπευθύνει λέγων· εἰ δὲ συμβῇ τὸ κοινόν τινι αὐτῶν ἀποδοῦναι χρέος, ἵνα ἔχω ἀπεντεῦθεν χωρὶς ἀμφιβολίας οἱασδήτινος ἢ χρείας ἑτέρου ὅρκου πρὸς τὸν περιπόθητον υἱὸν τῆς ἁγίας σου βασιλείας φυλάσσειν ἐπ' αὐτὸν τὴν αὐτὴν καθαρὰν πίστιν καὶ ἄδολον εὔνοιαν· καὶ μετ' ὀλίγα· σωζομένης δὲ τῆς πρὸς αὐτὸν πίστεως, καὶ εὐνοίας μου, καὶ τῆς τιμῆς τῆς βασιλείας σου, ἵνα ὑπάρχω καὶ εἰς τὸν ὁρισμὸν καὶ εἰς τὸ θέλημα καὶ πρόσταγμα τῆς περιποθήτου αὐγούστης τῆς ἁγίας σου βασιλείας· καὶ μετ' ὀλίγα· ἵνα ὑπάρχω εἰς τὸν ὁρισμὸν καὶ εἰς τὸ θέλημα καὶ πρόσταγμα τῆς βασιλείας σου καὶ ποιήσω καθὼς ἂν διορίσηται ἡ βασιλεία σου ἐγγράφως τε καὶ ἀγράφως, ἢ περὶ τῆς περιποθήτου σου θυγατρὸς τῆς περιφανεστάτης (. . . .) καὶ τοῦ μέλλοντος αὐτῇ συζευχθῆναι, ἢ περὶ ἄλλης τινὸς οἰκονομίας ὁρισθησομένης παρὰ τῆς βασιλείας σου· ἐὰν δὲ γένηται οἱοσδήτις δισταγμὸς,, ἢ ἀμφιβολία, ἀπευθύνω ἐμαυτὸν εἰς τὴν περὶ τούτων ἑρμηνείαν, κατὰ τὸν ὁρισμὸν τῆς βασιλείας σου, καὶ ὡς φυλάξω ταῦτα διὰ τῆς παρούσης μου ἐγγραφῆς σῶα καὶ ἀπαράθραυστα, ἐκτὸς δόλου καὶ πάσης παροινίας, ἢ παρερμηνείας τινὸς, οὕτως εἴη μοι καὶ τὸ θεῖον ἵλεων.

Ἐκ τούτων συνάγεται, τὸν μὲν βασιλέα κύριον εἶναι καὶ ἐξουσιαστὴν παντὸς πολιτικοῦ πράγματος μόνον, τὸν δὲ πατριάρχην εἶναι ὑποκείμενον αὐτῷ ὡς ἐν ἐξουσίᾳ ὑπερεχούσῃ, ὄντι καὶ ἐκδίκῳ Θεῷ, καὶ μηδαμῶς ἐξεῖναι βούλεσθαι ἢ μετασχηματίζειν τὰς ἀρχαίας τάξεις καὶ συνηθείας, ἢ καινὰς ἀκολουθίας εἰσφέρειν τῇ Ἐκκλησίᾳ, ἢ παρασαλεύειν καὶ μετακινεῖν τὰς διατυπώσεις τῶν ἱερῶν λειτουργιῶν, παρὰ τὰς διατεταγμένας καὶ κεκανονισμένας, τήν τε τοῦ ἱεροῦ Χρυσοστόμου καὶ τοῦ μεγάλου Βασιλείου, καὶ τῶν προηγιασμένων, ἀλλὰ φυλάσσειν πρὸς μὲν τὸν βασιλέα πίστιν ὀρθὴν, πρὸς δὲ τὰς ἐκκλησιαστικὰς παραδόσεις καὶ συνηθείας ἔχειν γνώμην ἀμετακίνητον, καὶ μηδαμῶς νεωτερίζειν ἐν ταύταις, ἄλλως δὲ ποιοῦντα ταῦτα καὶ ἀπαυθαδιά·

ζοντα ἢ πρὸς τὸν βασιλέα, ἢ πρὸς τὰς ἐκκλησιαστικὰς διατυπώσεις ἐκπίπτειν τῆς ἀξίας, ὥστε οὐ μόνον ἀρχιερέα, ἀλλὰ οὐδὲ χριστιανὸν λέγεσθαι· τοῦτο γὰρ σημαίνει τὸ ἀπὸ Χριστοῦ μὴ κεκλῆσθαι, ὡς τὸν χριστὸν Κυρίου παρενοχλοῦντα.

Ἐρώτησις κεφ. γ'.

Εἰ ἐστὶ δίκαιον, ὥσπερ ἐπάναγκες τὸν πατριάρχην διδόναι πίστιν πρὸς βασιλέα ἐγγράφως, οὕτω καὶ ζητεῖν παρ' αὐτοῦ ἔγγραφον;

Ἀπόκρισις.

Τοῦ Ἀποστόλου βοῶντος «πάντα κατὰ τάξιν γινέσθω», ποῖα φυλάττοιντο ἄν, εἰ καὶ ὁ πατριάρχης ζητεῖ ἔγγραφον παρὰ βασιλέως, κἂν περὶ ἐλαχίστης ὑποθέσεως· καὶ στάσις ἐπηκολούθησεν· ὅπου γὰρ δύο ἀρχαὶ μὴ τεταγμέναι ὑπαλλήλως, ἀλλ' ἀντεπεξερχόμεναι, ἐκεῖ καὶ στάσις· ὅπου δὲ στάσις, ἐκεῖ καὶ φθορά· διὸ καὶ τὸ ἀψευδὲς στόμα τοῦ Χριστοῦ ἔφησε· «πᾶσα ἀρχὴ καθ' ἑαυτὴν μεριζομένη ἀφανισθήσεται»· ὥς τε τὸ οὕτως αἰτεῖν, δόλου σημεῖόν ἐστι καὶ ὑπουλότητος, καὶ ὑποκλέπτοντος τὴν εἰρήνην, καὶ δέον ἀποσκορακίζεσθαι τὸν τοιοῦτον ὡς τῇ βασιλικῇ μοναρχίᾳ μαχόμενον· συνάγεται τοῦτο καὶ ἀπὸ τοῦ Ξ' τίτλου τοῦ βασιλικοῦ Νομίμου, κατ' οὐδένα τρόπον ἄδειαν ἔχειν τὸν τῆς Ἐκκλησίας προϊστάμενον ζητεῖν παρὰ βασιλέως ὑπόσχεσιν· οὐδεμία γὰρ ἄδεια δέδοται τοῖς προϊσταμένοις ζητεῖν ὑποσχέσεις παρὰ τοῦ ἡγεμονεύοντος πολιτικῶς ἐφ' οἱουδήτινος πράγματος, ἵνα μὴ τὸ ἓν εἰς δύο εὑρεθῇ διαιρούμενον, καὶ ἡ ἀπὸ τούτου ἕψοιτο φθορά.

Ἐρώτησις κεφ. δ'.

Εἰ δύναται ἐν ἐπαρχίᾳ τινὶ εὑρισκόμενός τις αἰτεῖν παρὰ βασιλέως ἐξουσιάζειν ἐν ἐκείνῃ;

Ἀπόκρισις.

Ὁ Ἀτταλιάτης εἰς τὸ Α' ἐν κεφ. ΡΟ' φησίν· «ἐάν τις ἐν ἐπαρχίᾳ ὢν αἰτήσῃ παρὰ βασιλέως ἄρχειν ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ,

ἱεροσυλίᾳ ὑπόκειται, εἰ μὴ ἄρα ὁ βασιλεὺς ἑκουσίως ἄρχοντα ποιήσει.

Ἐρώτησις κεφ. ε'.

Εἰ τὸ παρὰ βασιλέως διαταχθὲν νόμος ἐστὶ, καὶ ἔχει τὸ κῦρος;

Ἀπόκρισις.

Ὁ Ἀτταλιάτης φησὶν εἰς τὸ Α΄ ἐν κεφ. ΝΔ΄, ὁ δόξει ἤγουν ὅπερ ἀρέσει τῷ βασιλεῖ, νόμος ἐστὶν, εἴτε δι' ἐπιστολῆς ἐνυπογράφου ὁρίσει, εἴτε δι αγινώσκων ψηφίσει, εἴτε διὰ δογμάτων προαγορεύσει, ἤγουν προείπει, ταῦτα δὲ πάντα καὶ διατάξεις καλοῦνται, κυριώτερον δὲ τῶν ἄλλων τὰ δογματικῶς ἀγορευόμενα καὶ ὁριστικῶς διαλαμβάνοντα περί τινων ὑποθέσεων, διατάγματα λέγεται· ἐκ τούτων συνάγεται ὅτι οὐδεὶς οὐδεμίαν ἄδειαν ἔχει ἀνθίστασθαι τῷ βασιλικῷ ἐπιτάγματι· νόμος γάρ ἐστίν· οὐδ' ὁ ἐκκλησιαστικῶς προϊστάμενος, κἂν πατριάρχην εἴπῃς καὶ ἄνω βαθμοῦ· διό τις παιδευθήσεται, ὡς παρὰ νόμον διαπραττόμενος.

Ἐρώτησις κεφ. ς'.

Εἰ δύναται ἐπίσκοπος ἢ καὶ πατριάρχης, καὶ ὅσοι (;) διὰ τῶν τοιούτων ἐκκλησιαστικῶν ὀνομάτων σημαίνονται, ἀφορίζειν ὅντινα βούλοιντο, δι' ἰδίας αὐτῶν ὑποθέσεις, καὶ εἶναι τοὺς ἀφορισθέντας τῷ Θεῷ ὑπαιτίους, καὶ ὁ ἀφορίζων ἀλόγως ὑπαίτιός ἐστι τοῖς κανόσιν;

Ἀπόκρισις.

Ὁ τῆς ἐν Καθαργένῃ συνόδου ΡΛΓ΄ κανὼν φησὶν, ὁμοίως ἤρεσεν ἵνα «ἐφ' ὅσον τῷ ἀφωρισμένῳ οὐ κοινωνεῖ ὁ ἴδιος ἐπίσκοπος, τῷ αὐτῷ ἐπισκόπῳ ἄλλοι μὴ συγκοινωνήσωσιν ἐπίσκοποι, ὥστε μᾶλλον παραφυλάττεσθαι τὸν ἐπίσκοπον μὴ λέγειν κατά τινος»· ὅπερ ἑρμηνεύων ὁ Ζωναρᾶς φησίν· ἐφ' ὅσον καιρὸν ὁ ἐπίσκοπος ἐκεῖνος οὐ κοινωνεῖ τῷ ἀφορισθέντι, μηδὲ ἐκείνῳ, τῷ ἀφορίζοντι δηλαδὴ, κοινωνῶσιν οἱ ἄλλοι ἐπίσκοποι, καὶ μὴ κατά τινος λέγωσιν, ἃ ἐλέγξαι οὐ δύνανται· καὶ ὁ Βαλσαμὼν «ἀπὸ μὲν τοῦ παρόντος κα-

νόνος οὕτω κολάζεται ὁ ἀνευλόγως ἀφορίσας ἐπίσκοπος· ἐγὼ δὲ νομίζω ὅτι οὐ μόνον κολασθήσεται ὁ τοιοῦτος ἐπίσκοπος, ἀλλὰ τοῦ ἀνευλόγου τούτου ἀφορισμοῦ ἐκφωνηθέντος*, ὁ μὲν ἀφορισθεὶς παρὰ μείζονι ἀρχιερεῖ λυθήσεται τοῦ ἀφορισμοῦ**, ὁ δὲ ἀφορίσας τιμωρηθήσεται κατὰ τὴν Ἰουστινιάνειον Νεαράν· (Νεαρὰ βασιλέως Ἰουστινιανοῦ) «ἀπαγορεύομεν πᾶσι τοῖς ἐπισκόποις μὴ χωρίζειν τινὰ τῆς ἁγίας κοινωνίας, πρὶν ἂν ἡ αἰτία δειχθῇ, δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο κελεύουσι γίνεσθαι· εἰ δέ τις παρὰ ταῦτα τῆς ἁγίας κοινωνίας χωρίσει τινά, ἤτοι ἀφορίσει***, ἐκεῖνος μὲν ὡς ἀδίκως χωρισθεὶς****, λυόμενος ὑπὸ τοῦ μείζονος ἱερέως, τῆς κοινωνίας ἀξιούσθω, ὁ δὲ ἀδίκως ταύτης χωρίσας ὑπὸ τοῦ ἱερέως, ὑφ' οὗ τέτακται, ἀφορισθήσεται, ἵνα ὅπερ ἀδίκως ἐποίησε, δικαίως ὑπομένῃ, κατὰ ταύτην τε οὖν καὶ κολασθήσεται*****· (τοῦ Βαλσαμῶνος Θεοδώρου πατριάρχου Ἀντιοχείας), ὡς ὁ μὴ δι' αἰτίαν ἀφοριζόμενος τοῖς θείοις ἀπειρημένην κανόσι, δι' ἀλόγιστον μέντοι τοῦ ἀφορίζοντος θέλημα, ἀκινδύνως καταφρονήσει τοῦ ἀφορισμοῦ, καὶ μᾶλλον ὁ ἀφορίσας ὑπόδικος ἔσται κολάσει· εἰ γὰρ εὐκαίρως ἢ ἀκαίρως ἄδεια δοθείη τῷ ἐπισκόπῳ ἀφορίζειν, καὶ πρὸ ἀνάγκης ἔχειν τοὺς ἐπιτιμωμένους τὸν ἄκαιρον ἀφορισμὸν δεδιέναι, κἂν τυραννίδος κατατολμήσαιεν οἱ ἐπίσκοποι, καὶ τῆς εὐσεβείας κατορχήσαιντο, καὶ πολλῶν κακῶν αἴτιοι γένοιντο οἱ κανόνες, ὅπερ ἀτοπίας οὐδὲ μιᾶς ὑπερβολῆς ἀπολείπεται· καὶ ἀπὸ τοῦ ἁγίου Διονυ-

---

* *λαληθέντος* ἔχει ἡ ἑρμηνεία, παρὰ Ράλλῃ καὶ Ποτλῇ. Σύνταγμα τῶν Ἱερῶν Κανόνων· τόμ. Γ', σελ. 608.

** ὀρθότερον τοῦ παρὰ Ράλλῃ καὶ Ποτλῇ κειμένου εὕρηται ἡ γραφὴ αὕτη παρ' ἡμῖν. Ἐκεῖ γὰρ λέγει: *τοῦ ἀνευλόγου τούτου ἀφορισμοῦ λαληθέντος παρὰ μείζονι ἀρχιερεῖ, ὁ μὲν ἀφορισθεὶς λυθήσεται* κλπ.

*** τὸ *ἤτοι ἀφορίσει* ἐλλείπει ἐκ τοῦ παρὰ Βλαστάρει τεμαχίου· στοιχ. Α' κεφ. ιη'.

**** τὸ παρὰ Βλαστάρει τεμάχιον τῆς Νεαρᾶς γράφει: *ἐκεῖνος μέν, ὃς ἀδίκως τῆς κοινωνίας ἐχωρίσθη, λυόμενος τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως* κλπ. Αὐτόθι.

***** ὅλως διάφορον παρὰ Βλαστάρει τὸ χωρίον.

σίου Ἀρειοπαγίτου ἐκ τῆς θεωρίας τοῦ μυστηρίου ἐπὶ τῶν ἱερῶς κεκοιμημένων συνάγεται, ὅτι «ἐὰν παρὰ σκοπὸν τοῦ Θεοῦ ἀφορίσει τινὰ ὁ ἱεράρχης, οὐχ ἕπεται αὐτῷ καὶ τὸ θεῖον»· οὕτω καὶ τὰς ἀφοριστικὰς ἔχουσιν οἱ ἱεράρχαι δυνάμεις, ὡς ἐκφαντορικὰς τῶν θείων δικαιωμάτων, οὐχ ὡς ταῖς αὐτῶν ἀλόγοις ὁρμαῖς τῆς πανσόφου θεαρχίας εὐφήμως εἰπεῖν ὑπηρετικῶς ἑπομένης, ἀλλ' ὡς αὐτῷ ὑποφητικῶς ὑποκινοῦντι τῷ τελεταρχικῷ Πνεύματι τοὺς κεκριμένους Θεῷ κατ' ἀξίαν ἀφοριζόντων· καὶ ὁ ἱερὸς Συνέσιος πρὸς Θεόφιλον γράφων φησὶ περὶ τῶν τοιούτων, «οὐχ ἕπεται τὸ θεῖον παραλόγοις ὁρμαῖς»· καὶ ἀπὸ τῶν νομίμων: ὁ ἀρώμενος τινὰ ἢ ἀφορίζων ἀναιτίως οὐ μόνον ἐκείνῳ οὐ καθάπτεται, ἀλλὰ καὶ εἰς τὴν ἑαυτοῦ κεφαλὴν ἡ ἀρὰ ἐπιστρέφει· καὶ τὸ ἱερὸν φησὶ λόγιον «εὔχεσθε, καὶ μὴ καταρᾶσθε»· τὸ γὰρ δεσμεῖν, καὶ λύειν δοθὲν παρὰ τοῦ Κυρίου τοῖς ἱερεῦσιν, οὐκ ἐφεῖται πάντως δεσμεῖν καὶ λύειν κατὰ τὸ αὐτοῖς δοκοῦν, ἀλλὰ κατὰ τὸ ἀρέσκον Θεῷ· καὶ οὐδὲ διὰ ἰδίας αὐτῶν θελήσεις, ἔξεστι λύειν ἢ δεσμεῖν, ἀλλὰ διὰ τὰ τοῖς κανόσιν ἀπηγορευμένα· ὅθεν συνάγει τοὺς ἀλόγως ἀρωμένους ἢ ἀφορίζοντας ἀρχιερεῖς τινά, οὐ μόνον τὴν ἀρὰν καὶ τὸν ἀφορισμὸν πρὸς ἐκείνους ἐπιστρέφειν, ἀλλὰ καὶ ἀξίους εἶναι τιμωρίας, ὡς ὀργίλους καὶ ἀπερισκέπτως χωρίζοντας κατὰ τὴν αὐτῶν θέλησιν τινὰς τοῦ κοινοῦ σώματος τῆς Ἐκκλησίας, οὓς ὁ Σωτὴρ τῷ τιμίῳ αὐτοῦ ἐξηγόρασεν αἵματι, καὶ τῆς καθέδρας ἀποβλητέους, κατὰ τοὺς κανόνας· εἰ οὖν ἐπὶ τῶν τυχόντων οὐκ ἔχει χώραν ἡ παράλογος ἀρά, καὶ ὁ ἀφορισμός, πολλοῦ γε δεῖ ἐπὶ ἡγεμόνων καὶ οἷς ἡ ἀρχὴ ἐπιτέτραπται.

Ἐρώτησις κεφ. ζ'.

Ἐπειδὴ ἐλέγετο ἀνωτέρω ὅτι ὁ ἀφορισθεὶς ὑπὸ ἱερέως, λυόμενος ὑπὸ τοῦ μείζονος ἱερέως ἀξιοῦται κοινωνίας, ἔξεστιν ἐννοεῖν τὸ, ἱερέως ἀντὶ ἐπισκόπου καὶ μητροπολίτου, ὁμοίως καὶ τὸ ἐπίσκοπος ὄνομα, ἀντὶ μητροπολίτου καὶ πατριάρχου, ἢ οὔ;

Ἀπόκρισις.

Τὸ ἱερεὺς ὄνομα γενικὸν ὄνομα ἐστὶ παρὰ τοῖς κανόσι, καὶ λαμβάνεται ἀντὶ πρεσβυτέρου καὶ ἐπισκόπου· λεγόντων γὰρ τῶν κανόνων, ὁ ἀδίκως τῆς κοινωνίας χωρισθεὶς ὑπὸ ἱερέως, ὑπὸ τοῦ μείζονος ἱερέως λύεται, τὸ μὲν ἓν ἱερέως ἐννοεῖται ἀντὶ πρεσβυτέρου, ἢ ἐπισκόπου, τὸ δὲ ἕτερον ἱερέως ἀντὶ ἐπισκόπου, ἢ μητροπολίτου, ἢ πατριάρχου· οὕτω καὶ τὸ ἐπίσκοπος ὄνομα λαμβάνεται ἀντὶ ἐπισκόπου, τῷ γενικῷ ὀνόματι σημαινομένου, καὶ μητροπολίτου καὶ πατριάρχου· λεγόντων τῶν κανόνων, εἴ τις ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κρίνοιτο, ἔπειτα συμβαίνειν διαφωνεῖν τοὺς περὶ αὐτὸν ἐπισκόπους καὶ τὰ λοιπά, ἐννοεῖται τὸ μὲν ἐπίσκοπος ἀντὶ τοῦ ἢ μητροπολίτης, ἢ πατριάρχης, τὸ δὲ ἐπισκόπους ἀντὶ τοῦ ἢ ἐπισκόπους, ἐὰν ᾖ ὁ κρινόμενος, ἢ μητροπολίτης, ἐὰν ᾖ ὁ κρινόμενος πατριάρχης, καὶ οὐκ ἔστιν εἰπεῖν ἐνταῦθα ὡς οὐχ ὑπόκειται ὁ μητροπολίτης ἢ ὁ πατριάρχης τῇ περὶ αὐτὸν συνόδῳ, ὥστε μὴ κρίνεσθαι ὑπὸ τῶν περὶ αὐτὸν ἐπισκόπων, διὰ τὸ μὴ λέγεσθαι ῥητῶς ὑπὸ τοῦ κανόνος μητροπολίτην, ἢ πατριάρχην, ἀλλὰ ἱερέα καὶ ἐπίσκοπον· οὐ δύναται ἄρα τῇ προφάσει ταύτῃ ἐπειλημμένος ὁ κατὰ τόπον ἐκκλησιαστικῶς προϊστάμενος εἴτε μητροπολίτης, ἢ πατριάρχης, λέγειν μὴ ὑποκεῖσθαι τῇ κρίσει τῶν περὶ αὐτὸν ἐπισκόπων· ἐάν δ[έ τινα] τῶν περὶ ἑαυτὸν ἐγκαλεῖ, ἔκκλητον καλέσει ἀπὸ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, τὴν ἀπόφασιν ἐκδεκτέον· εἰ δὲ συναινέσειεν καὶ οἱ λοιποὶ πατριάρχαι, οὐδεμιᾶς ἔτι προφάσεως λείπεται χώρα περὶ ὧν ἐγκαλεῖται.

Ἐρώτησις κεφ. η΄.

Εἰ τῷ Κωνσταντινουπόλει θρόνῳ ἐφεῖται πᾶσα κρίσις ἄλλων Ἐκκλησιῶν καὶ παρ᾽ αὐτοῦ λαμβάνει ἑκάστη ὑπόθεσις ἐκκλησιαστικὴ πέρας;

Ἀπόκρισις.

Τὸ προνόμιον τοῦτο τῷ πάπᾳ Ῥώμης ἦν πρὸ τοῦ διαρραγῆ-

ναι τῆς καθολικῆς Ἐκκλησίας ὑπὸ ἀλαζονίας καὶ ἐθελοκακίας, ἤδη δὲ ἐκείνου διαρραγέντος, αἱ ὑποθέσεις πᾶσαι τῶν Ἐκκλησιῶν εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀναφέρονται, καὶ παρ' αὐτοῦ τὰς ἀποφάσεις λαμβάνουσιν ὡς τὰ ἴσα πρωτεῖα κατὰ τοὺς κανόνας ἔχοντος τῆς παλαιᾶς Ῥώμης· φησὶ γὰρ ὁ τέταρτος κανὼν τῆς Σαρδικῆς· «ἐάν τις ἐπίσκοπος καθαιρεθῇ τῇ κρίσει τῶν ἐπισκόπων τῶν ἐν γειτνίᾳ τυγχανόντων, καὶ φάσκῃ πάλιν ἑαυτῷ ἀπολογίας πρᾶγμα, μὴ πρότερον εἰς τὴν καθέδραν αὐτοῦ ἕτερον ἀποκαταστῆναι, εἰ μὴ ὁ τῆς Ῥώμης ἐπίσκοπος ἐπιγνοὺς περὶ τούτου ὅρον ἐξενέγκοι· ὅτι δὲ τὸ προνόμιον τοῦτο ἐπὶ τὸν οἰκουμενικὸν θρόνον μετενήνεκται, μάθοις ἂν ἐκ πολλῶν, οὐχ ἧττον δὲ ἐκ τῶν σχολίων τοῦ μεγάλου Νομίμου λεγόντων· «ἐκ τούτου τοῦ κανόνος τὸ ρωμαϊκὸν ἦρται εἰς ἀλαζονίαν· καὶ τοῦτον οἱ τῆς ἐν Νικαίᾳ πάλαι προβαλλόμενοι ἐπὶ τῆς ἐν Καρθαγένῃ συνόδου ἑάλωσαν κακοῦργοι οἱ τούτων προεδρεύοντες, ὡς αὐτὸ δηλοῖ τὸ συνοδικὸν προοίμιον τῆς ἐν Καρθαγένῃ, καὶ κατωτέρω· ἐκ τούτου τοῦ κανόνος αὐχοῦσιν οἱ τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεῖς ἐνδεδόσθαι αὐτοῖς τὰς ἐκκλήτους πάσας τῶν ἐπισκόπων· καὶ παρακατιὼν φησίν· οὐ πάσας τὰς ἐκκλήτους τῶν ἐπισκοπῶν ἀνατίθησιν αὐτῷ, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ ἐπαρχιῶν, αἵτινες, φησὶν, ὕστερον τῷ Κωνσταντινουπόλεως ὑπετέθησαν, ὡς ἐκείνῳ λοιπὸν καὶ τὰς ἐκκλήτους αὐτῶν ἀνήκειν»· καὶ ἐκ τοῦ Βαλσαμῶνος· «μὴ εἶναι τὰ περὶ τοῦ πάπα ὁρισθέντα ἰδικὰ τούτου καὶ μόνου προνόμια, ἀλλ' ἐξακούεσθαι καὶ εἰς τὸν Κωνσταντινουπόλεως· ἤδη δὲ ἀπορραγέντος τοῦ ἐπισκόπου τῆς Ῥώμης ἀπὸ τῆς καθολικῆς Ἐκκλησίας, μόνον εἰς τὸν οἰκουμενικὸν ἀναφέρονται θρόνον· εἰ δὲ συναινοῦσι καὶ οἱ λοιποὶ πατριάρχαι, εἰ τυχὸν εἴη μείζων ὑπόθεσις, ἀμετάβλητος ἔσται ἡ ἐξενεχθεῖσα ἀπόφασις».

Ἐρώτησις κεφ. θ'.

Ἀλλ' εἴποι τις διὰ τὸ περιλειφθῆναι τὰς ἐπαρχίας τῶν πατριαρχῶν ὑπὸ ἐξουσίας, οὐκ ἔστιν αὐτοῖς ἡ προτέρα τιμὴ καὶ ἐξου-

σία, ὥστε ψηφίζεσθαι καὶ κρίνειν ἐκκλησιαστικῶς ὑποθέσεις ὡς καὶ προτοῦ;

Ἀπόκρισις.

Ἀπὸ τοῦ μεγάλου Νομίμου τῆς Μεγάλης Ἐκκλησίας, κατὰ τὴν γνώμην τῶν θείων Πατέρων, μετὰ τὰ πολλά· «διὰ ταύτην τὴν αἰτίαν, ὡς ἔοικε, προτετύπωται, προβάλλεσθαι κατὰ τὸ ἀπαραίτητον καὶ τοὺς μὴ ἔχοντας πατριάρχας τοὺς ἀποκληρωθέντας αὐτοῖς ἁγιωτάτους θρόνους, διὰ τὴν ἐπιδρομὴν τῶν ἐθνῶν». Εἰ οὖν τῷ τότε τοὺς ἀπὸ τῶν θρόνων αὐτῶν ἀποδεδιωγμένους ὄντας πάσης τιμῆς ἀξιοῦσθαι κεκανόνισται, [πῶς οὐκ] ἤδη, χάριτι Χριστοῦ, σωζομένους εἰς τοὺς αὐτῶν θρόνους, [; καὶ] πῶς ἡ τούτων ἀπόφασις καὶ κρίσις περὶ ἐκκλησιαστικῆς ὑποθέσεως ἄδεκτος; ἐκ τούτων συνάγεται κοινῇ γνώμῃ τοὺς [μὴ θέ]λοντας τῶν ἐπισκόπων, διὰ τὸ εὑρίσκεσθαι τοὺς πατριάρχας ὡσεὶ καὶ ἐλεύθεροι ἦσαν, οὔτε τὴν ἐκκλησιαστικὴν αὐτῶν κατὰ νόμους ἀπόφασιν στέργοντας παιδεύεθαι, ὡς ἐναντιουμένους τῷ θείῳ βουλήματι, καὶ τῇ (;) αἰσθήσει συζῶντας, καὶ μηδὲν βαρύτερον ἐννοῶντας, καὶ τῶν ἰδίων βαθμῶν ἐκπίπτειν· εὑρήσει δ' ἄν τις σποράδην πλεῖστα περὶ τῆς τιμῆς τούτων σαφῶς διαγγέλλοντα.

Ἐρώτησις κεφ. ι'.

Εἰ ἐφεῖται τῷ βουλομένῳ, εἴτε πατριάρχῃ, εἴτε μητροπολίτῃ, εἴτε ἐπισκόπῳ, τίτλους ἑαυτοῖς ἐπιγράφειν τοὺς ἀρέσκοντας ὑπὸ ἀλαζονίας, καὶ παραχαράττειν τὸν δοθέντα κανονικῶς τίτλον ἑκάστῳ, ἢ λέγεσθαι καὶ ἐπιγράφεσθαι αὐθέντην, ὡς τοῦ ὀνόματος τούτου ἰδιαζόντως τοῖς πολιτικοῖς ἡγεμόσι προσήκοντος;

Ἀπόκρισις.

Ἐκ τοῦ μεγάλου Νομίμου τῆς Μεγάλης Ἐκκλησίας ἐν τῷ Λϛ', εἶτα τῶν θείων καὶ ἁγίων κανόνων καὶ τῶν πατρικῶν παραδόσεων κατονομαζουσῶν πάπαν τὸν τῆς Ἀλεξανδρείας, καὶ τὸν [τῆς]

Κωνσταντινουπόλεως καὶ [τὸν τῶν] Ἱεροσολύμων ἀρχιεπίσκοπον, μόνον δὲ τὸν Ἀντιοχείας πατριάρχην, πῶς ἡ τῶν ἀντιοχέων ἐκκλησία οὐχ ὑβριοπαθεῖ, μανθάνουσα καὶ τοὺς λοιποὺς πατριάρχας ἀνακηρύττεσθαι, πάντως διὰ τὴν ταυτότητα τῆς τιμῆς· καὶ μετ' ὀλίγα· ἐπειδὴ δέ τινες λέγουσι μηδὲν εἶναι τὸ ἐμποδὼν καὶ τοὺς ἑκασταχοῦ ἀρχιερεῖς οὕτω τιμᾶσθαι καὶ μεγαλύνεσθαι· καὶ οὗτοι γὰρ διδασκαλικοῦ ἀξιώματος κατηξίωνται, καὶ κατὰ Μωσέα καὶ Ἀαρὼν εἰς τὰ ἅγια τῶν ἁγίων ἑστήκασι· φαμὲν ὡς ἀπὸ θείων καὶ ἱερῶν κανόνων μόνοις τοῖς πατριάρχαις πεφιλοτίμηται τῆς οἰκουμένης τὰ κλίματα· κἀντεῦθεν οὐδὲ ἔχει τις ἕτερος οἰκείῳ δικαίῳ ἐνορίαν, ἢ ἄλλο τι προνόμιον ἐπισπᾷν, ἀλλ' ἐκεῖνο καὶ μόνον τὸ μέρος τῆς διοικήσεως ἱερατικῶς ἐνεργεῖν, τὸ δοθὲν αὐτῷ παρὰ τῆς πατριαρχικῆς θείας μεγαλειότητος· καὶ μετ' ὀλίγα· εἴποι τις ἄν, ὅτου χάριν ὁ πάπας Ῥώμης οἰκουμενικὸς πάπας ἐλέγετο πρὸ τοῦ διαρραγῆναι*, ὡσαύτως καὶ ὁ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως οἰκουμενικὸς πατριάρχης, οἱ δὲ λοιποὶ πατριάρχαι, τῆς αὐτῆς ὄντες τάξεως, κλήσεώς τε καὶ τιμῆς, οὐκ ἔτυχον καὶ τῆς ἀνακηρύξεως ταύτης, ἤτοι τῆς πατριαρχικῆς· ἐπεὶ δὲ τὸν μὲν πάπαν ὁ τῆς φιλαυτίας δαίμων τῆς τῶν λοιπῶν πατριαρχῶν ἀπέστησεν ὁμηγύρεως, καὶ εἰς μόνην τὴν Δύσιν ἐστενοχώρησε, τὸν Κωνσταντινουπόλεως βλέπω μηδενὶ τῶν προνομίων τοῦ πάπα κατακοσμούμενον· οὔτε γὰρ τῷ τῆς βασιλείας λώρῳ** καταστέφεται, οὔτε κοκκινοβαφέσι πεδίλοις κατὰ τὸ τυπωθὲν θεατρίζεται, ἀλλ' οὐδὲ ἑτέρῳ προνομίῳ τῆς παλαιᾶς Ῥώμης κέχρηται, καὶ διὰ τοῦτο οἱ πόδες αὐτοῦ ἵστανται ἐν εὐθύτητι, καὶ ἡ κεφαλὴ αὐτοῦ παντοίᾳ συνέσει, κατὰ τὸν Δαυΐδ, πεπολίωται, καὶ τὰς οἰκείας δὲ

* Οὐκ ἐμπεδοῦται τὸ χωρίον ταῖς ἀπαιτουμέναις μαρτυρίαις καὶ παραπομπαῖς. Τὸ Μέγα Νόμιμον τῆς Μ. Ἐκκλησίας ἐσώζετο χειρόγραφον, ὡς ἔοικε, τότε, ἄγνωστον δ' εἴπερ ἐπλούτει τὰς ἀναγκαίας μαρτυρίας.

** Τὸ περὶ λώρου φιλοτιμία δῆθέν ἐστι τοῦ μακαρίου ἰσαποστόλου Κωνσταντίνου, κατὰ τὸ παρέγγραπτον ἐκεῖνο θέσπισμα τοῦ αὐτοκράτορος τούτου· βλέπε τοῦτο προχείρως παρὰ Ματθαίῳ τῷ Βλαστάρει· Συντάγμ. στοιχ. Ε', κεφ. ιά.

ὑπογραφάς, ὡς οἰκουμενικός, οὐ μεγεθύνει πῦρ, κἂν παρ' ἡμῶν οὕτω κέκληται καὶ δεδόξασται· καὶ μετ' ὀλίγα· εἰ δὲ τοῦ θείου καταλόγου τῶν ἀρχιερέων εἰσὶ, βαβαὶ πῶς ἄν τις εἴποι καὶ διηγήσεται τὴν ἐπαγομένην τούτοις κατάκρισιν· ποίας γὰρ συγγνώμης ἀξιωθήσεται ὁ διδάσκειν κανόνας ἐπαγγειλάμενος, καὶ κανόνων μὴ βλέπων ὑψηλότητα· πάντως οὐδεμιᾶς, ἀκούσει δὲ μᾶλλον ἀπὸ Θεοῦ: σὺ ἀπώσω δικαιοσύνην, καγὼ ἀπώσωμαί σε τοῦ ἱερατεύειν μοι· ἐκ τούτων τοίνυν συνάγεται καὶ ἐκ πολλῶν ἄλλων, τοὺς θέλοντας τῶν ἀρχιερέων τίτλους ἀσυνήθεις ἑαυτοῖς ἐπιγράφειν, καὶ ἀνακηρύττειν ἑαυτοὺς αὐθέντας, ὡς τῇ κοσμικῇ δόξῃ κεχηνότας, καὶ ὑπὸ ἀλαζονίας πεφυσιωμένους τὰ μὴ διορισθέντα αὐτοῖς προνόμοια ὑπὸ τῶν ἱερῶν Συνόδων καὶ βασιλέων προσοικειοῦντας, ἀποτόμως παιδεύεσθαι, καὶ τῆς ἀρχιερατικῆς ἀξίας ἐκπίπτειν, ὡς οὐ μὴ μιμητὰς ὄντας τοῦ πράου Σωτῆρος ἡμῶν Χριστοῦ, ἀλλὰ τῇ σατανικῇ ἀλαζονίᾳ πεφυσιωμένους, αὐθέντας ἐπιφημίζεσθαι ἐθέλοντας, ζητοῦντας τὸν ὑπερήφανον σατανᾶν, ὑπισχνούμενον δώσειν τῷ Σωτῆρι τὰς βασιλείας τοῦ κόσμου· δέον δούλους ἐγγράφεσθαι καὶ ταπεινούς· ὅθεν ἀκούσουσι παρὰ μὲν τοῦ Σωτῆρος: ὕπαγε ὀπίσω μου σατανᾶ· ἐκ στόματος δὲ τοῦ Θεοῦ: σὺ ἀπώσω δικαιοσύνην, ἤτοι μὴ ζητεῖν τὰ μὴ ἀνήκοντα, καγὼ ἀπώσομαί σε τοῦ ἱερατεύειν μοι· τὸ δὲ ἀπωσθῆναι τί ἂν εἴη ἢ τὸ ἐκπεπτωκέναι τῆς ἀρχιερατικῆς καθέδρας διὰ καθαιρέσεως τοὺς τοιούτους ἀλαζόνας;

Ἐρώτησις κεφ. ια'.

Εἰ δύναται μητροπολίτης ἢ πατριάρχης ἐπιγράφεσθαι καὶ φημίζεσθαι ἀρχηγὸς ἑτέρας ἐπαρχίας, μὴ ὑποκειμένης τῷ ἑαυτοῦ θρόνῳ;

Ἀπόκρισις.

Οἱ θεῖοι κανόνες ἁπαξάπαντες ἀντίκεινται τῷ κατατολμῶντι ἀρχιερεῖ τῶν ἀτοπημάτων τούτων, οἵ τε τῶν ἱερῶν Ἀποστόλων, οἵ τε τῶν θείων Συνόδων· ὅθεν ὁ [ΛΕ'] κανὼν τῶν [ἁγίων] Ἀπο-

στόλων φησὶν, ἐπίσκοπον ὑπερόρια μὴ χειροτονεῖν παρὰ γνώμη τῶν ἐγχωρίων· ἐλεγχθέντα δὲ καθαιρεῖσθαι μετὰ τοῦ χειροτονηθέντος, καὶ τοῦ θρόνου τῆς ἐπαρχίας αὐτοῦ ἐκπίπτειν, ὡς καταφρονητὴν τῶν πατρικῶν θεσμῶν*· ὅρια γὰρ, φησὶν, αἰώνια μὴ μέταιρε.

Ἐρώτησις κεφ. ιϐ'.

Εἰ δύναται ἀρχιερεὺς καταναλίσκειν τὰ τῆς ἐκκλησίας εἰσοδήματα, ὅπου ἂν ἐθέλοι, καὶ κτίζειν ἀπὸ τούτων μοναστήρια, ἢ κατοικίζειν χώρας;

Ἀπόκρισις.

Ὁ ΛΗ' τῶν Ἀποστόλων κανὼν, καὶ ὁ ΚΕ' τῆς ἐν Ἀντιοχείᾳ Συνόδου φασὶ, διοικείτω μετ' ἐξουσίας ὁ ἐπίσκοπος τὰ τῆς ἐκκλησίας πράγματα, μήτε τούτων τι σφετεριζόμενος, ἢ καταχρώμενος, ἢ τοῖς συγγενέσι διδοὺς, εἰ μή που ὡς πένησιν, ὁ δὲ παραβαίνων ἐπιτιμάσθω παρὰ τῆς Ἐκκλησίας· καὶ ὁ Μ' τῶν [ἁγίων] Ἀποστόλων, καὶ ὁ ΚΔ' τῆς ἐν Ἀντιοχείᾳ φασὶ φανερούσθω τὰ τοῦ ἐπισκόπου, καὶ τὰ τῆς ἐκκλησίας πράγματα, ὡς ἂν καὶ ὁ ἐπίσκοπος διατίθηται, καὶ ἡ ἐκκλησία μένῃ ἀζήμιος.

Ἑρμηνεία.

Βούλεται ὁ κανὼν, ὅ τι ἂν εἰσφέρῃ ὁ ἀρχιερεὺς ἀποκαταστὰς εἰς τὴν ἐπαρχίαν ἴδιον εἶναι, τὰ δὲ εἰσοδήματα τῆς ἐπαρχίας μὴ καταναλίσκειν εἰς ἰδίας αὐτοῦ ὑποθέσεις καὶ θελήσεις, ἀλλὰ φυλάττεσθαι διὰ τοὺς ἐνδεεῖς· ἐκ τούτου συνάγεται, μηδεμίαν ἄδειαν ἔχειν τὸν κατὰ τόπον ἀρχιερέα ἢ μοναστήρια κτίζειν, ἢ χώρας κατοικίζειν ἑαυτῷ μὴ ὑποτεταγμένας τῇ Ἐκκλησίᾳ, ἀλλ' ὑπο-

* Ἰδοὺ τί λέγει ὁ Κανών: « Ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας· εἰ δ' ἐλεγθείη τοῦτο πεποιηκὼς, παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας, ἢ τὰς χώρας, γνώμην, καθαιρείσθω καὶ αὐτὸς, καὶ οὓς ἐχειροτόνησεν».

φερομένας αὐτῷ· ὅθεν ὁ Ζ΄ τῆς πρώτης καὶ δευτέρας Συνόδου κανὼν παρακελεύεται, μηδενὶ τῶν ἐπισκόπων ἐξεῖναι μοναστήριον ἴδιον κτίζειν ἢ νεουργεῖν, ἐπὶ καταλύσει τῆς ἰδίας ἐπισκοπῆς, εἰ δέ τις τοῦτο τολμᾶν φωραθείη, αὐτὸν μὲν τῷ προσήκοντι ἐπιτιμίῳ καθυποβάλλεσθαι, τὸ δὲ νεουργηθὲν ὑπ᾽ αὐτοῦ τῇ ἐπισκοπῇ προσκυρωθῆναι, ἴδιον ἐσόμενον αὐτῇ κτῆμα, ὥσπερ οὐδὲ εἰ τὴν ἀρχὴν ὑπῆρξε μοναστήριον· καὶ μετ᾽ ὀλίγα· καὶ εἰ μὲν τῶν ὁρίων ἐντὸς εἴη, λόγος οὐδείς, εἰ δὲ ὑπερόριον, τοῦ μὲν μοναστηρίου καὶ τῶν ἐν αὐτῷ προσόντων ἡ ἐπισκοπὴ ἐκείνη ἔσται κυρία, ὁ δὲ ἐγχώριος ἐπίσκοπος τὰ ἀρχιερατικὰ μόνα δίκαια ἕξει, εἴ τι τῆς ἐπισκοπῆς μέντοι οὐ λυμαίνεται.

Ἐρώτησις κεφ. ιγ΄.

Εἰ ἐπίσκοπος, ἢ πατριάρχης ἀκινδύνως γίνεται φροντιστὴς δημοσίων ὀφφικίων, ἐπὶ τῷ διοικεῖν πράγματα πολιτικά;

Ἀπόκρισις.

Ἐκ τῶν τοῦ Βαλσαμῶνος πατριάρχου Ἀντιοχείας· οἱ ἐν Χαλκηδόνι συνελθόντες ἑξακόσιοι τριάκοντα ἅγιοι πατέρες εἰς τὴν ἁγίαν τετάρτην Σύνοδον διατρανώσαντες, ἐν Ζ΄ κανόνι αὐτῶν, τάδε ῥητῶς περὶ τούτων ἐγεγράφεισαν· «τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους ὡρίσαμεν μήτε ἐπὶ στρατείαν, μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι· οἱ δὲ τοιοῦτον τολμῶντες καὶ μὴ μεταβαλλόμενοι ἀναθεματίζεσθαι»· καὶ ὁ ΠΓ΄ κανὼν τῶν ἁγίων Ἀποστόλων ταῦτα διέξεισιν: «ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος στρατείᾳ σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, αὐθεντικὴν ἀρχὴν καὶ ἱερατικὴν διακονίαν καθαιρείσθω· τὰ γὰρ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ ἁρμόζει»· καὶ ὁ Ϛ΄ τῶν Ἀποστόλων κανὼν φησίν: «ἐπίσκοπον ἢ πρεσβύτερον κοσμικὰς φροντίδας μὴ ἀναλαμβάνειν, εἰ δὲ μὴ καθαιρείσθω»· βούλεται γὰρ τούτους ἔξω θορύβων καὶ συγχύσεως τηρεῖν ἑαυτούς, καὶ ἀπερισπάστως τῆς θείας ὑπηρεσίας μεταποιεῖσθαι· ὁ δὲ ΠΑ΄ φησὶν, εἰ μὴ πείθοιντο κοσμικῶν

ἀποστῆναι φροντίδων, τότε καὶ καθαιρεθήσονται· ὁ δὲ ΠΑ΄ κανὼν τὸν ἐπίσκοπον στρατείαις σχολάζοντα καὶ διοικήσεσι πολιτικαῖς ὑπὸ καθαίρεσιν τίθησιν· οὐδεὶς γὰρ δύναται, φησὶ, δυσὶ κυρίοις δουλεύειν· ὁ δὲ τῆς λεγομένης πρώτης καὶ δευτέρας ΙΑ΄ φησίν· εἰ κοσμικὰς ἀρχὰς καὶ φροντίδας μεταχειρίζοιτο ὁ ἐπίσκοπος, τοῦ οἰκείου κλήρου διώκεσθαι· ὁ δὲ ΙϚ΄ τῆς ἐν Καρθαγένῃ τὰ αὐτὰ διατάττεται· οὐδεὶς γὰρ στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ Θεῷ· ἐκ τούτων ἄρα συνάγεται, τὸν θέλοντα ἀρχιερέα πολιτικαῖς ἀρχαῖς ἐπιπηδᾶν καὶ κοσμικαῖς ἐξουσίαις σεμνύνεσθαι, καθήρεσθαι τῆς ἀρχιερωσύνης, ὡς καταφρονητὴν τῆς ἐκκλησιαστικῆς δεσποτείας.

Ἐρώτησις κεφ. ιδ΄.

Ἐπίσκοπος εἰς τὴν τῶν μετανοούντων χώραν καταβιβάσας ἑαυτὸν, εἰ δύναται ἀρχιερατικῆς ἀξίας ἀντιποιεῖσθαι;

Ἀπόκρισις.

Ὁ Β΄ κανὼν τῆς ἐν τῇ ἁγίᾳ Σοφίᾳ Συνόδου φησὶ ῥητῶς· ἀρχιερεὺς εἰς τὴν τῶν μετανοούντων χώραν μὴ καταβιβαζέτω ἑαυτὸν, καταβιβάσας δὲ μηκέτι τῆς ἀρχιερατικῆς ἀντιποιείσθω τιμῆς. Ἐκ τούτου συνάγεται τὸν ἀποδημήσαντα ἀρχιερέα μετὰ τὸ καταλελοιπέναι τὴν ἐπαρχίαν αὐτοῦ, ἐπὶ τῷ ἡσυχᾶσαι καὶ μετανοίᾳ συζῆσαι, οὐκ ἔτι δύνασθαι ἀναδραμεῖν εἰς τὴν ἐπαρχίαν, καὶ ζητεῖν ἀρχιερατικὴν τιμὴν, καὶ λέγειν ὅπερ ἐξέμεσεν, ὡς ἀπὸ παλιμβουλίας.

Ἐρώτησις κεφ. ιε΄.

Ἐὰν ἐπίσκοπος ἢ πατριάρχης ἀποδοκιμάσας τοῦ ἰδίου θρόνου ἀβιάστως, καὶ ἀπεκδυσάμενος παρρησίᾳ τὴν ἀρχιερατικὴν στολὴν, λέγων μὴ βούλεσθαι ἔτι ἀρχιερατεύειν, ἢ πατριαρχεύειν, καὶ ἀναχωρήσας τοῦ θρόνου ἄνευ εἰδήσεως τοῦ κατὰ τόπον προϊσταμένου ἡγεμονικῶς, ἀπέλθῃ ἐπὶ τῷ ἡσυχάζειν, ὁμολογήσας ἑαυτὸν ἀνάξιον

τοῦ ἀρχιερατεύειν, δύναται ἔτι ἐπανελθεῖν εἰς ὃ κατεφρόνησε, καὶ ἀπέβη;

Ἀπόκρισις.

Εἴρηται ἀνωτέρω ὅτι τὸν ἅπαξ εἰς τὴν τῶν μετανοούντων χώραν καταβιβασθέντα ἀρχιερέα ὑφ' αὐτοῦ, ἄνευ τινὸς βίας, ἢ δυναστείας αὐθεντικῆς, οὐδεμίαν ἀνάκλησιν ἔχειν τοῦ λοιποῦ ἀντιποιεῖσθαι τιμῆς ἀρχιερατικῆς, οὐδεὶς γὰρ, φασὶ τὰ θεῖα λόγια, βάλλει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸ ἄροτρον, καὶ πάλιν αἴρει αὐτήν· ἄροτρον γὰρ ἡ μετάνοια, δι' ἧς καρποὺς σωτηρίας δρεπόμεθα· τὸ δὲ καὶ ἀποκδυθῆναι τὴν ἀρχιερατικὴν στολὴν ἔμπροσθεν πολλῶν ἐφ' ἑκάστου τῶν ἱερῶν ἀμφίων ἀπεκδυόμενος λέγειν, ἀνάξιος εἰμὶ τούτου, οὐδεμιᾶς προφάσεως χώραν ἔτι κατέλιπε παρ' αὐτῷ ἐνδύσασθαι ἔτι ἣν ἐξεδύσατο τῷ τρόπῳ τούτῳ στολήν· ὥσπερ γὰρ κατὰ μικρὸν προϊὼν ἐπὶ τοὺς τῆς ἱερωσύνης βαθμοὺς ἐνεδύετο ἓν τῶν ἱερῶν ἀμφίων, ἄχρι καὶ τοῦ ὠμοφορίου, δι' οὗ ἀποκατέστη ἀρχιερεὺς, καὶ εἰς τὸν βαθμὸν αὐτὸν ἐπεφθάκει, οὕτως ἀπεκδυόμενος ταῦτα, ἀρχόμενος ἀπὸ τούτου ἤτοι τοῦ ὠμοφορίου, καὶ ἀνατρέχων εἰς τὰ ὀπίσω, ἔμενε πάλιν ὡς πρότερον ἰδιώτης καὶ μοναχὸς, αὐτὸς καθ' ἑαυτοῦ ἀποφήνας, καὶ τὴν κρίσιν πεποιηκὼς, μετὰ τὴν τῆς ἱερᾶς λειτουργίας τελεσιουργίαν· ὅθεν οὐδαμῶς ἐστὶ δεκτέος ἀνατρέχων, καὶ τῆς ἀρχιερατικῆς πάλιν ἀξίας ἀντιποιούμενος· τὰ γὰρ φρικτὰ οὐ δίκαιον ἐστὶ γενέσθαι παικτά· συνάγεται τοῦτο καὶ ἀπὸ τοῦ μεγάλου Νομίμου τῆς Μεγάλης Ἐκκλησίας, ὅτι τὸν ἅπαξ καταφρονήσαντα τῆς ἀρχιερατικῆς λειτουργίας οὐ παραδεκτέον ἔτι εἰς λειτουργίαν.

Ἐρώτησις κεφ. ιστ'.

Εἰ δὲ συνέβη μετὰ τὴν ἔμπρακτον ταύτην παραίτησιν, προσκληθῆναι δι' ἀξιολόγων ἀνδρῶν ἢ καὶ δι' ἐπιστολῆς τοῦ κατὰ τόπον ἡγεμονεύοντος, τυχὸν καὶ παρουσίας, καὶ κατεπαιρόμενος τούτων οὐκ ἐπανέλθῃ τί δεῖ ποιεῖν;

Ἀπόκρισις.

Ὁ Μʹ τῆς ἐν Λαοδικείᾳ κανὼν, φησὶν, ἐπίσκοπος καλούμενος ἐπὶ σύνοδον καὶ ἀθετῶν, εἰ μὴ δι' ἀνωμαλίαν, ἐπιτιμάσθω· εἰ δὲ καὶ τῷ ἰδίῳ πλήθει θαρρῶν τῆς ἀδελφικῆς ἀγάπης καταφρονεῖ, ἀρχοντικῶς παιδευέσθω· ἐκ τούτου ἄρα συνάγεται οὐδεμίαν ἀνάκλησιν ἔχειν τὸν τοιοῦτον ὑπερόπτην, πρῶτον μὲν ὡς καταφρονητὴν τοῦ ἐμπιστευθέντος αὐτῷ χριστιανικοῦ πληρώματος, δεύτερον ὡς ὑπερόπτην τοῦ θρόνου, τρίτον ὡς εἰς μετάνοιαν προχωρήσαντα, καὶ ἀνάξιον ὁμολογήσαντα ἑαυτὸν ἀρχιερατικῆς λειτουργίας ἀβιάστως, τέταρτον ὡς ἀπειθείᾳ ἐναβρυνόμενον καὶ ἰσχυρογνωμίᾳ κατεχόμενον, καὶ μὴ θελήσαντα ἐνδοῦναι ταῖς παρακλήσεσι τῶν προσκαλουμένων τυχὸν καὶ τοῦ ἡγεμονεύοντος· ὅθεν οὐ μόνον οὐ παραδεκτέον εἰς ἀρχιερατικὴν λειτουργίαν ἀλλὰ καὶ τιμωρητέον ἀρχοντικῶς κατὰ τὸν κανόνα, ὡς ἰδιώτην.

Ἐρώτησις κεφ. ιζʹ.

Εἰ δὲ μετὰ τὴν τοιαύτην ἔμπρακτον παραίτησιν ἀνερυθριάστως τολμήσει ὁ τοιοῦτος ἐν ᾧ ἡσυχάσας διέβη χώρῳ ἐνεργῆσαι τὰ τῆς ἀρχιερωσύνης, ἢ χειροτονίαν ἐκτελέσαι, τί δὲ ποιεῖν;

Ἀπόκρισις.

Ἀφοριζέσθω καὶ ἀρχοντικῶς παιδευέσθω, κατὰ τὸν ἄνω ἐκτεθέντα κανόνα, μετὰ τοῦ χειροτονηθέντος· εἰ γὰρ ὁ ἐν ὑπερορίᾳ χειροτονῶν καθαιρεῖται μετὰ τοῦ χειροτονηθέντος, πόσῳ μᾶλλον ὁ τοιαύτην παραίτησιν ποιησάμενος τῶν τε ἱερῶν ἀμφίων καὶ τῆς λειτουργίας, τολμήσας χεῖρας ἐκτεῖναι ἐπὶ μεταδόσει τοῦ ἁγίου Πνεύματος, οὗ τὴν λειτουργίαν ἀπείρηκεν οἰκειοθελῶς, καὶ πρὸς ἰδιώτην ηὐτομόλησε βίον;

Ἐρώτησις κεφ. ιη'.

Εἰ ἔξεστι τῷ βουλομένῳ ἀρχιερεῖ καταλιμπάνειν τὴν οἰκείαν αὐτοῦ ἐπαρχίαν, καὶ ἀπέρχεσθαι ὅπου ἂν ἐθέλοι ἀκινδύνως;

Ἀπόκρισις.

Ἀπὸ τοῦ μεγάλου Νομίμου ἐν Α στοιχείῳ, κανόνι ΡϚ' τῆς ἐν Καρθαγένῃ Συνόδου· ἐπίσκοποι μὴ ἀποδημείτωσαν, εἰμὴ μετὰ ψηφίσματος τῆς πρώτης καθέδρας τοῦ ἰδίου ἑκάστης χώρας ἐπισκόπου, τουτέστιν εἰ μὴ ἀπ' αὐτοῦ τοῦ πρωτεύοντος κατ' ἐξαίρεσιν λάβοι αὐτὴν, ἥτις λέγεται ἀπολυτικὴ, καὶ τὰ ἑξῆς. Τὸ κατ' ἐξαίρεσιν ἐννοεῖται, ἢ παρὰ τοῦ ἐκκλησιαστικῶς προϊσταμένου μείζονος, εἰ τυχὸν εἴη, ἢ παρὰ τοῦ πολιτικῶς·—(Ἑρμηνεία Ζωναρᾶ). Τοὺς ἐπισκόπους καὶ τοὺς προεστῶτας λογικοῦ ποιμνίου πάντας ἁπλῶς καὶ αὐτὸ τὸ δίκαιον ἀπαιτεῖ καὶ οἱ κανόνες τῷ δικαίῳ ἑπόμενοι προσμένειν ταῖς ἐκκλησίαις αὐτῶν, καὶ ποιμαίνειν, καὶ καταρτίζειν τοὺς ἐμπιστευομένους αὐτοῖς λαούς· καὶ μετ' ὀλίγα· εἰ δὲ ἀνάγκη ἀπιέναι, μετὰ ψηφίσματος τῆς πρώτης καθέδρας, ἢ τῆς ἐκκλησιαστικῆς, ἢ τῆς αὐθεντικῆς.—(Βαλσαμῶνος εἰς τὸ αὐτό)· ἀναγκαίαν εἶναι τὴν γνώμην εἰς τοῦτο καὶ πάσης τῆς κατ' αὐτὸν συνόδου κατὰ τὸν ΙΑ' κανόνα τῆς ἐν Ἀντιοχείᾳ Συνόδου· διὰ γὰρ τοῦτο πρόσκειται τῷ κανόνι τὸ ἀναγκαίαν μὲν εἶναι καὶ τὴν τῶν λοιπῶν ψῆφον, κατ' ἐξαίρετον δὲ τοῦ πρωτεύοντος, πατριάρχου τυχὸν, ἢ αὐθέντου· καὶ ὁ ΟΑ' τῆς ἐν Καρθαγένῃ κανὼν φησί· πάλιν ἤρεσε τῇ συνόδῳ, ὥστε μηδενὶ ἐξεῖναι ἐπισκόπῳ, καταλειφθείσης τῆς αὐθεντικῆς αὐτοῦ καθέδρας, πρός τινα ἐκκλησίαν ἐν διοικήσει καθεστῶσαν ἑαυτὸν ἀποφέρειν, ἢ ἐν οἰκείῳ πράγματι, ὑπὲρ ὃ χρὴ ἐπὶ πολὺ ἀσχολούμενον*, ἀμελεῖν τῆς φροντίδος καὶ τῆς συνεχείας τοῦ οἰκείου** θρόνου·—(Ζωναρᾶ ἑρμηνεία). Τοὺς ἐπισκόπους καὶ τὸ

* *ὑπὲρ ὃ χρὴ ἐπὶ πολὺ ἀσχολουμένῳ* λέγει ὁ Κανών.

** *τοῦ ἰδίου θρόνου* ὁ Κανών.

δίκαιον αὐτὸ, καὶ ἡ τῶν θείων κανόνων ἀκρίβεια ἀπαιτοῦσι προσμένειν ταῖς ἰδίαις ἐπισκοπαῖς, καὶ διδάσκειν τοὺς λαοὺς, καὶ καταρτίζειν αὐτοὺς, ἀλλὰ μὴ καταλιμπάνειν τὰς αὐθεντικὰς αὐτῶν καθέδρας, ἤγουν τοὺς πρωτοτύπους θρόνους αὐτῶν. Καὶ ὁ ΙϚ' κανὼν τῆς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων Πρώτης καὶ Δευτέρας λεγομένης φησὶ, μὴ πλέον τῶν ἓξ μηνῶν ἀποδημεῖν ἐπίσκοπον τῆς οἰκείας ἐπισκοπῆς, ὡς οἱ ἐν ἐκείνῃ θεῖοι πατέρες ὡρίσαντο· τὸ δὲ ἐπιτίμιον τοῦ μὴ τὸν κανόνα φυλάττοντος καθαίρεσίς ἐστιν· ὁ δὲ ΙΑ' κανὼν τῆς ἐν Σαρδικῇ, ἐκ τοῦ παραδείγματος οὗ ἐπάγει, εἰς ἐλάττονα καιρὸν ἔοικε συστέλλειν τὴν τοῦ ἐπισκόπου ἀποδημίαν εἰ μή τις ἀνάγκη αὐτῷ ἐπίκειται*· καὶ ὁ Α' τῆς ἐν Καρθαγένῃ φησὶν, εἴτις ἐπίσκοπος τῆς ἰδίας ἀμελείῃ ποίμνης, καὶ μή τινι νόσῳ ἢ βασιλικῷ ἢ πατριαρχικῷ κατεχόμενος κελεύσματι, ὑπὲρ ἑξαμηνιαῖον χρόνον ἀποδημοίη, τῆς ἐπισκόπου τιμῆς παντελῶς ἀλλοτριούσθω**· καὶ ὁ ΙΒ' τῆς ἐν Σαρδικῇ: ὁ εἰς ὑπερορίους κτήσεις ἀπερχόμενος μὴ πλέον τῶν τριῶν ἑβδομάδων χρονίζειν· τούτοις καὶ ὁ ἅγιος Κύριλλος ἐπιψηφίζεται ἐν τῷ γ' κεφαλαίῳ τῆς πρὸς Δόμνον ἐπιστολῆς· παραιτεῖσθαι γάρ φησι τοὺς ἱερουργοῦντας τὰς ἑαυτῶν ἐκκλησίας τοῖς τῆς Ἐκκλησίας θεσμοῖς οὐκ ἀρέσκει· ἄξιοι μὲν ὄντες λειτουργεῖν, οὐ δεῖ ποιεῖσθαι παραίτησιν· εἰ δὲ ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, ἀλλ' ἐκ τῶν ἀποδειχθέντων κατ' αὐτῶν ἐγκλημάτων· εἰ δὲ καὶ παραιτήσασθαι τινὰ τὴν ἐπισκοπὴν, καὶ ἣν ἐπιστεύθη ποίμνην καταλιπεῖν, ἀντέχεσθαι τῆς λειτουργίας εἰσαῦθις οὐκ ἂν εἴη δίκαιον· γνώριμον γὰρ τὸ μὲν μοχθηρὸν καὶ ἐπίπονον παραιτεῖσθαι τῆς προεδρείας, καὶ τὸ εἰς δύναμιν εἴργειν τὴν πρὸς τὰ χείρω τούτου φορὰν, ὅσα δὲ τιμὴν φέρει καὶ σέβας παρακατέχειν καὶ οἰκειοῦσθαι, τὴν ῥαστώνην περὶ πλείονος τῆς τῶν ψυχῶν ἐπιμελείας πεποιημένον· δείκνυται δὲ ἐκ τοῦ ιϛ' κεφα-

* Τὰ ἕως ὧδε λεγόμενα εἰσὶν ἑρμηνεία τοῦ Ζωναρᾶ εἰς τὸν ΟΑ' τῆς ἐν Καρθαγένῃ.

** Ἄγνωστος ἔστι μοι ὁ τοιοῦτος τῆς ἐν Καρθαγένῃ Συνόδου Κανών. Ζήτει μᾶλλον τὸν ΙϚ' τῆς πρωτοδευτέρας.

λαίου τῆς λεγομένης Α' καὶ Β' συνόδου, ἡ περιττὴ τῶν οὕτω ψηφιζομένων ἄνοια, τοῦ δύνασθαι δηλαδὴ τοὺς ἀρχιερεῖς τὰς μὲν ἐπισκοπὰς παραιτεῖσθαι, τὴν δὲ ἱερωσύνην καὶ αὖθις παρακατέχειν· οὗτος γὰρ ὁ κανὼν τὸν πλέον τῶν ἓξ μηνῶν τῆς οἰκείας ἀποδεδημηκότα ἐπισκοπῆς, ἀναγκαίᾳ οἱᾳδήτινι προφάσει μὴ κωλυόμενον, ἐκπίπτειν κελεύει καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἱερωσύνης· εἰ δὲ ὁ τὸ ἔλαττον ἁμαρτὼν οὕτω καταδεδίκασται, πῶς ὁ καθάπαξ παραιτησάμενος τὴν ἐπισκοπὴν καὶ τῆς τοῦ ποιμνίου φροντίδος διὰ βίου καταφρονήσας, οὐκ ἐπὶ πλέον τιμωρηθήσεται, ὅσον τὸ ἐπ' αὐτὸν ἧκον, τοῖς λύκοις ἀνεὶς τὸ ἐμπιστευθὲν αὐτῷ παρὰ τοῦ πρώτου ποιμένος Χριστοῦ ἱερὸν ποίμνιον, μὴ ὅτι γε καὶ ὥσπερ γέρας αὐτῷ νέμειν τὰ τῆς ἱερωσύνης πρεσβεῖα· περὶ οὗ καὶ ὁ ΙΑ' κανὼν τοῦ ἁγίου Διονυσίου διέξεισιν*. Εἰ γοῦν τοὺς τὴν ἀρχὴν εἰς προστασίαν λαοῦ καλουμένους οἱ κανόνες ἀφορίζεσθαι εἰ μὴ πείθοιντο ἀξιοῦσι, τίς ἂν τῶν νοῦν ἐχόντων ἀπραγμόνως δέξηται τῶν καθεστώτων τὴν παραίτησιν, ὡς ἂν ἐσχάτως, ὡς ἂν οἷόν τε ᾖ, τούτους κολάσειεν· ἄλλως τε τὸ τῆς ἐπισκοπῆς ὄνομα πράγματος ἐστὶ καὶ ἐνεργείας δηλωτικὸν, ὁ δὲ ἀποσεισάμενος ἑκοντὶ τὴν ἐνέργειαν, ἐκπέπτωκε καὶ τῆς ἐκκλησίας· ἐπίσκοπος δὲ καλεῖσθαι μὴ πεφυκὼς, πῶς τῆς ἱερωσύνης ἀναδέξεται; πῶς δὲ καὶ ἱεράρχης κληθήσεται ὁ μὴ κεκτημένος κλῆρον ὑφ' ἑαυτὸν, μήτε μὴν ἄρχων ἱερωμένων, ὥστε μὴ πρόσεστιν ἱεραρχίας ὄνομα, πολλοῦ γε δεῖ ταύτης ἡ ἐνέργεια· ἀλλὰ καὶ ἐν τῇ ἐπιστολῇ τῆς ἁγίας οἰκουμενικῆς τρίτης Συνόδου περί τινος ἐν Παμφυλίᾳ Εὐσταθίου, δείκνυται τοῖς ὀρθῶς ἐπιβάλλουσι, τοὺς παραιτουμένους τὰς ἐκκλησίας ἀμφοτέρων ἅμα ἐκπίπτειν, καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἱερωσύνης· οὗτος γὰρ ὁ Εὐστάθιος ἐπίσκοπος ὢν Παμφυλίας, καὶ περιστάσεσιν ἐμπεπτωκὼς παρῃτήσατο τὴν ἐπισκοπὴν, κἀκεῖ μὲν ἄλλος ἐκεχειροτόνητο, ὁ δὲ κλαίων τῇ ἱερᾷ προσῆλθε Συνόδῳ, οὐ τῷ κεκτημένῳ ταύτην ἀμφισβητῶν, ὄνομα δὲ καὶ τιμὴν ἐπισκό-

* Οὐδ' οὗτος ὁ Κανών ἐστι τοῦ ἁγίου Διονυσίου· κακῶς ἐγράφη ὑπὸ τοῦ γραφέως τοῦ χειρογράφου.

που μόνον ζητῶν· οἵ καὶ τὰ δάκρυα καὶ τὸ βαθὺ γῆρας τοῦ Εὐσταθίου δυσωπηθέντες, καὶ μή τι αὐτῷ συμβαίει ἐκ τῆς ἀμέτρου λύπης εὐλαβηθέντες, τὸ ὄνομα τῆς ἐπισκοπῆς ἔχειν αὐτὸν ἐδικαίωσαν, καὶ τὴν τιμὴν, καὶ τὴν κοινωνίαν, ὥστε ἐντὸς τοῦ θυσιαστηρίου εἰσιόντα μεταλαμβάνειν, μήτε δὲ ἱερουργεῖν αὐτὸν, μήτε χειροτονεῖν· ταῦτα δὲ οὐ κανονικῶς ἐγένοντο τοῖς ἁγίοις, ἀλλ' οἰκονομίᾳ χρησάμενοι καὶ ἀσυνήθει συγκαταβάσει, ὡς ὁ τὴν ἐπιστολὴν μετιὼν ἀκριβῶς εἴσεται· ἐκ τούτων ἄρα συνάγεται τὸν παραιτησάμενον τὴν ἐπαρχίαν αὐτοῦ στερεῖσθαι καὶ τῆς τιμῆς καὶ τῆς λειτουργίας τῆς ἀρχιερατικῆς κανονικῶς.

Ἐρώτησις κεφ. ιθ'.

Εἰ δέ τις καταλείψας τὴν πρωτότυπον αὐτοῦ καθέδραν μητροπολίτης, ἢ πατριάρχης, μὴ ἐξέλθει τῶν ὁρίων τῆς ἐπαρχίας αὐτοῦ, ἀλλ' ἐν χώρᾳ ἢ μοναστηρίῳ ἐντὸς τῶν ὁρίων τῆς ἐπαρχίας αὐτοῦ εὑρίσκοιτο ὑπὲρ τὸν ἑξαμηνιαῖον χρόνον, ἔσται ἄρα ἔνοχος τῇ παιδείᾳ ταύτῃ;

Ἀπόκρισις.

Τοῦτο και μᾶλλον ἀτοπώτερον τοῦ ἐξελθεῖν τῶν ὁρίων τῆς ἐπαρχίας αὐτοῦ· τὸ γὰρ καταλιπεῖν τὸν θρόνον αὐτοῦ, καὶ μὴ φροντίζειν ὡς εἰκὸς τῆς κυβερνήσεως τούτου, ἀλλὰ καταφρονητικῶς φερόμενος, ὡσανεὶ ἐχθρὸς ταύτης καὶ μισθωτὸς καὶ οὐκ ὢν ποιμὴν, καὶ τυχὸν μηνυόμενος ἢ καὶ προσκαλούμενος ἀπαναίνεται τῆς ἐπὶ τὴν καθέδραν ἀφίξεως, ὁ τοιοῦτος καὶ μᾶλλον τοῦ ὑπερορίου τῆς ἀρχιερατικῆς τιμῆς ἀπογυμνωτέος, ὡς σκληρότητι καὶ ἐν ἀπαθείᾳ τιτρωσκόμενος, καὶ ὀργὴν τρέφων κατὰ τοῦ ἰδίου ποιμνίου, οὗ ἔδει προκινδυνεύειν καὶ τὴν ψυχὴν αὐτοῦ τιθέναι, κατὰ τὴν κυριακὴν φωνήν.

Ἐρώτησις κεφ. κ'.

Ἔξεστιν ἄρα τῇ κατὰ τόπον συνόδῳ χειροτονῆσαι ἕτερον ἀρχιερέα ἀποκριματίστως ἐν τῇ ἐπαρχίᾳ ταύτῃ, ἀντὶ τοῦ ὑπευθύνου τούτου;

Ἀπόκρισις.

Καὶ πάνυ γε, οὐ γὰρ δέον τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἐν στερήσει τῆς πατρικῆς αὐτῆς εὑρίσκεσθαι κεφαλῆς, ἀπορραγέντος εἰσάπαξ καὶ ἀποδοκιμασθέντος τοῦ πρότερον αὐτῇ χρηματίσαντος ἀρχιερέως· φησὶ γὰρ ὁ ΚΕʹ κανὼν τῆς ἁγίας τετάρτης Συνόδου κατὰ λέξιν, ὑπὲρ τρεῖς μῆνας ἐκκλησία μὴ χηρευέτω, ἀλλ' ἐν τούτῳ ἐπίσκοπος χειροτονείσθω· εἰ δ' οὐκ, οἱ μὴ χειροτονοῦντες ἐπιτιμηθήσονται· καὶ τοῦ σκεύους τῆς ἐκλογῆς βοῶντος πρὸς Τιμόθεον· «ἃ ἤκουσας παρ' ἡμῶν διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς χριστιανοῖς, ἵνα καὶ αὐτοὶ ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι»· τὸ δὲ διδάσκειν οὐχ ἑτέροις ἐπιτέτραπται, εἰ μὴ τοῖς ἀρχιερεῦσιν· ὅθεν συνάγεται ἀναγκαίως τὴν κατὰ τόπον σύνοδον ψήφους κανονικὰς ποιησαμένην ἀποκαταστῆσαι τῇ καθέδρᾳ ἐκείνῃ τὸν δοκοῦντα ἀνέγκλητον, ἵνα μὴ τὸ τοῦ Κυρίου χηρεύῃ ποίμνιον· εἰ δ' ἀναβάλλεται τὸν καιρόν, τιμωρίᾳ ὑποκείσεται κατὰ τὸν κανόνα τῆς συνόδου, οὐ μόνον ὑπὸ τῆς μείζονος συνόδου, ἀλλὰ καὶ θεόθεν.

Ἐρώτησις κεφ. καʹ.

Εἰ μητροπολίτης τις ἢ πατριάρχης, ὑπεύθυνος ὢν δικάζοιτο ὑπὸ τῶν περὶ αὐτὸν ἐπισκόπων, καὶ τυχὸν ἐννεάσας τῇ ἐπαρχίᾳ ἐκείνῃ, συμβαίνει ἅπαντας τοὺς περὶ αὐτὸν ἐπισκόπους χειροτονηθῆναι ὑπ' αὐτοῦ, δύναται μὴ στέργειν τὴν παρ' αὐτῶν ἐξενεχθεῖσαν κατὰ τούτου ψῆφον, ὡς δῆθεν πατρὸς αὐτῶν λογιζομένου, καὶ τούτων πρὸς αὐτὸν υἱῶν ἐσχηκότων τάξιν;

Ἀπόκρισις.

Ἡ σχέσις πολυσχέδιός ἐστι κατὰ τοὺς περὶ ταῦτα ἐμπείρους καὶ κατὰ τὸ εἶναι, καὶ κατὰ τὸ λέγεσθαι· καὶ λαμβάνεται κατὰ τὴν διάφορον τῶν ὑποκειμένων ἀναφοράν· φέρε εἰπεῖν, ὁ ἄνθρωπος πρὸς τὸ αὐτοῦ γέννημα ἀναφερόμενος λέγεται γεννήτωρ καὶ τὴν τῆς πατρότητος κέκτηται σχέσιν· ἢ δὲ ἄνθρωπος κατὰ τὴν σχέσιν

τῆς ταυτότητος καὶ τὸν τοῦ ἀνθρώπου ὁρισμὸν ἀναφερόμενος πρὸς τὸ γέννημα, οὐδὲ μίαν ἔσχηκε διαφοράν· οὕτω τοι μητροπολίτης τυχὸν, ἢ πατριάρχης, ὡς μὲν γέρων τούτων, κατὰ τὸν τῆς χειροτονίας λόγον ἀναφερόμενος, εἴησαν ἂν ἐκεῖνοι τούτου υἱοὶ, κατὰ δὲ τὴν τῆς ἀρχιερωσύνης ταυτότητα καὶ τὸ τῆς πατρικῆς ἀξίας μεγαλεῖον, συναδελφοὶ καὶ συναρχιερεῖς λέγονται, καὶ αὐτοῦ τοῦ ἑνὸς Θεοῦ διάκονοι· ὅθεν καὶ ὁ μακάριος Παῦλος ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς νῦν μὲν τέκνα φησὶν, ὡς ὑπ' αὐτοῦ φωτισθέντας· τέκνον Τιμόθεε καὶ τέκνον Τίτε· νῦν δὲ καὶ ἀδελφοὺς, ὡς ἀποστόλους· καὶ ὁ Κύριος οὐκ ἐπαισχύνεται τοὺς χριστιανοὺς ἀδελφοὺς ἀποκαλεῖν· «καὶ πάλιν ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός»· συνάγεται τοίνυν ἐκ τούτων κατὰ μὲν τὴν τῆς χειροτονίας σχέσιν καὶ τὴν τῆς τάξεως, πατέρα εἶναι τοῦτον τοῖς περὶ αὐτὸν ἐπισκόποις, κατὰ δὲ τὸν λόγον τῆς ἀρχιερωσύνης καὶ τὸν τῆς πατρικῆς ἐξουσίας, συναδελφοὺς εἶναι καὶ συναρχιερεῖς, ὥστε οὐδὲ μίαν χώραν ἕξειν τὸ λέγειν, ὅτι οὐ δύνανται οἱ ὑπ' αὐτοῦ χειροτονηθέντες ἀρχιερεῖς κρίνειν αὐτὸν, ὑπεύθυνον ὄντα κατὰ τοὺς θείους κανόνας, καὶ ψῆφον ἐπενεγκεῖν τὴν ἔννομον κατ' αὐτοῦ· πατρότης γὰρ καὶ υἱότης οὐκ ἔχουσι χώραν ἐν τῷ τῆς δικαιοσύνης λόγῳ καὶ μάλιστα περὶ ἐκκλησιαστικῶν ὑποθέσεων, ὅτε κίνδυνος ψυχικὸς ἐπιφέρεται· φησὶ γὰρ ὁ Θεολόγος: ὁ τἄλλα πραῢς ὅταν ἴδῃ θεῷ ζημιούμενος ὄντως γίνεται μαχητής*.

Ἐρώτησις κεφ. κδ΄.

Εἰ δὲ ἀφηνιάζων τὴν παρ' αὐτῶν ψῆφον εἰς ἔκκλητον ἀνατρέχει, τί ἂν γένοιτο;

Ἀπόκρισις.

Ἡ παρὰ τοῦ οἰκουμενικοῦ Θρόνου καὶ τῶν μετ' ἐκεῖνον πατριαρχῶν ψῆφος ἐπενεχθεῖσα κατ' αὐτοῦ ἐγγράφως καθ' ὅ τι ἂν δόξῃ νόμιμον καὶ κατὰ κανόνας, ὡς ἀνωτέρω εἴρηται, ἐσχηκότος

* ἔφθαρται καὶ τοῦτο τὸ χωρίον.

παρὰ τῶν κανόνων τὸ τοιοῦτο προνόμιον, κρατείτω κατ' αὐτοῦ, μηδὲ μιᾶς ἄλλης προφάσεως ὑπολειπομένης ἐν τούτῳ.

Ἐρώτησις κεφ. κγ'.

Εἰ δύναται καθαιρεθῆναι τὸν τοιοῦτον καὶ ὑπὸ [ἀριθμοῦ] ἐλάττονος τῶν δώδεκα ἐπισκόπων;

Ἀπόκρισις.

Φησὶν ὁ Ματθαῖος Βλάσταρις· εἰ δ' ἄμφω τὰ μέρη δικαστὰς ἕλοιντο, εἰ καὶ ἐλάττονες εἶεν τῶν ἐν ἄλλοις ὁρισθέντων, δώδεκα δηλονότι ἐπισκόπων, ὁ καταδικασθεὶς ὑπ' ἐκείνων οὐ δύναται ζητεῖν ἔκκλησιν.

Ἐρώτησις κεφ. κδ'.

Εἰ δύναται ἐπίσκοπος ἢ πατριάρχης καινοτομεῖν, καὶ εἰσφέρειν τῇ αὐτοῦ ἐκκλησίᾳ ἀσυνήθεις ἀκολουθίας καὶ μετασχηματίζειν τὰς διατεταγμένας ἱερὰς λειτουργίας;

Ἀπόκρισις.

Εἴρηται ἐν μέρει περὶ τούτων καὶ ἀνωτέρω, καὶ ἤδη λέγομεν, ὅτι πᾶσα καινοτομία συγχίσεως καὶ ἀταξίας ἐστὶν ἀφορμή, μερικῶς προβαλλομένη· τὰ γὰρ κανονιζόμενα ὑπὸ τῶν ἱερῶν Συνόδων οὐ λέγονται καινοτομίαι, ἀλλὰ διατάξεις πρὸς σύστασιν τοῦ χριστιανικοῦ πληρώματος· ὅστις δὲ μερικῶς κατατολμῶν τούτων, καὶ μάλιστα, διαφθείρων τὰ ὑπὸ τῶν ἁγίων ἐκδεδομένα καὶ τοῖς ἁγίοις πατρᾶσιν ἀποδεδειγμένα καὶ τῷ μακρῷ χρόνῳ ἐπικεκυρωμένα, ἀλλόκοτά τινα παρεισφέρειν, ὡς συγχίσεως αἴτιος, ἀποβλητέος, καὶ σὺν τοῖς νεωτερίσμασιν αὐτοῦ ἀναθεματιστέος· φησὶ γὰρ ὁ θεῖος Παῦλος· «εἴ τις εὐαγγελίζεται ὑμᾶς παρ' ὃ εὐηγγελισάμεθα, εἰ καὶ ἄγγελος ἐξ οὐρανοῦ, ἀνάθεμα ἔστω»· καὶ ὁ Σωτὴρ ἀποφαίνεται τὸν τοῦ σκανδάλου αἴτιον, μύλου ὀνικοῦ δεθέντος ἐπὶ τὸν τράχηλον αὐτοῦ, ριφθῆναι εἰς θάλασσαν· ὅθεν φυλακτέον τοὺς

εὐσεβεῖν αἱρουμένους πάντα τὰ ταῖς Συνόδοις καὶ τοῖς ἁγίοις ἐκδεδομένα ἀπαρασάλευτα.

Ἐρώτησις κεφ. κε΄.

Εἰ τυπτήσει τις δοῦλον ἐπισκόπου, ἢ μητροπολίτου, ἡ ὕβρις ἄρα πρὸς τὸν δεσπότην ἀναφέρεται, καὶ εἰ δύναται μόνος κρίνειν τὴν ὕβριν, καὶ μὴ τὸ πολιτικὸν κριτήριον;

Ἀπόκρισις.

Οὐ πᾶσα ὕβρις ἀναφέρεται πρὸς τὸν δεσπότην, ἀλλ' ἐκείνη μόνη, ἥτις ῥητῶς ἐπ' ὀνόματι τοῦ δεσπότου γίνεται· ἀτακτοῦντος δὲ τοῦ δούλου καὶ ὑβριζομένου, ἢ τυπτομένου ἐπὶ σωφρονισμῷ παρὰ τῶν ἐπιστατούντων τοῖς βασιλικοῖς πράγμασιν, ἡ ὕβρις ἐκείνη ἐπὶ τὸν ἀτακτοῦντα μένει, καὶ οὐ διαβιβάζει εἰς τὸν δεσπότην· δυσανεσχετοῦντος δὲ τοῦ δεσπότου, ἡ τοιαύτη κρίσις οὐχ ἕπεται τούτῳ, ἀλλ' ἐπὶ τὸ πολιτικὸν κριτήριον ἀναχθήσεται, καὶ παρ' ἐκείνου ἡ ψῆφος ἐξενεχθήσεται· εἰ δὲ αὐτὸς πρὸς αὑτοῦ δίκην κατὰ τοῦ τυπτήσαντος ἐξενέγκει, ὡς καταφρονητὴς τοῦ μείζονος κριτηρίου, καὶ ἀταξίᾳ τὴν ἀταξίαν διορθῶσαι πειρώμενος, ὑπεύθυνος ἔσται καὶ ἀναπολόγητος· οὐδεὶς γὰρ ἑαυτὸν ἐκδικεῖ ὡς ἐνάγων καὶ κριτής, ἀλλ' ἑτέροις ἀνενεκτέον τὴν κρίσιν, ὡς οἱ νόμοι διακελεύονται.

Ἐπίλογος.

Ἐκδέδοται ἄρα ψῆφος κοινὴ συνοδικὴ τὸν ὑπεύθυνον ὄντα ταῖς ἐρωτήσεσι ταύταις, κατὰ τὰς ἀποκρίσεις ἀποκριματίστως τὰς παιδείας ἀπολαβεῖν, καὶ τῆς ἀρχιερατικῆς τιμῆς καὶ ἀξίας ἀποβεβλῆσθαι, καὶ ἕτερον ἀντ' αὐτοῦ χειροτονεῖσθαι εἰς τὴν ἐπαρχίαν ταύτην, νομίμως καὶ κανονικῶς καὶ γνησίως· Θεῷ γὰρ συνεργοὶ ἐσμὲν, ὡς τοῖς ἀποστολικοῖς ἴχνεσιν ἑπόμενοι· καὶ τὸν τοῦ Θεοῦ ἀμπελῶνα οὐ δεῖ παρορᾶν λυμαίνεσθαι ὑπούλως ἀλώπεξιν, ἢ τὸ ποίμνιον αὐτοῦ σπαράττεσθαι λύκοις αἱμοβόροις· ἄλλως δὲ ποιοῦντες, λόγον ὑφέξομεν αὐτῷ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὡς

καταμελήσαντες τῶν ψυχῶν, ἃς τῷ ἰδίῳ αὐτοῦ ἐξηγόρασεν αἵματι, καὶ τῶν ποιμνίων, ἃ ἐκ τῶν περάτων τῆς οἰκουμένης τῇ ἀποστολικῇ σαγήνῃ συνήγειρε, δεόμενοι τοῦ ἐπὶ πᾶσι τρισηλίου φωτὸς τῆς Θεότητος στηρίζειν τὴν Ἐκκλησίαν αὐτοῦ κατὰ πάντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Ἀμήν.

† Διονύσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης ἐπικυρῶ καὶ ἐπιβεβαιῶ ταῦτα πάντα ὡς κανονικά.

† Παΐσιος ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας, καὶ κριτὴς τῆς οἰκουμένης, ὡς τοῖς ἐκκλησιαστικοῖς κανόσι συνάδοντα ἐπιβεβαιῶ ταῦτα.

† Μακάριος ἐλέῳ Θεοῦ πατριάρχης τῆς μεγάλης Θεουπόλεως Ἀντιοχείας, καὶ πάσης Ἀνατολῆς, ὡς τοῖς ἐκκλησιαστικοῖς κανόσι ταῦτα συνάδοντα ἐπιβεβαιῶ.

† Νεκτάριος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης, ὡς τοῖς ἐκκλησιαστικοῖς κανόσι ταῦτα συνάδοντα ἐπιβεβαιῶ.

Σημ. Τὸν Τόμον τοῦτον ἐκδίδομεν ἀπὸ χειρογράφου ἰδιωτικοῦ παραχωρηθέντα· ἦν δὲ τοῦτο πλῆρες σφαλμάτων γραμματικῶν, ἃ καὶ διωρθώθησαν, ἐξοβελισθεισῶν φράσεων τινῶν, ὧν ἡ ἐκτύπωσις, μακρὰν τοῦ κέρδος ἀπενεγκεῖν, ἴσως ἀποφέρει ζημίαν.— Ὁ ἀναγνώστης, γινώσκων τὰ ἐν τῇ Ἱστορίᾳ τῆς ῥωσσικῆς Ἐκκλησίας (ὑπὸ Θ. Βαλλιάνου ἐξελληνισθείσῃ) γραφόμενα (σελ. 250—256), ἅτινα ἀσαφῶς γράφει καὶ Μελέτιος Ἀθηνῶν (Ἐκκλησ. Ἱστορ. Γ΄, σελ. 475) καὶ ἀπὸ τοῦ τίτλου τοῦ ὑπ᾽ ἀριθμὸν ΡΙΓ΄ ἐγγράφου τοῦ Συμπληρώματος ὁδηγούμενος, σχηματίσει ἀκριβῆ ἰδέαν τῆς ἐν Ῥωσσίᾳ τῷ τότε ἐκκλησιαστικῆς διχοστασίας. — Ὁ δὲ τὸ ἔγγραφον ὑποσημαίνων οἰκουμενικὸς πατριάρχης ἐστὶν ὁ ἀπὸ Λαρίσσης ἐκλεγεὶς Διονύσιος Γ΄ ὁ Βάρδαλις, ὅστις οὐ μετέβη εἰς Ῥωσσίαν. Βλ. ὅσα ἔγραψα τῷ 1882 ἐν *Ἐκκλησ. Ἀληθείᾳ* Τόμ. Β΄, σελ. 604—605.

ΡΙΔ'.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΑΠΟ ΣΕΡΡΩΝ.

Περὶ τῶν κατὰ τοὺς ἱεροὺς κανόνας ἀπαιτουμένων πρὸς σύναψιν νομίμου καὶ κανονικοῦ γάμου.

Ὁ περὶ τῶν συνοικεσίων λόγος πολὺς πανταχόθεν γινόμενος ἐφέλκει περισσοτέρως τὴν προσοχὴν τῶν ἐκκλησιαστικῶν προϊσταμένων ἀείποτε· διά τοι τοῦτο πρὸς εὐχερῆ κατάληψιν τῶν ἁπανταχοῦ ἐν Χριστῷ ἡμῶν ἀδελφῶν, ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Ἐκκλησία ἀποφαίνεται ὅτι, κατὰ τοὺς ἱεροὺς κανόνας τῆς καθ' ἡμᾶς ἀνατολικῆς ὀρθοδόξου Ἐκκλησίας, ἐναπαιτοῦνται τρία τινὰ εἰς τὸν νόμιμον καὶ κανονικὸν γάμον· α' τὸ ὁμοιόθρησκον τῶν συναφθησομένων προσώπων, τουτέστιν ὁ ἀνὴρ καὶ ἡ γυνὴ νὰ ἦναι μιᾶς καὶ τῆς αὐτῆς Ἐκκλησίας τέκνα, ἑνὸς καὶ τοῦ αὐτοῦ ῥητοῦ αἵρεσις· β' ἡ ἱερολογία τοῦ ἱερέως, καθότι ἄνευ ἱερατικῶν πράξεων μυστήριον οὐκ ἐπιτελεῖται· γ' ἡ τοῦ ἀρχιερέως ἄδεια, καθότι αὐτῷ μόνῳ ἐμπεπίστευται ἡ τῶν ψυχῶν φροντὶς, κατὰ τὸν ΛΘ' κανόνα τῶν Ἀποστόλων λέγοντα: «οἱ πρεσβύτεροι καὶ διάκονοι ἄνευ τῆς τοῦ ἐπισκόπου γνώμης μηδὲν ἐπιτελείτωσαν· αὐτὸς γάρ ἐστιν ὁ ἐμπεπιστευμένος τὸν λαὸν τοῦ Θεοῦ καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος»· ὅθεν ἑνὸς τούτων μὴ ὄντος, ὁ γάμος ἀσύστατος καθ' ἑαυτὸν ἐστὶ, καὶ παρὰ τῶν ἱερῶν κανόνων ἄκυρος ἀποφαίνεται· πῶς γὰρ ἂν συναφθεῖεν εἰς ἓν ὑποκείμενα διαφόρου αἱρέσεως, ἤτοι δόγματος; ἀλλὰ ὁ ΟΒ' τῆς ἐν Τρούλλῳ ἁγίας Συνόδου κανὼν αὐστηρῶς τὰ τοιαῦτα ἀπαγορεύει λέγων: «μὴ ἐξέστω ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικὶ, μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον ζεύγνυσθαι, ἀλλ' εἰ καὶ φανείη τι τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον τὸν γάμον ἡγεῖσθαι καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον·» καὶ μὴ δεῖν τοὺς ὀρθοδόξους αἱρετικοῖς γάμοις συνάπτεσθαι, τοὺς δὲ τοῦτο

ποιήσαντας ἀφορίζεσθαι, ἀκυρουμένου καὶ τοῦ γάμου· καὶ ὁ τῆς ἐν Λαοδικείᾳ ΛΑ΄ οὐδέσιν ἔξεστι διδόναι τέκνα ἐπὶ γάμῳ αἱρετικοῖς, «ἀλλὰ μᾶλλον λαμβάνειν, εἴ γε ἐπαγγέλλοιντο χριστιανίζειν». Διὰ ταῦτα λοιπὸν ἡ καθ' ἡμᾶς ὀρθόδοξος ἀνατολικὴ Ἐκκλησία φυλάττουσα ἄνωθεν τοὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τῶν θεοφόρων πατέρων διατηρεῖ ἀκριβῶς τὰ νομοθετηθέντα, καὶ διενεργεῖ ἀπαραβάτως ταῦτα· τὰ [δὲ] παρὰ τὴν διακέλευσιν καὶ ἀπόφασιν τῶν ἱερῶν κανόνων γεγονότα συνοικέσια ἄκυρα καὶ ἄθεσμα καὶ ὡς μηδόλως ὑπάρξαντα φρονεῖ καὶ ἀποφαίνεται, καὶ τὴν ἀπ' ἀλλήλων θεσπίζει διάζευξιν. Ὅθεν ἐπὶ τούτῳ ἐκδίδοται τὸ παρὸν ἐκκλησιαστικὸν ἀποδεικτικὸν Γράμμα.

͵αωλε΄. Δεκεμβρίου λα΄.

Σημ. Μετεγράφη ἐκ τοῦ ὑπ' ἀριθμ. 18 κώδηκος τοῦ Οἰκουμ. Πατριαρχείου.

ΡΙΕ΄.

ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

Τόμος περὶ συνοικεσίων.

Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Νόμος ἀνθρώπῳ διδάσκαλος πέφυκεν· ἀπ' ἀρχῆς γὰρ αὐτὸν ὁ Θεὸς λογικῶς δημιουργήσας τῇ φύσει, τῷ λόγῳ, καθάπερ νόμῳ, προστέταχεν ὑποτάσσεσθαι, καὶ ὑπ' αὐτοῦ ὥρισεν ἀπλανῶς διακυβερνᾶσθαι ἔν τε τοῖς ἔργοις, καὶ λόγοις αὐτοῦ, καὶ διανοήμασιν· ἀχλύος γὰρ πάσης καὶ ζόφου τῶν ἀπὸ τῆς ἁμαρτίας καὶ τῶν παθῶν τυγχάνων ἐλεύθερος ἄνθρωπος ἀκριβῆ καὶ ἄπταιστον εἶχε τὸν λόγον ἑαυτῷ ὁδηγὸν, καὶ ἱκανὸν εἰς τὸ ἴδιον τέλος αὐτὸν ἀγαγεῖν, δι' ὃ τοῦτον ὁ πάνσοφος Θεὸς ἔπλασε· μάρτυς δὲ τῶν λεγομένων ὁ πρωτόπλαστος πρὸ τῆς παραβάσεως ἐν τῷ παραδείσῳ·

πρὶν γὰρ τὴν ἁμαρτίαν εἰσελθεῖν, καὶ τὸν λόγον, τὸν πρῶτον νόμον, παρὰ Θεοῦ δοθέντα ζοφῶσαι, ἦν ἰδεῖν τοὺς προπάτορας, πάντα μὲν τῷ Θεῷ ἀρεστὰ διανοουμένους, πάντα δὲ τὰ θεοφιλῆ πράττοντάς τε καὶ λέγοντας. Παραβάντες δὲ τὴν τοῦ Θεοῦ ἐντολὴν, ἀπώλεσαν ἣν εἶχον εὐδαιμονίαν, διὰ τὴν ἁμαρτίαν τοῖς ἀλόγοις πάθεσιν ὑποκύψαντες· ἐζόφωται γὰρ ὁ λόγος, ἐσκότισται ὁ ὁδηγὸς, καὶ οἷον ἅρμα ἐφέρετο ἄνθρωπος ἡνιόχου χωρίς· διὸ καὶ τιμωρίαι ποικίλαι παρὰ Θεοῦ· καὶ παγκόσμιος κατακλυσμὸς, ἵνα τὸν χείμαρρον τῆς ἀνομίας στήσῃ· ἀλλὰ καὶ μετὰ ταῦτα καὶ τοσαῦτα οὐχ ἧττον ἡ κακία ἐπὶ τὰ πρόσω προὐχώρει, τῆς ἀνομίας βασιλευούσης· ἀπώλετο γὰρ ἅπαξ ὁ τῆς φύσεως νόμος ὑπὸ τῆς παραβάσεως. Διὰ ταῦτ' ἄρα ἐχρῆν αὐτὸν τὸν Θεὸν, τὸν τῆς ἀνθρωπίνης φύσεως δημιουργὸν, τὸν μόνον εἰδότα τὴν τοῦ ἀνθρώπου διαφθορὰν, ὁποία τις ἦν, τὸν ἄπειρον ἔχοντα τὴν σοφίαν, γενέσθαι τῷ ἀνθρωπίνῳ γένει νομοθέτην, καὶ διδάξαι αὐτὸ διὰ τῆς ἑαυτοῦ νομοθεσίας τὸ τριττὸν αὐτοῦ χρέος, τὸ πρὸς τὸν Θεὸν, τὸ πρὸς ἑαυτὸν, καὶ τὸ πρὸς τὸν πλησίον· διὸ καὶ ἐπὶ τοῦ ὄρους Χωρὴβ ἀναβιβάσας τὸν θεόπτην ἐκεῖνον καὶ προφήτην Μωϋσῆν, ἐπέδωκεν αὐτῷ τὰς πλάκας τοῦ νόμου, καὶ δι' αὐτοῦ τῷ ἐκλεκτῷ Ἰσραὴλ, νομοθετήσας τοιουτοτρόπως αὐτῷ τε, καὶ δι' αὐτοῦ ἅπαντι τῷ ἀνθρωπίνῳ γένει, ὡς ἐξ αὐτῆς τῆς νομοθεσίας ἔστιν ἰδεῖν, ὅσα προσφυῶς καὶ καταλλήλως πρὸς τὰς τότε τοῦ λαοῦ ἐκείνας περιστάσεις νομοθέτηται· ἐν οἷς διὰ τοῦ ἰδίου θεόπτου ὁ νομοθέτης ἅμα καὶ νομοδότης Θεὸς, οὐ μόνον ἀπὸ πάσης ἄλλης ἁμαρτίας καὶ μολυσμοῦ τὸν ἐκλεκτὸν αὐτοῦ λαὸν καθαρεύειν ἐδίδαξεν, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐκ τῶν ἀθέσμων συνοικεσίων προσγινομένου ῥύπου ἀπαλλάξαι βουλόμενος, καὶ μὴ καταρρυπαίνεσθαι τοῖς ἀπὸ τούτων μιάσμασιν, ἰδίᾳ καὶ περὶ αὐτῶν διαλαβὼν, ἐνομοθέτησεν ἀναλόγως τοῖς τότε παιδαγωγουμένοις, καθορίσας ὀνομαστὶ τίνων ἀπέχεσθαι, ἵνα μὴ ταῖς ἀθεμιτογαμίαις καταμιαίνωνται. Ἀναγινώσκομεν γὰρ ἐν τῷ Λευϊτικῷ (κεφ. ιη' ἐδαφίῳ ε', καὶ ἑξῆς)· «καὶ φυλάξεσθε πάντα τὰ προστάγματά μου, καὶ πάντα τὰ κρίματά μου· καὶ ποιήσετε

αὐτά· ἃ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν. Ἄνθρωπος, ἄνθρωπος πρὸς πάντα οἰκεῖον σαρκὸς αὐτοῦ οὐ προσελεύσεται ἀποκαλύψαι ἀσχημοσύνην· ἐγὼ Κύριος· ἀσχημοσύνην πατρός σου καὶ ἀσχημοσύνην μητρός σου οὐκ ἀποκαλύψεις· μήτηρ γάρ σου ἐστὶν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς. Ἀσχημοσύνην γυναικὸς πατρός σου οὐκ ἀποκαλύψεις: ἀσχημοσύνη πατρός σου ἐστίν· ἀσχημοσύνην τῆς ἀδελφῆς σου ἐκ πατρός σου ἢ ἐκ μητρός σου, ἐνδογενοῦς ἢ γεγενημένης ἔξω, οὐκ ἀποκαλύψεις ἀσχημοσύνην αὐτῶν. Ἀσχημοσύνην θυγατρὸς υἱοῦ σου, ἢ θυγατρὸς θυγατρός σου, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῶν, ὅτι σὴ ἀσχημοσύνη ἐστίν. Ἀσχημοσύνην θυγατρὸς γυναικὸς πατρός σου οὐκ ἀποκαλύψεις· ὁμοπατρία ἀδελφή σου ἐστὶν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς. Ἀσχημοσύνην ἀδελφῆς πατρός σου οὐκ ἀποκαλύψεις, οἰκεία γὰρ πατρός σου ἐστίν. Ἀσχημοσύνην ἀδελφῆς μητρός σου οὐκ ἀποκαλύψεις· οἰκεία γὰρ μητρός σου ἐστίν. Ἀσχημοσύνην ἀδελφοῦ τοῦ πατρός σου οὐκ ἀποκαλύψεις, καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ οὐκ εἰσελεύσῃ· συγγενὴς γάρ σου ἐστίν. Ἀσχημοσύνην νύμφης σου οὐκ ἀποκαλύψεις· γυνὴ γὰρ υἱοῦ σου ἐστὶν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς. Ἀσχημοσύνην γυναικὸς ἀδελφοῦ σου οὐκ ἀποκαλύψεις· ἀσχημοσύνη γὰρ ἀδελφοῦ σου ἐστίν. Ἀσχημοσύνην γυναικὸς καὶ θυγατρὸς αὐτῆς οὐκ ἀποκαλύψεις· τὴν θυγατέρα τοῦ υἱοῦ αὐτῆς, καὶ τὴν θυγατέρα τῆς θυγατρὸς αὐτῆς οὐ λήψῃ, ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῶν· οἰκεῖαι γάρ σου εἰσὶν, ἀσέβημα ἐστί». Ταῦτα μὲν καὶ τὰ τοιαῦτα διὰ τοῦ προφήτου Μωϋσέως καὶ περὶ συνοικεσίων νενομοθέτηται τοῖς πάλαι Ἰσραηλίταις ἐκείνοις, ὡς νηπιάζουσι καὶ παιδαγωγουμένοις, κατὰ τὸν θεῖον Ἀπόστολον, παιδαγωγὸν ἀποκαλοῦντα τὸν νόμον, καὶ τοῖς τῇ σκιᾷ λατρεύουσι, καὶ τοῖς τοὺς τύπους παραλαβοῦσιν. Ἡμῖν δὲ τῷ νέῳ Ἰσραὴλ, τῷ ἔθνει τῷ ἁγίῳ, τοῖς φυγοῦσι μὲν τὴν σκιὰν καὶ τοὺς τύπους, ἀξιωθεῖσι δὲ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς αὐτὴν τὴν ἀλήθειαν ἔχουσι, τί ἄρα τὸ Πνεῦμα τὸ ἅγιον ἐχρῆν νομοθε-

τῆσαι; ἀνάγκη γὰρ ἦν τοῖς πάντα τ' ἄλλα τὴν τελειότητα χάριτι Χριστοῦ λαβοῦσι, καὶ τὰ περὶ συνοικεσίων ἀκριβέστερον παραλαβεῖν. Ἡμῖν, ὡς πρέπει ἁγίοις, ἔδει μᾶλλον καὶ τὰ συνοικεσία ἐξακριβωθῆναι, καὶ τῶν σχετικῶν ἀφίστασθαι προσώπων, ἐν οἷς καὶ ἐλαχίστη τις θεωρεῖται οἰκειότης· πῶς γὰρ ἂν ἄλλως τὸ τοιοῦτο φρονῆσαι ἡμῖν γένοιτο, ὃ ἐν τῷ παλαιῷ νόμῳ τοσαύτης ἠξίωται τῆς φροντίδος, ἢ τοῖς μὲν ἀτελέσι τοσαῦτα καὶ τοιαῦτα περὶ συνοικεσίων νομοθετηθῆναι, ἡμῖν δὲ τοῖς ἐν Χριστῷ τελείοις οὐδεμία ἦν χρεία περὶ τούτων, ἀλλ' ἐξῆν φέρεσθαι ὡς ἂν τύχῃ; Καὶ τίς μὴ ἐκστὰς τῶν ἰδίων φρενῶν τολμήσειε κἂν μέχρι ψιλῆς διανοίας τὸ τοιοῦτον ὑπολαβεῖν; Διὸ καὶ οἱ θεῖοι Ἀπόστολοι, καθόλου μὲν ἱκανὰ ἡμῖν περὶ τούτων γνωρίσματα ἐν ταῖς ἱεραῖς αὐτῶν δέλτοις παρέδωκαν, ἀπείργοντες πάντα ρύπον καὶ μολυσμὸν τοῖς τῷ χριστιανικῷ σεμνυνομένοις ὀνόματι. «Πορνεία γάρ φησιν ὁ θεῖος Ἀπόστολος καὶ πᾶσα ἀκαθαρσία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις» (πρὸς Ἐφεσ. κεφ. ε', ἐδαφ. γ')· καὶ πάλιν· «Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ ὁ καιρὸς συνεσταλμένος ἐστὶν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι» (πρὸς Κορ. Α' κεφ. ζ', ἐδαφ. κθ'). Ἀλλὰ καὶ ἐν τοῖς ἱεροῖς αὐτῶν κανόσι τὰ τῆς βαθμολογίας ἐν μέρει ἐμφαίνοντες, τοῖς ἀθεμίτοις γάμοις τοὺς ὀρθοδόξους συμπλέκεσθαι ἀπαγορεύουσι. Καίτοι τοίνυν καθόλου καὶ ἐν μέρει τὰ περὶ συνοικεσίων ἐγγράφως ἡμῖν κατέλιπον, ὅμως μέντοι καὶ ἀγράφως πολλῷ πλείω περὶ τούτων τοῖς ἑαυτῶν διαδόχοις παρέδωκεν, καθὼς καὶ περὶ πολλῶν ἄλλων ἐν γένει τῆς Ἐκκλησίας παραδόσεων ἐν τοῖς τῆς ὀρθοδόξου πίστεως ἡμῶν διὰ στόματος μέχρις ἡμῶν ἀλληλοδιαδόχως λαλοῦσιν· ἐφ' οἷς δὴ ἐγγράφως τε καὶ ἀγράφως παραδοθεῖσιν οἱ θεοφόροι πατέρες ἐπιστηριζόμενοι δι' οἰκουμενικῶν καὶ τοπικῶν Συνόδων, ὥσπερ τὰ περὶ δογματικῆς θεολογίας ἀνέπτυξάν τε ἐδίδαξαν, καὶ ἐκράτυναν ὅροις καὶ κανόσιν ἱεροῖς, οὕτω καὶ τὰ ἀφορῶντα εἰς τὴν τῶν ἠθῶν εὐκοσμίαν καὶ χριστιανικὴν πολιτείαν καὶ καθαρότητα διετάξαντο καὶ ἐνομοθέτησαν, ἐν οἷς εἰσι καὶ τὰ περὶ συνοικεσίων, ἐποι-

κοδομοῦντες ἐπί τε τῆς πρώτης ἐκείνης βάσεως τοῦ παλαιοῦ νόμου, τῆς ἐν τῷ Λευϊτικῷ (κεφ. ιη', ἐδάφ. ε'), καὶ ἐφ' ὧν καθόλου καὶ ἐν μέρει οἱ θεῖοι Ἀπόστολοι περὶ τούτου ἐγγράφως ἐξέθεντο καὶ διέλαβον, καὶ ἀγράφως ὁριστικώτερον παρέδωκαν· τῆς γὰρ τῶν ὀρθοδόξων χριστιανῶν ὀρθότητος περὶ τὰ τῆς πίστεως δόγματα προμηθούμενοι, καὶ τῆς περὶ τὴν τοῦ βίου διαγωγὴν καὶ τὸ πολίτευμα καθαρότητος αὐτῶν προνοοῦντες, οὐ διέλιπον τὸ ἄνωθεν ἐκ παραδόσεως μέχρις αὐτῶν κατελθὸν ἔθος διακατέχοντες, ἀναπτύσσειν ἐν ἁγίῳ Πνεύματι ἀκριβέστερον δι' ἱερῶν κανόνων πᾶν τὸ περὶ οὗ ὁ λόγος, ἐπειδὰν χρεία ἐγίνετο. Καθ' ὃν δὴ τρόπον καὶ ἡ ἐν Νεοκαισαρείᾳ τοπικὴ Σύνοδος, ἄνωθεν παραλαβοῦσα, ἐν τῷ Β' αὐτῆς κανόνι, μέχρι θανάτου ἐξωθεῖται τὴν δύο ἀδελφοὺς γήμασαν γυναῖκα, οὕτως ἐπὶ λέξεως λέγουσα· «Γυνὴ ἐὰν γήμηται δύο ἀδελφοῖς, ἐξωθείσθω μέχρι θανάτου· πλὴν ἐν τῷ θανάτῳ διὰ τὴν φιλανθρωπίαν, εἰποῦσα, ὡς ὑγιάνασα λύσει τὸν γάμον, ἕξει τὴν μετάνοιαν». Παρόμοια τούτοις καὶ ἄλλα ἔστιν ἰδεῖν διορισθέντα τε καὶ κανονισθέντα καὶ ὑπ' ἄλλων κατὰ μέγα μέρος ἁγίων πατέρων, ὥσπερ καὶ παρὰ τοῦ οὐρανοφάντορος Βασιλείου· ὅς γε καθόλου μὲν περὶ γάμου ἐν τῷ ΞΗ' αὐτοῦ κανόνι οὕτω φησίν. «Ἡ τῆς ἀπειρημένης συγγενείας εἰς γάμον ἀνθρώπων σύστασις, εἰ φωραθείη ὡς ἐν ἁμαρτήμασιν ἀνθρώπων γενομένη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται»· διὰ τῆς ἀπειρημένης συγγενείας ἐννοῶν γενικώτερον, ὡς ἔοικεν, ὅσα τε ὁ παλαιὸς νόμος προηγουμένως λαλεῖ, καὶ ὅσα οἱ θεῖοι Ἀπόστολοι ἑπομένως ἐγγράφως τε καὶ ἀγράφως παρέδωκαν· καὶ μετ' αὐτοὺς οἱ θεοφόροι Πατέρες, τοῖς ἴχνεσιν ἐκείνων ἑπόμενοι, μέχρι τοῦ καιροῦ αὐτῶν ὁριστικώτερον περὶ γάμου διέταξαν· ἐν μέρει δὲ, «ὁ αὐτὸς τόπος, φησὶν ἐν ΟϚ' αὐτοῦ κανόνι, καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων φυλαττέσθω»· καὶ ἐν ΟΗ'. «Ὁ αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων εἰς συνοικέσιον, εἰ κατὰ διαφόρους χρόνους»· καὶ ἐν τῷ ΚΓ' αὐτοῦ· «Περὶ τῶν δύο ἀδελφὰς γαμούντων, ἢ ἀδελφοῖς δυσὶ γαμουμένων, ἐπιστολίδιον ἡμῖν ἐκπεφώνηται, οὗ τὸ

ἀντίγραφον ἀπεστείλαμέν σου τῇ εὐλαβείᾳ (τῷ Ἀμφιλοχίῳ ἐν τῇ Α΄ κανονικῇ αὐτοῦ ἐπιστολῇ), ὁ δὲ ἀδελφοῦ ἰδίαν γυναῖκα λαβὼν οὐ πρότερον δεχθήσεται, πρὶν ἀποστῆναι αὐτῆς». Καὶ Τιμόθεος δὲ ὁ Ἀλεξανδρείας ἐν ΙΑ΄ ἐρωτήσει αὐτοῦ, ἐρωτηθεὶς ἐάν τις καλέσῃ κληρικὸν εἰς τὸ συζεῦξαι γάμον, ἀκούσῃ δὲ τὸν γάμον παράνομον ἢ θειογαμίαν, ἤγουν ἀδελφὴν τελευτησάσης γυναικὸς τὴν μέλλουσαν ζεύγνυσθαι, εἰ ὀφείλει ἀκολουθῆσαι ὁ κληρικός, ἢ προσφορὰν ποιῆσαι; ἀποκρίνεται. «Ἅπαξ εἴπατε· ἐὰν ἀκούσῃ ὁ κληρικὸς τὸν γάμον παράνομον· εἰ οὖν ὁ γάμος παράνομός ἐστιν, οὐκ ὀφείλει ὁ κληρικὸς κοινωνεῖν ἁμαρτίαις ἀλλοτρίαις». Ἐκ δὲ τῶν συνοδικῶν κανόνων ὡς κορωνίδα ἐκτιθέμεθα, ἐπὶ τῶν αὐτῶν βάσεων ἐκτεθέντα, τὸν ΝΔ΄ τῆς Ϛ΄ Οἰκουμενικῆς Συνόδου· «Τῆς θείας ἡμᾶς οὕτω σαφῶς ἐκδιδασκούσης Γραφῆς, οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, ὁ θεοφόρος Βασίλειος τινὰς τῶν ἀπηγορευμένων γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, σιωπῇ τὰ πλεῖστα παραδραμών, καὶ κατ᾽ ἀμφότερα κατασκευάσας ἡμῖν τὸ ὠφέλιμον· τὸ γὰρ τῶν αἰσχρῶν ὀνομασιῶν πλῆθος παραιτησάμενος, ὡς μὴ τὸν λόγον καταρρυπαίνοι τοῖς ῥήμασι, τὰς ἀκαθαρσίας διέλαβε, δι᾽ ὧν περιεκτικῶς ἡμῖν τοὺς παρανόμους γάμους ὑπέδειξεν. Ἐπειδὴ δὲ τῇ τοιαύτῃ σιωπῇ, καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις συνέχεε, συνείδομεν γυμνότερον τὰ περὶ τούτου ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν, τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρί, ἢ δύο κόραις ἀδελφαῖς πατέρα καὶ υἱόν, ἢ ἀδελφοῖς δυσὶ μητέρα καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀμφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου». Ἀλλὰ τί χρὴ λέγειν τὰ πάντα, ὅσα οἱ θεῖοι Πατέρες εἰρήκασι περὶ συνοικεσίων, καὶ ἐγγράφως ἡμῖν κατέλιπον, ἃ ἐπιλείψει ἡμᾶς ὁ χρόνος ἀπαριθμοῦντας· ἐπ᾽ ἐκείνης γὰρ τῆς τοῦ παλαιοῦ νόμου βάσεως, ὡς εἴρηται, καὶ ἐφ᾽ ὧν οἱ πνευματέμφοροι Ἀπόστολοι ἐγγράφως καὶ ἀγράφως

παρέδωκαν, οἵ τε τῶν Οἰκουμενικῶν ἁγίων Συνόδων θεῖοι Πατέρες ἡμῶν, οἵ τε τῶν τοπικῶν, καὶ κατὰ μέρος αὐτῶν ἕκαστος θεοπνεύστως ἐποικοδομοῦντες· πρὸς δὲ, καὶ αἱ μετὰ ταῦτα κατὰ καιροὺς συγκροτηθεῖσαι τοπικαὶ ἱεραὶ Σύνοδοι, ἀλληλοδιαδόχως τούτοις ἑπόμεναι, κατὰ πρόνοιαν τῆς ὑπὲρ τῶν ὀρθοδόξων ἁγνείας καὶ καθαρότητος, τοὺς περὶ συνοικεσίων διαφόρους κανόνας ἐξέθεντο· μὴ βουλόμενοι γὰρ τοῖς συγγενικοῖς γάμοις μολύνεσθαι, «οἱ γεγραφότες, φασὶ, τοὺς νόμους, τοὺς τῶν γάμων ἀθεμίτους, τοὺς μὲν ὀνόμασι ρητοῖς διέστειλαν, τοὺς δὲ τῷ τῆς ἀκαθαρσίας ὀνόματι διαλαβόντες γενικῶς ἀφῆκαν καὶ παρεσιώπησαν, τοῦ σεμνοῦ πάντως φροντίζοντες, καὶ μὴ τῇ καθ' ἕκαστον ἐκθέσει τὴν γλῶτταν καταρρυπαίνειν ἐθέλοντες, συνῳδὰ τοῖς ὑπὸ τοῦ Ἀποστόλου Παύλου λεγομένοις: «πορνεία καὶ ἀκαθαρσία πᾶσα, μηδὲ ὀνομαζέσθω ἐν ἡμῖν, καθὼς πρέπει ἁγίοις», ἀποφαινόμενοι, καὶ τῷ τῆς ἀκαθαρσίας ὀνόματι πᾶσαν ἀθεμιτογαμίαν καὶ ἀρρητοποιίαν περιλαμβάνοντες. Ἀλλ' εἰ καί τινα σιωπῇ τετίμηται, οὐ πάντως ἡ σιωπὴ τοῖς φιληδόνοις ἐγένετο ἄδεια· ἀλλὰ καὶ αὐτοῖς τοῖς ἐπιτετραμμένοις τῶν γάμων, ὁ νόμος οὐκ ἀφῆκε ῥαδίως ἐπιπηδᾶν»· ἐπεί τοί γε ἐν τοῖς γάμοις, οὐ τὸ ἐπιτετραμμένον μόνον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς δεῖ σκοπεῖν, κατὰ τὸν μέγαν Βασίλειον, τὸν καὶ τὰ βάθη τοῦ Πνεύματος, κατὰ τὴν θεολόγον φωνὴν, ἐρευνῶντα, οὗ νόμος ἡ γλῶττα τῇ Ἐκκλησίᾳ, καὶ ὁ τῶν ῥημάτων φθόγγος θεόγραφοι πλάκες, δακτύλῳ ἐγκεχαραγμέναι Θεοῦ· ὁ δὲ ζητῶν ἕτερον νομοθέτην ἐν τούτοις, οὐκ οἶδα, εἰ σωφρονοῦσιν οὗτός γε δόξει σωφρονεῖν· ὅς γε μέγας πατὴρ, ἐπίτομον γνώρισμα παρεχόμενος, ἐν ᾧ τὰ τῶν ἀθεμίτων γάμων ῥαδίως τῶν νομίμων ἀποκριθήσεται, ἀποφαντικῶς λέγει· «Ἐν οἷς τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος»· Τοιούτοις οὖν γνωρίσμασι, καὶ θεοπνεύστοις τῶν Πατέρων γνώμαις, ὡς ἀλανθάστοις κανόσιν αἱ μετὰ ταῦτα τοπικαὶ ἱεραὶ Σύνοδοι χρώμεναι, συνοδικαῖς ψήφοις καὶ ἀποφάσεσιν ἐκανόνισαν περὶ πάντων τῶν συνοικεσίων, ἅπερ ἡ καθόλου ἁγία τοῦ Χριστοῦ ὀρθόδοξος ἀνατολικὴ

Ἐκκλησία διακρατεῖ, καὶ διακατέχει ἄνωθεν μέχρι τῆς σήμερον, καὶ μετασαλεῦσαι ταῦτα οὐδόλως ἀνέχεται, τοσούτοις αἰῶσιν ἐπικυρωθέντα, κρατυνθέντα τε καὶ παγιωθέντα. Ἀλλ' ἐπειδὴ ἐν τοῖς ἐσχάτοις τούτοις καιροῖς πολλοὶ τῶν ὀρθοδόξων χριστιανῶν, οἱ μὲν δι' ἄγνοιαν τῶν ἱερῶν νόμων, οἱ δὲ καὶ ἐπ' ἐλπίδι συγκαταβάσεως, σχέσεις ἀθεμίτων συνοικεσίων συγκροτοῦντες, διαφόροις τρόποις τῆς ἐκκλησιαστικῆς ἀρέσεως δράξασθαι πραγματεύονται· τοῖς μὲν γὰρ ἐπιχείρημα καθίσταται, εἴπου τι κατὰ περίστασιν καὶ ἀνάγκην συνέβη προγεγονὸς κεκωλυμένου γάμου παράδειγμα· τοῖς δέ, καὶ διὰ τὸ ἔν τισι βαθμοῖς ἀμφιρρεπὲς τοῦ νόμου, ἀφορμὴ τῆς ἐπὶ τὸν προσεχῆ καὶ ἐγγὺς κεκωλυμένον βαθμὸν εὐσυγγνώστου δῆθεν οἰκονομίας· εἰσὶ δὲ οἱ καὶ πορρωτέρω τὸ ἀναιδὲς προάγοντες, καὶ πολλῷ τῷ θράσει ἐπεμβαίνοντες, καὶ ἀνερυθριάστως καὶ ἀθεοφόβως γενικὴν καὶ συστηματικὴν ἀνατροπὴν τῶν περὶ τοῦ γάμου ἱερῶν ἐκπεφασμένων νόμων ἀπαιτοῦντες, καὶ εἰς μειώσεις καὶ κολοβώσεις τῶν τῆς συγγενείας βαθμῶν τὴν ἐκκλησιαστικὴν συγκατάθεσιν ἐκβιαζόμενοι, πρὸς ἀκώλυτον τῆς ἐναγοῦς αἱμομιξίας ἐκτέλεσιν*· οὗ τί ἂν γένοιτο παρανομώτερον; εἰ γὰρ ἔθος τὸ τυχόν,

---

* Ἀναφέρεται διὰ τούτων ὁ ἀείμνηστος Γρηγόριος ΣΤ' εἰς τὸ περὶ συνοικεσίων νομοσχέδιον τοῦ Ἰονίου κράτους, οὗ ἡ διοίκησις ἰδοὺ τί ἔγραφε σὺν τοῖς ἄλλοις πρὸς τὴν Μ. Ἐκκλησίαν: «Ἀφοῦ ἡ τύχη των (τοὺς Ἰονίους) ἐπεριώρισεν εἰς μικροτάτην περιφέρειαν, αὐτὴ ἡ μικρότης των ἐπολλαπλασίασε τόσον τὴν μεταξύ τους συγγένειαν, ὥστε καθίσταται πρᾶγμα δυσχερὲς ἡ ἐκπεραίωσις παντὸς συνοικεσίου, ἕνεκεν τῶν ἐπικρατούντων ἐμποδίων μιᾶς τοσοῦτον πολυπλόκου βαθμολογίας, καὶ πολλαὶ οἰκογένειαι ρίπτονται πολλάκις εἰς ἀμήχανον ἀδημονίαν, ἀναγκαζόμεναι νὰ ἀποβάλλωσι τὰ ἀληθῆ των συμφέροντα, νὰ ὑποπίπτουν εἰς θλιβερὰ ἀτοπήματα, ἢ νὰ συγκατανεύωσι, καθὼς συχνὰ συμβαίνει, εἰς συνοικέσια μὲ ἑτερόφρονα σύζυγον. Τὰ τοιαῦτα δεινὰ ἠθέλησεν ὁ νομοθέτης νὰ θεραπεύσῃ μὲ μόνην τὴν μείωσιν δύο βαθμῶν εἰς ὅλα τὰ εἴδη τῆς συγγενείας, ἐπιζητῶν, ὥστε, εἰς τοὺς μὲν ἐκ πλαγίου ἐξ αἵματος, ἀντὶ τοῦ ζ' βαθμοῦ, νὰ στήσῃ ὡς κωλύματος ὅρον τὸν πέμπτον· εἰς δὲ τὴν ἐξ ἀγχιστείας συγγένειαν, ἀντὶ τοῦ πέμπτου βαθμοῦ, τὸν τρίτον μόνον· εἰς δὲ τὴν ἐκ τοῦ ἁγίου βαπτίσματος συγγένειαν, ἀντὶ τοῦ τρίτου βαθμοῦ, εἰς μόνην τὴν κατιοῦσαν γραμμὴν τὸν δεύτερον». —Ἐντεῦθεν ἡ Μ. Ἐκκλησία καὶ ἐν τῷ Τόμῳ

τῷ χρόνῳ παγιωθὲν, νόμος καθίσταται, πῶς ἔθος ἅγιον, καὶ πρὸς τὴν καθαρότητα τοῦ χριστιανικοῦ πολιτεύματος ἀφορῶν, καὶ διὰ τοσούτων αἰώνων κρατυνθὲν, κινηθήσεται; εἰ δὲ καὶ γνώμῃ τοσούτων ἁγίων ἀνδρῶν καὶ θεοφόρων Πατέρων συνοδικῶς κεκύρωται, καὶ κανόσι διησφαλίσθη, καὶ ἐπὶ τοσούτους αἰῶνας παρὰ πάσης τῆς ὀρθοδόξου Ἐκκλησίας διαμένει διατηρούμενον, πῶς οὐχὶ ἅπαν ἔχει τὸ κράτος καὶ τὴν ἰσχύν; Τίς δ' οὕτω τολμητίας τε καὶ ἀντίθεος, ὥστε καταργῆσαι ἅπερ αὐτὸς ὁ Θεὸς νενομοθέτηκε, καὶ ἅπας τῶν θείων ἀνδρῶν ὁ σύλλογος εὐσεβῶς διετάξατο, καὶ ἡ τῶν πιστῶν Ἐκκλησία ἐς δεῦρο διαφυλάττει; Διὰ ταῦτα, ἡ μετριότης ἡμῶν, τοῖς ἀποστολικοῖς καὶ συνοδικοῖς ἑπομένη ἴχνεσι, καὶ τούτοις ἀπαρεγκλίτως παρακολουθοῦσα, ἔγνω κοινῇ συνδιασκέψει, μιᾷ τε ὁμοφώνῳ γνώμῃ ἁπάντων τῶν ἐν βασιλευούσῃ ἐνδημούντων ὀρθοδόξων ἱεραρχῶν, τῶν τε ἁγιωτάτων καὶ σεβασμιωτάτων πατριαρχῶν, προκατόχων ἡμῶν, τοῦ κυρίου Κωνσταντίου Α', καὶ τοῦ κυρίου Κωνσταντίου Β', τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Ἀθανασίου καὶ τῶν περὶ ἡμᾶς

τῆς ἀνακηρύξεως τῆς Ἐκκλησίας τοῦ βασιλείου τῆς Ἑλλάδος ὡς αὐτοκεφάλου, ὥριζε τῇ 29 ἰουνίου 1850· «Τὰ δὲ πρὸς τὴν ἐσωτερικὴν ἐκκλησιαστικὴν διοίκησιν ἀφορῶντα, οἷα . . . . καὶ τὰ περὶ γάμου καὶ διαζυγίου κανονισθήσονται παρὰ τῆς Ἱερᾶς Συνόδου διὰ συνοδικῆς πράξεως, μὴ ἀντιβαινούσης τὸ παράπαν τοῖς ἱεροῖς κανόσι τῶν ἁγίων καὶ ἱερῶν Συνόδων καὶ τοῖς πατροπαραδότοις ἐθίμοις, καὶ ταῖς διατυπώσεσι τῆς ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας». Τοῦτο δὲ διότι τῇ 23 ἰανουαρίου 1834 ἡ τότε λεγομένη σύνοδος τοῦ κλίματος τούτου ἐγνωμάτευε: «Νὰ συγχωρῆται, ἢ μᾶλλον νὰ μὴ καταδιώκηται ὁ ε' βαθμὸς ἐξ ἀγχιστείας καὶ ὁ ϛ' ἐξ αἵματος εἰς τὰ συνοικέσια· ἡ ἐκ τριγενείας συγγένεια· νὰ φυλάττηται μέχρι τοῦ γ' βαθμοῦ· ἡ δὲ ἐκ τοῦ ἱεροῦ βαπτίσματος μέχρι τοῦ τρίτου βαθμοῦ»· καὶ διότι βασιλικὸν διάταγμα τῆς 21 αὐγούστου 1833 ἐκήρυττε τὸν γάμον ὡς συνάλλαγμα πολιτικόν· ἃ παραπτώματα ἐπηνόρθωσε τῇ 29 νοεμβρίου 1837 ἡ αὐτόθι σύνοδος κηρύξασα κωλυόμενον τὸν γάμον μέχρι μὲν τοῦ ζ' βαθμοῦ εἰς τὴν ἐξ αἵματος συγγένειαν· μέχρι τοῦ ϛ' εἰς τὴν ἐξ ἀγχιστείας· μέχρι τοῦ δ' εἰς τὴν ἐκ τριγενείας καὶ εἰς τὴν ἐξ ἁγίου βαπτίσματος. Βλ. Κ. Οἰκονόμου Σωζόμενα Ἐκκλησ. συγγράμματα, ἐκδιδόμενα ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Σοφοκλέους. Ἀθήνησι, τόμ. Β', 1864, σελ. 244, 315 καὶ 373, ὅπου κεῖνται αἱ ἐγκύκλιοι καὶ τὸ βασιλ. διάταγμα.

ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητῶν καὶ περιποθήτων ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, τὸν παρόντα πατριαρχικὸν καὶ συνοδικὸν ἐκθέσθαι Τόμον, ἐπικυροῦντα, καὶ οἱονεὶ ἀνακαινίζοντα καὶ ἐπιστηρίζοντα τὰ ἔκπαλαι περὶ τῶν βαθμῶν τῶν συνοικεσίων τεθεσπισμένα ὑπὸ τῆς ἁγίας ἡμῶν Ἐκκλησίας, καὶ μέχρι τοῦδε ἀλληλοδιαδόχως διενεργούμενα, καὶ ἐν εἴδει προαναφωνήσεως ἀνακηρύττοντα τοῖς ἁπανταχοῦ ὀρθοδόξοις ἀρχιερεῦσι, τοῖς τοῦ κλήρου ἅπασι, καὶ παντὶ τῷ χριστωνύμῳ πληρώματι, μηδεμίαν ἔσεσθαι τοῦ λοιποῦ μηδὲ ἐλπίσαι συγκατάβασιν ἐν οἱῳδήτινι κεκωλυμένῳ ὄντι παρὰ τῶν ἱερῶν νόμων συνοικεσίου βαθμῷ, εἴτε πρὶν καὶ ἐρωτηθέντος, εἴτε συντελεσθῆναι φθάσαντος. Ἐφ' ᾧ καὶ γράφοντες ὁριζόμεθα ἐν ἁγίῳ Πνεύματι καὶ ἀποφαινόμεθα συνοδικῶς, ἵνα ἡ περὶ τῶν γάμων ἀρχαιοτάτη καὶ θεοδίδακτος, καὶ δι' ἱερῶν οἰκουμενικῶν συνόδων καὶ πατριαρχικῶν Τόμων καὶ ἀποφάσεων ἐπικυρωθεῖσα καὶ μέχρι τοῦ νῦν ἐπικρατοῦσα καὶ ἐμπολιτευομένη διάταξις ὑπάρχῃ ἀπαραποιήτως διενεργουμένη, καὶ φυλαττομένη ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καὶ ἐς τὸ διηνεκὲς διασώζηται ἀπαραχάρακτος, καὶ οἱ περὶ βαθμολογίας τῶν γάμων κανόνες καὶ ἱεραὶ διατυπώσεις πάσης ἐνδεχομένης ἀνάγκης αἰωνίως ἐπικρατῶσιν ἰσχύοντες· μόνον γὰρ τίμιον γάμον γνωρίζομεν καὶ ἀποδεχόμεθα τὸν ἔννομον καὶ κατὰ τοὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τῶν θείων Πατέρων ἡμῶν συναπτόμενον, καὶ ὡς ῥίζαν ἀγαθὴν καὶ ὑποβάθραν γένους τιμίου καὶ εὐσεβοῦς λογιζόμεθα, ὅπου δηλονότι ἡ συγγενικὴ βαθμολογία ἀκριβῶς καὶ ἀπαραποιήτως φυλάττεται· ἤτοι, εἰς μὲν τὴν ἐξ αἵματος συγγένειαν μέχρι τοῦ ὀγδόου βαθμοῦ· εἰς δὲ τὴν ἐξ ἀγχιστείας μέχρι τοῦ ἕκτου· καὶ εἰς τὴν ἐκ τριγενείας μέχρι τοῦ τετάρτου· ἐπὶ δὲ τοῦ ἁγίου Βαπτίσματος ὁρίζεται κατὰ βάθος ὁ ὄγδοος, κατὰ τὴν ἐξ αἵματος βαθμολογίαν, ὅτι ἡ κατὰ πνεῦμα οἰκειότης μείζων τῆς κατὰ σάρκα· καὶ οὗτοι ἔσονται οἱ ἔσχατοι ὅροι τῆς ἀκωλύτου τῶν νομίμων συνοικεσίων ἐκτελέσεως· πᾶσαν δὲ ἄλλην γαμικὴν συνάφειαν, τοὺς ἐκτεθέντας βαθμοὺς ὑπερπηδῶσαν, καὶ τὴν κανονικὴν

ταύτην βαθμολογίαν μὴ φυλάττουσαν ὡς παράνομον ἀθεμιτογαμίαν καὶ αἱμομιξίαν, καὶ τὸ σεμνοπρεπὲς τοῦ ἱεροῦ γάμου καθυβρίζουσαν, ἀποστέργομεν τοῖς ὅλοις, καὶ τῆς ἁγίας Ἐκκλησίας ἀποκλείομεν, καὶ πόρρω τοῦ ὀρθοδόξου λαοῦ ἀπορρίπτομεν, καὶ ὡς ἄθεσμον καὶ ἀτελεσιούργητον τὸ τοιοῦτο συνοικέσιον λογίζεσθαι ὁριζόμεθα, καὶ τοὺς παραβάτας καὶ τῶν ἱερῶν νόμων καταφρονητὰς ἐναντίους τῇ Ἐκκλησίᾳ καὶ τοῖς ὑπὸ τῶν ἁγίων Πατέρων ἡμῶν ἐπανατεινομένοις ἐπιτιμίοις ἐνόχους ἀναγράφομεν καὶ ὑπευθύνους, μηδεμιᾶς τοὐντεῦθεν ἐφ' οἱῳδήτινι λόγῳ καὶ ἀνάγκῃ οἰκονομίας, ἢ παροράσεως, ἄπαγε! χώραν θαρρούσης λαχεῖν. Ὅθεν καὶ ὁ παρὼν ἡμέτερος Πατριαρχικὸς καὶ Συνοδικὸς ἐξεδόθη Τόμος, καταστρωθεὶς κἀν τῷ ἱερῷ Κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, πρὸς κοινὴν τῶν ἁπανταχοῦ ὀρθοδόξων διαβεβαίωσιν.

Ἐν ἔτει σωτηρίῳ ᾳωλθ'. Φεβρουαρίου ι'.

† Γρηγόριος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης ἀποφαίνεται.

† Πατριάρχης πρώην Κωνσταντινουπόλεως Κωνστάντιος Α' ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Πρώην Κωνσταντινουπόλεως Πατριάρχης Κωνστάντιος Β' ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ἱεροσολύμων Πατριάρχης Ἀθανάσιος ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† — *Ἐφέσου Ἄνθιμος* † — *Ἡρακλείας Διονύσιος* † — *Κυζίκου Ἄνθιμος* † — *Νικομηδείας Ἄνθιμος* † — *Χαλκηδόνος Ἱερόθεος* † — *Δέρκων Γερμανός* † — *Θεσσαλονίκης Μελέτιος* † — *Ἀμασείας Καλλίνικος* † — *Πελαγονίας Γεράσιμος* † — *Κεστεντηλίου Ἀρτέμιος* † — *Λήμνου Ἱερώνυμος* † — *Σκοπίων Γαβριήλ.*

Σημ. Ἐξεδόθη ἐν ἰδίῳ φυλλαδίῳ ὀγκώδει τῷ 1839, ἐξ αὐτοῦ δὲ μετατυποῦται τὸ δεύτερον, μετὰ τὴν ὑπὸ Ράλλη καὶ Ποτλῆ ἀνατύπωσιν.

ΠΙΝΑΞ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΕΝ ΤΩι Α' ΤΟΜΩι ΤΩΝ ΚΑΝΟΝΙΚΩΝ ΔΙΑΤΑΞΕΩΝ

Σημ. Αἱ τῶν ἐγγράφων ἐπιγραφαὶ ἐφυλάχθησαν ὡς ἐπὶ τὸ πλεῖστον οἷαι κεῖνται ἐν τοῖς κώδηξιν ἢ τοῖς βιβλίοις, ἐξ ὧν μετεγράφησαν.

ΣΥΜΠΛΗΡΩΜΑ

ΠΙΝΑΞ ΑΝΑΛΥΤΙΚΟΣ

ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ

Σημ. Ἐν τῷ πίνακι τούτῳ οὐ παραπέμπομεν εἰς ἀδείας συνοικεσίων γινομένων λόγῳ ἐκκλησιαστικῆς οἰκονομίας καὶ συγκαταβάσεως.

γενέσθαι ὁ ἐνταφιασμὸς αὐτοῦ εἰς τὰ τῶν ἡμετέρων ὀρθοδόξων, παραχωρῇ προθύμως ἡ Ἱερότης της τὴν ἄδειαν τοῦ ἐνταφιασμοῦ ἐν αὐτοῖς, ἄνευ μέντοι τοῦ παρέχεσθαι δικαίωμα ἰδιοκτησίας ἢ μετοχῆς τινος ἐπὶ τοῦ τόπου τῆς ταφῆς αὐτοῦ. Ἐὰν δὲ συμπέσῃ θάνατος ἑτέρου τινὸς ἐκ τῶν ἑτεροδόξων, μὴ ἐχόντων ἰδίους ἱερεῖς, καὶ οἱ συγγενεῖς τοῦ τεθνεῶτος ἀπαιτήσωσιν ἵνα συνοδεύσωσι τὸν νεκρὸν οἱ ἡμέτεροι ἱερεῖς, ἡ Ἱερότης της νὰ διορίζῃ ἕνα ἢ δύο τῶν ἡμετέρων ἱερέων, ἵνα συνοδεύσωσι τὸν νεκρὸν, ψάλλοντες τὸν τρισάγιον ὕμνον, τὸν ριη' Ψαλμὸν ἐκ τῆς νεκρωσίμου ἀκολουθίας μετὰ τῆς ἀναγνώσεως τοῦ Ἀποστόλου καὶ τοῦ Εὐαγγελίου. Ὅπου δὲ ὑπάρχουσιν ἱερεῖς αὐτῶν, οἱ ἡμέτεροι μηδὲν λαμβάνωσι μέρος ἐν τῇ τελετῇ. Ταῦτα τοίνυν πρὸς πληροφορίαν καὶ ὁδηγίαν της· ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς αὐτῆς Ἱερότητος» ,αωξθ' ὀκτωβρίου κ'.

Σημ. Οἱ σήμερον ἀποκρισιάριοι λαμβάνονται καὶ ἐκ τῶν λαϊκῶν.

μηδετέρου ζημιουμένου». Καὶ ἐν σχολίῳ· «Ἡ μέν τοι Ρ΄ καὶ ΡΑ΄ Νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ διορίζονται τὸν μὲν ἄνδρα καρτερεῖν ἐπὶ τριετίᾳ, καὶ ἐντὸς ταύτης μὴ διαλύειν τὴν μετὰ τῆς μανείσης γυναικὸς αὐτοῦ συζυγίαν, τὴν δὲ γυναῖκα μὴ διαζεύγνυσθαι τοῦ μανέντος ἀνδρὸς αὐτῆς, εἰ μὴ παρέλθῃ πενταετία».

Σημ· Παρασυνάπτομεν ὧδε δύο διατάξεις τῶν πατριαρχῶν Κωνσταντινουπόλεως, τὴν μὲν Γρηγορίου τοῦ ἀπὸ Σερρῶν, ἐκδοθεῖσαν ἐν τῇ δευτέρᾳ πατριαρχείᾳ, τὴν δὲ τοῦ παναγιωτάτου κκ. Διονυσίου τοῦ ἀπὸ Ἀδριανουπόλεως, ἐχούσας οὕτω:—«Γρηγόριος ἐλέῳ Θεοῦ κτλ. Ἐκτὸς τῆς ἀδιαλείπτου μερίμνης, ἣν ἀείποτε καταβάλλει ἀξιοχρέως ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία ὑπὲρ τῶν πνευματικῶν συμφερόντων τῶν ἁπανταχοῦ πνευματικῶν αὐτῆς τέκνων, κρίνουσα χρέος αὐτῆς ἵνα κήδηται καὶ προνοῇ καὶ ὑπὲρ τῆς ἠθικῆς εὐταξίας αὐτῶν καὶ τῆς ἀποφυγῆς ἐπιμόμφων πράξεων ἐν ταῖς κοινωνικαῖς αὐτῶν σχέσεσι, καθῆκον ἐθεώρησε διακοινῶσαι καὶ τὰς ἐφεξῆς προνοητικὰς αὐτῆς συμβουλὰς καὶ διαταγὰς, ἀφορώσας τὸ ἀκαταιτίατον καὶ ἄμεμπτον τῶν νομίμως συγκροτουμένων μνηστειῶν, καθ' ὅσον αὗταί εἰσιν αἱ πρῶται βάσεις τῆς ἐν ἀγάπῃ καὶ χριστιανικῇ εἰρήνῃ καὶ συζυγικῇ ἁρμονοίᾳ συζωίας τῶν μνηστευομένων· καθότι μετὰ δυσαρεσκείας οὐ μικρᾶς βλέπει, ὅτι ἐπὶ τοῦ οὐσιώδους τούτου ἀντικειμένου συμβαίνουσι καθ' ἑκάστην πολλαὶ καὶ ἀνοίκειοι καταχρήσεις καὶ ἀταξίαι, ἐξ ὧν προκύπτουσι διενέξεις καὶ διαπληκτισμοὶ, καὶ τελευταῖον, διαλύσεις ἀρραβώνων, οὐ μόνον ὄνειδος φέρουσαι καὶ κατηγορίαν, ἀλλὰ καὶ ζημίας ἀμφοτέρων τῶν μνηστευομένων μερῶν· αἰτία δὲ τούτων ὑπάρχει τὸ ἀπόλυτον καὶ ἀκανόνιστον

τοῦ τε χρόνου τῆς μνηστείας καὶ τοῦ ποσοῦ τῶν συναλλαττομένων ἀρραβώνων, καὶ ἄλλαι παροράσεις καθηκόντων ἐκ μέρους τῶν τε γονέων καὶ τῶν μνηστήρων, καθὰ τοιαῦτα ὁσημέραι προκύπτουσι δυσάρεστα παραδείγματα· καθότι πρῶτον ἐν τῷ μεταξὺ τῆς μνηστείας διαστήματι, ὅπερ πολλάκις παρατείνεται καὶ εἰς χρόνους ὁλοκλήρους, ὑπάρχει ἐλευθέρα ἡ εἴσοδος καὶ ἡ ἔξοδος τῶν νέων μνηστήρων εἰς τὰς οἰκίας τῶν πενθερῶν, καὶ ἀκώλυτος ἡ συναναστροφὴ τῶν μνηστευθέντων· ἔπειτα, ἐκτὸς τῶν λόγῳ ἀρραβώνων ἀνταλλαττομένων μνήστρων, δίδονται καὶ εἰς τὰς ἑορτὰς δωρεαὶ βαρύτιμοι· ἐπακολουθοῦσι δὲ καὶ ἔξοδα μάταια καὶ ἀνωφελῆ καθ' ὅλην τὴν διάρκειαν τῆς μνηστείας· συμπεσούσης δὲ δυσαρεσκείας τινὸς μεταξὺ αὐτῶν, τότε ἀναφύονται προφάσεις ἐπὶ διαλύσει πρὸς φιλοκέρδειαν, καὶ ἀπαιτήσεις διπλασίων ἀρραβώνων, καὶ ἀγωγαὶ ζημιῶν καὶ ἐξόδων, καὶ πλεῖστα ἄλλα ἄτοπα παρέπονται, πηγάζοντα, ὡς προέφημεν, ἐκ τοῦ ἀκανονίστου καὶ ἀορίστου καὶ ἀτάκτου τρόπου τῶν μνηστειῶν. Ταῦτα τοίνυν γενικῶς καταργοῦντες καὶ ἐξαλείφοντες τοῦ λοιποῦ ἐκ προνοίας ἐκκλησιαστικῆς, διαβιβάζομεν καὶ τῇ αὐτῆς Ἱερότητι διὰ τῆς παρούσης ἐκκλησιαστικῆς Ἐγκυκλίου ἐπιστολῆς τὰ περὶ τοῦ ἀντικειμένου τούτου συνοδικῶς ἐγκριθέντα, ἐντελλόμενοι καὶ προτρεπόμενοι αὐτῇ ὅπως, συστήσασα τοῖς ἐπαρχιώταις αὐτῆς χριστιανοῖς δι' ἀρχιερατικῶν αὐτῆς γραμμάτων, ὑπαγορεύσῃ αὐτοῖς ὅπως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἐν ἑκάστῃ συγκροτήσει μνηστείας, ἥτις ὀφείλει νὰ γίνηται ἐπὶ παρουσίᾳ τοῦ ἱερατικῶς προϊσταμένου καὶ δύο τῶν προκριτωτέρων τῆς ἐνορίας, ἐχόντων βεβαίως τῶν μνηστευομένων τὴν νόμιμον ἡλικίαν, προσδιορίζηται προθεσμία ἓξ μηνῶν, ἢ τὸ πολὺ ἑνὸς ἔτους μέχρι τῶν γάμων, οἵτινες δέον ἵνα ἐκτελῶνται ἐξ ἅπαντος ἐν τῇ λήξει τῆς προθεσμίας ταύτης καὶ οὐχὶ περαιτέρω, τὰ δὲ λόγῳ ἀρραβῶνος διδόμενα ἀμοιβαίως ψιλὰ σύμφωνα θέλουσι συνίστασθαι εἰς δακτυλίδια ἐξ ἑκατέρων τῶν μερῶν ἀξίας ἀναλόγου τῆς καταστάσεως τῶν μνηστευομένων, καὶ αὐτὰ μόνα λογίζωνται ὁ καθ' αὐτὸ ἀρραβών, ὅστις, ἐν περιπτώσει διαλύσεως τυχὸν τῆς μνηστείας, ἔχει ἐπιστρέφεσθαι διπλάσιος παρὰ τοῦ μετανοοῦντος μέρους, λείψωσι δὲ ὅλως διόλου καὶ αἱ κατὰ τὸ διάστημα τῆς μνηστείας κακῶς ἐθιζόμεναι δωρεαὶ τόσον παρὰ τοῦ μνηστῆρος, ὅσον καὶ παρὰ τῆς μνηστῆς, καθότι αἱ φιλοδωρίαι οὐδαμῶς λογίζονται ὡς ἀρραβών, οὔτε ἐπιστρέφονται διπλάσιοι, συμβαινούσης διαλύσεως, καθὼς ἐπίσης καὶ τὰ ἐκ φιλοτιμίας ματαίας καὶ κατὰ τὸ δοκοῦν γινόμενα ἔξοδα καὶ φαγοπότια εἰς οὐδὲν μετροῦνται, οὔτε ἀπαιτοῦνται παντελῶς, μὴ γενομέ-

νου τοῦ γάμου. Ἐν τούτοις δὲ, κατὰ τὴν ἡμέραν τῶν ἀρραβώνων δέον ἵνα συντάττωνται καὶ τὰ ἀμοιβαῖα προικοσύμφωνα, ὑπογραφόμενα παρ' ἑκατέρων τῶν μερῶν, καὶ μαρτυρούμενα ὑπὸ τῶν παρευρισκομένων: ἤτοι τοῦ ἱερατικῶς προϊσταμένου καὶ τῶν προκρίτων. Πρὸ πάντων δὲ οἱ μνηστῆρες μηδόλως ἔχωσιν ἐλευθέραν τὴν εἴσοδον καὶ ἔξοδον, μηδὲ συναναστρέφωνται καὶ συνδιασκεδάζωσι μετὰ τῶν μνηστῶν αὐτῶν, ἐκτὸς ἐπισήμων καὶ ὡρισμένων ἐπισκέψεων κατὰ τὰς ἐπισήμους ἡμέρας, γνωστοῦ ὄντος διὰ τῆς συνεχοῦς πείρας, ὅτι ἐκ τῆς τοιαύτης ἀπολύτου τῶν μνηστήρων συναναστροφῆς προκύπτουσι πολλὰ ἄτοπα καὶ πολλαὶ ἀφορμαὶ, προκαλοῦσαι ἐπὶ τέλους τὴν διάλυσιν τῆς μνηστείας. Ταῦτα τοίνυν διακοινώσασα καὶ ἡ Ἱερότης της τοῖς χριστιανοῖς αὐτῆς, καὶ διατυπώσασα ἐν ταῖς τῶν μνηστειῶν συγκροτήσεσι, διενεργῇ ἀπαραλλάκτως, ὅπως ἐκλείψωσιν αἱ μέχρι τοῦδε συμβαίνουσαι καταχρήσεις ἐπὶ τῶν μνηστειῶν, εἰς τρόπον, ὥστε, μετὰ τὴν διακοίνωσιν τῶν ἐκκλησιαστικῶν τούτων συμβουλῶν καὶ προνοητικῶν διαταγῶν, ὀψέποτε ἀναφυῇ διένεξις καὶ διαφορὰ τῶν μνηστευομένων, ὁ μὴ φυλάξας ταύτας, εἴτε ἐκ τῶν γονέων, εἴτε ἐκ τῶν μνηστήρων, μηδόλως εἰσακούηται εἰς τὰς ἀπαιτήσεις αὐτοῦ, ἀλλ' ἀπορρίπτωνται πᾶσαι αἱ ἀπαιτήσεις, αἱ μὴ συνᾴδουσαι πρὸς τὰ ἀνωτέρω διατυπωθέντα. Ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετ' αὐτῆς. ‚αωξη'. Ἰουλίου ιβ'.»

Ἡ νεωτέρα περὶ μνηστείας ἐστὶν αὕτη: «Διονύσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ οἰκουμενικὸς πατριάρχης. Ἐντιμότατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μ. Ἐκκλησιας καὶ εὐλαβέστατοι ἱερεῖς οἱ ψάλλοντες ἐν ταῖς ἐκκλησίαις τῆς Πόλεως, τοῦ Γαλατᾶ καὶ τοῦ καθ' ἡμᾶς Καταστένου· καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοὶ, τέκνα ἐν Κυρίῳ ἡμῶν ἀγαπητά· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Ὅσον μέγα καὶ σπουδαῖόν ἐστι τὸ ἱερὸν μυστήριον τοῦ γάμου, βάσις καὶ θεμέλιον ὑπάρχον τοῦ ἐν τῇ οἰκογενείᾳ καὶ τῇ κοινωνίᾳ χρηστοῦ καὶ ἐναρέτου βίου τῶν χριστιανῶν, τοσοῦτον καὶ ἡ κοινὴ τῶν ὀρθοδόξων μήτηρ Ἁγία τοῦ Χριστοῦ Ἐκκλησία σπουδαίως ἀείποτε ἐμερίμνησε περὶ τῆς συμφώνως τῷ νόμῳ καὶ τῇ χριστιανικῇ εὐπρεπείᾳ τελέσεως αὐτοῦ, οὐ μόνον τὸ νομικῶς ἀκριβὲς ἐν τοῖς γάμοις, ἀλλὰ καὶ τὸ χριστιανικῶς εὐπρεπὲς, κατὰ τὴν διδασκαλίαν τῶν θείων Πατέρων, ἐπιζητοῦσα. Ἐπειδὴ δὲ ἀπὸ τῆς εὐδοκίᾳ Θεοῦ ἀναρρήσεως ἡμῶν ἐπὶ τὸν ἁγιώτατον οἰκουμενικὸν Θρόνον μετὰ πολλῆς λύπης παρετηρήσαμεν ὅτι ἐνιαχοῦ οὔτε ἀκρίβεια τοῦ νόμου τηρεῖται ὡς δεῖ, καὶ αἱ κατὰ καιροὺς ἀπευθυνθεῖσαι ὑπὸ τῆς Ἐκκλησίας συμβουλαὶ καὶ ὑπο-

θῆκαι παροpῶνται ὑπ' ἐκείνων ἰδίως, ὧν καθῆκον ἀπαράβατον ἔδει εἶναι ἡ τούτων ἀκριβὴς φυλακὴ καὶ τήρησις, ὡς ἐκ τούτου δὲ κατά τε τὴν σύναψιν μνηστειῶν καὶ κατὰ τὴν τέλεσιν γάμων λαμβάνουσι συνεχῶς χώραν πολλὰ μὲν τὰ κανονικῶς ἐπίμεμπτα, οὐκ ὀλίγα δὲ τὰ τῇ χριστιανικῇ εὐπρεπείᾳ ἀντικείμενα, καθῆκον ἀξιοχρέου μερίμνης ἡγησάμεθα ἐπαναλαβεῖν καὶ ὑπομνῆσαι πᾶσιν ὑμῖν τὰ προσήκοντα περὶ τοῦ σπουδαίου τούτου ἀντικειμένου, πρὸς πρόληψιν μὲν τῶν ἐνίοτε συμβαινόντων ἀτοπημάτων, προφυλακὴν δὲ τῶν χριστιανῶν ἀπὸ τῶν ἐπιζημίων καὶ ὀλεθρίων πολλάκις συνεπειῶν τῶν παρὰ τὰς διατάξεις τοῦ νόμου καὶ τὰς συμβουλὰς τῆς Ἐκκλησίας συναπτομένων μνηστειῶν καὶ γάμων. Καὶ δὴ γράφοντες διὰ τῆς παρούσης πατριαρχικῆς ἡμῶν ἀποδείξεως ἐντελλόμεθα καὶ προτρεπόμεθα πάντας, ἵνα κατὰ τὴν σύναψιν μνηστείας μὴ προβαίνητε εἰκῇ καὶ ὡς ἔτυχεν, ἀλλὰ μετὰ προηγουμένην ἀκριβῆ ἐξέτασιν καὶ ὥριμον σκέψιν, ὁπόταν πεισθῆτε ὅτι οὐδὲν ὑπάρχει ἐκ τῶν ὑπὸ τοῦ νόμου προβλεπομένων κωλυμάτων, ἀναλογιζόμενοι οἷα τὰ ἐκ τῶν βίᾳ ἢ συναρπαγῇ καὶ ἄνευ τῆς προσηκούσης ἐρεύνης συναπτομένων μνηστειῶν λυπηρὰ ταῖς οἰκογενείαις ἀποτελέσματα. Ὅθεν, μετὰ τὴν τοιαύτην ὀφειλετικὴν ἐξέτασιν, ζητητέον τὴν συναίνεσιν τῶν μνηστευομένων καὶ τὴν τῶν γονέων ἢ κηδεμόνων αὐτῶν, ἐὰν ἔχωσι τοιούτους, φευκτέον δὲ τὰς ἐν ἀώρῳ ἡλικίᾳ προκαλουμένας μνηστείας, αἵτινες, καθὰ μακρὰ πεῖρα ἀπέδειξεν, ἀστοχοῦσιν ὡς ἐπὶ τὸ πολὺ τῆς τοῦ γάμου ἱερότητος καὶ εἰς ἐξευτελισμὸν αὐτοῦ συντελοῦσι. Προσήκει δὲ συνάπτεσθαι τὰς μνηστείας ἐπὶ παρουσίᾳ ἱερέως καὶ ἄλλων προσώπων, ἵνα εὐχερὴς ᾖ ἐν ἀνάγκῃ ἡ ἀπόδειξις αὐτῶν, καὶ μὴ παρατείνειν ταύτας πλέον τῆς ὑπὸ τοῦ νόμου ὁριζομένης προθεσμίας τῶν δύο ἐτῶν, ἀλλ' εἰ δυνατὸν καὶ συντέμνειν τὸν χρόνον, καθ' ἃ καὶ ἄλλοτε ἡ Ἐκκλησία μητρικῶς προνοοῦσα συνεβούλευσε, μηδ' ἐπιτρέπειν κατὰ τὴν διάρκειαν τῆς μνηστείας ἐλευθέραν καὶ ἀκώλυτον εἴσοδον τοῖς μεμνηστευμένοις, ὡς γνωστοῦ ὄντος οἷα τὰ ἐκ τοιούτων σχέσεων προκαλούμενα ἄτοπα, καὶ οἷα τὰ ἐντεῦθεν ἐν ταῖς οἰκογενείαις ἀναφυόμενα σκάνδαλα. Τούτων οὕτως ἐχόντων, ἐντελλόμεθα ἰδίᾳ τοῖς ἀρχιερατικῶς ἢ ἱερατικῶς προϊσταμένοις ἵνα μὴ μόνον λόγῳ καθοδηγῆτε τοὺς ἐπὶ μνηστείᾳ προσερχομένους περὶ τοῦ συμφώνως τῷ νόμῳ πρακτέου, ἀλλὰ καὶ ἔργῳ ἐπαγρυπνῆτε ὡς πατέρες πνευματικοὶ καὶ λειτουργοὶ τῆς Ἐκκλησίας, ὅπως ἐν τῇ ἐνορίᾳ ὑμῶν ἐφαρμόζωνται κατὰ πάντα ἥ τε νομοθεσία καὶ αἱ σχετικαὶ ἐπὶ συνάψει μνηστειῶν συμβουλαὶ τῆς Ἐκκλησίας· καὶ δὴ ὅταν προσκαλῆσθε εὐλογῆσαι μνη-

στείαν, ὀφείλετε ἐφιστᾶν σπουδαίως τὴν προσοχὴν ἐπὶ τῆς ἀκριβοῦς τηρήσεως πασῶν τῶν σχετικῶν τοῦ νόμου διατάξεων, ἀπέχειν δὲ τοῦ εὐλογῆσαι τὴν μνηστείαν πρὶν ἢ πεισθῆτε ἀκριβῶς ὅτι οὐδὲν ὑφίσταται κώλυμα καθιστὰν τὴν μνηστείαν ἄκυρον· κατὰ συνέπειαν ἐὰν ἀμφότεροι οἱ μνηστευόμενοι ἢ ὁ ἕτερος αὐτῶν κατάγωνται ἐξ ἄλλης χώρας, ἐπαρχίας ἢ ἐνορίας, ὀφείλετε ζητεῖν καὶ λαμβάνειν παρὰ τῶν μνηστευομένων ἢ τοῦ ἑτέρου αὐτῶν ἔγγραφα ἐκδεδομένα, ὑπὸ τῶν οἰκείων ἐκκλησιαστικῶν ἀρχῶν, καὶ βεβαιοῦντα ὅτι οὐδὲν εἰς σύναψιν ἐγκύρου μνηστείας ἔχουσι κώλυμα τὰ περὶ ὧν πρόκειται πρόσωπα· ἄλλως, ἐὰν πρὸ τῆς λήψεως τοιούτων πιστοποιητικῶν προβῆτε εἰς σύναψιν μνηστείας, ἔσεσθε ὑπεύθυνοι ἐνώπιον τῆς Ἐκκλησίας διὰ πᾶν ἐνδεχόμενον. Καὶ ταῦτα μὲν ὅσον ἀφορᾷ εἰς τὴν σύναψιν μνηστειῶν· ὅσον δ' ἀποβλέπει εἰς τὴν τέλεσιν τοῦ θείου μυστηρίου τοῦ γάμου, ὅπερ μέγα ἐστὶ, κατὰ τὸν θεῖον ἀπόστολον Παῦλον, καθὸ τύπος ὑπάρχον τῆς μετὰ τῆς Ἐκκλησίας ἑνώσεως τοῦ θεανθρώπου Σωτῆρος ἡμῶν, ἐντελλόμεθα ἐπίσης καὶ παραγγέλλομεν ἵνα, καὶ διὰ τὴν ἱερότητα τοῦ μυστηρίου καὶ χάριν τῶν οἰκογενειῶν ὑμῶν, φυλάττητε ἀκριβῶς καὶ ἀπαραβάτως πάντα, ὅσα ἡ τῆς ἱερᾶς Ἐκκλησίας ἡμῶν νομοθεσία περὶ γάμων διακελεύεται, γινώσκοντες ὅτι πολλάκις ἡ ἐλαχίστη παράλειψις καθίστησιν ἄκυρον τὴν πρᾶξιν καὶ προκαλεῖ ἀνεπανορθώτους συνεπείας διά τε τοὺς συνάπτοντας τοιούτους γάμους παρὰ τὰς διατάξεις τῆς ἐκκλησιαστικῆς νομοθεσίας, καὶ διὰ τὰ ἐκ τῶν τοιούτων ἀθέσμων καὶ ἀκύρων γάμων τικτόμενα τέκνα. Ἰδίᾳ δὲ καὶ ἐνταῦθα ἐφιστῶμεν τὴν σύντονον προσοχὴν τῶν ἀρχιερατικῶς ἢ ἱερατικῶς προϊσταμένων, ὅπως πᾶσαν καταβάλλητε μέριμναν ἵνα, ἐν τῇ τελέσει γάμων τηρῶνται πᾶσαι αἱ σχετικαὶ διατάξεις τοῦ νόμου, ἐξετάζητε καὶ αὖθις ἐν πάσῃ ἀκριβείᾳ μή τι παρενεβλήθη ἀπὸ τοῦ χρόνου τῆς μνηστείας κώλυμα ἐκ τῶν ὑπὸ τοῦ νόμου προβλεπομένων, ἐν περιπτώσει δὲ τοιαύτῃ μὴ μόνον ἀπέχητε τοῦ χορηγεῖν πιστοποιητικὸν πρὸς ἔκδοσιν ἀδείας, ἀλλὰ καὶ πληροφορῆτε ἐγκαίρως τὰ Πατριαρχεῖα πρὸς διάλυσιν τῆς μνηστείας, ἀναλογιζόμενοι τὴν μεγίστην εὐθύνην, ἣν ὑπέχετε ἄλλως ἐνώπιον τῆς Ἐκκλησίας. Καὶ ἐν τῇ ἐκδόσει δὲ τῶν εἰς τὰ Πατριαρχεῖα ἀποστελλομένων πιστοποιητικῶν, ἐντελλόμεθα ὑμῖν προσέχειν ἀκριβῶς καὶ σημειοῦν ἐν αὐτοῖς τὰ ὀνόματα, τὴν ἡλικίαν, τὸ ἐπάγγελμα καὶ τὴν πατρίδα τῶν μελλόντων ἐλθεῖν εἰς γάμου κοινωνίαν· καὶ ἐὰν ἀμφότεροι οἱ μέλλοντες συνάψαι γάμον, ἢ ὁ ἕτερος αὐτῶν, κατάγωνται ἐξ ἄλλης χώρας, ἐπαρχίας ἢ ἐνορίας, ζητεῖν καὶ λαμβάνειν ἔγγραφα ἐκδεδομένα παρὰ τῶν ἐκκλησιαστικῶν ἀρχῶν,

εἰς ἃς ὑπήγοντο τέως οἱ εἰς γάμον ἐλθεῖν ζητοῦντες, μαρτυροῦντα τὸ ἀκώλυτον αὐτῶν εἰς σύναψιν νομίμου γάμου, καὶ ἐπισυνάπτειν ταῦτα ἐν τῷ πρὸς τὴν μεγάλην Ἀρχιδιακονίαν πιστοποιητικῷ· ἀποστέλλειν δὲ εἰς τὰ Πατριαρχεῖα τοὺς τὴν ἔκδοσιν ἀδείας γάμου αἰτοῦντας πολὺ πρὸ τῆς ὡρισμένης εἰς τέλεσιν τοῦ γάμου ἡμέρας καὶ οὐχὶ τὴν προτεραίαν αὐτῆς, ἵνα, ἐὰν ἀναφυῇ ζήτημά τι, ὑπάρχῃ ὁ πρὸς ἐξέτασιν καὶ ἐξακρίβωσιν τοῦ πράγματος ἀπαιτούμενος χρόνος. Ἐπὶ πᾶσι τούτοις ἐντελλόμεθα καὶ παραγγέλλομεν πᾶσιν ὑμῖν κληρικοῖς τε καὶ λαϊκοῖς ἵνα, οἱ μὲν πρῶτοι ἐξελέγχητε καὶ καταδιώκητε, οἱ δὲ δεύτεροι ἀποφεύγητε ἐπιμελῶς τοὺς κρύφα ἢ ἄνευ τῆς ἀδείας τῶν Πατριαρχείων τελουμένους γάμους, διότι οὗτοι πλὴν τοῦ νομικῶς ἐπιληψίμου ἔχουσιν ἀδύνατον πολλάκις τὴν ἀπόδειξιν αὐτῶν, καὶ γίνονται αἴτιοι ἀνυπολογίστων ἠθικῶν καὶ ὑλικῶν ζημιῶν τοῖς τε συνάπτουσιν αὐτοὺς καὶ τοῖς ἐκ τούτων γεννωμένοις τέκνοις. Ταῦτα ἐκ καθήκοντος ἐκκλησιαστικῆς προνοίας ἀπευθύνοντες πᾶσιν ὑμῖν, προτρεπόμεθα καὶ παραινοῦμεν πατρικῶς ἵνα, ὡς τέκνα εὐσεβῆ τῆς Ἁγίας ἡμῶν Ἐκκλησίας, σεβόμενοι τὰς διατάξεις αὐτῆς, καὶ ὡς συνετῶς κηδόμενοι τῆς οἰκογενειακῆς χρηστότητος καὶ εὐπρεπείας, τηρῆτε ταῦτα ἀπαρεγκλίτως, ἵνα ἔνθεν μὲν αἱ μνηστεῖαι καὶ οἱ γάμοι μηδὲν ἔχωσι τὸ ἐπιλήψιμον, ἔνθεν δὲ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, βασιλεύῃ ἐν τοῖς οἴκοις καὶ ἐν τοῖς ὀρθοδόξοις ὑμῶν κοινότησι σὺν τῇ εὐλογίᾳ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ· οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος σὺν τῇ παρ' ἡμῶν εὐχῇ εἴη μετὰ πάντων ὑμῶν. ͵αωπζ'. Ἐν μηνὶ νοεμβρίῳ. Ἰνδικτιῶνος Α'».

Πρὸς πρόληψιν τῶν ἐπισυμβαινουσῶν περὶ τὸν γάμον ἀταξιῶν ὁ πατριάρχης Γρηγόριος ΣΤ' ἐξέδωκε νέαν ἐγκύκλιον, ἣν πρὸς συμπλήρωσιν παρατιθέμεθα· «Γρηγόριος ἐλέῳ Θεοῦ κτλ. Ἐντιμότατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μ. Ἐκκλησίας, καὶ εὐλαβέστατοι ἱερεῖς, καὶ ὁσιώτατοι ἱερομόναχοι, οἱ ψάλλοντες ἐν ταῖς ἱεραῖς ἐκκλησίαις τῆς Πόλεως, τοῦ Γαλατᾶ, καὶ τοῦ καθ' ἡμᾶς Καταστένου· καὶ λοιποὶ ἀπαξάπαντες εὐλογημένοι χριστιανοί, τέκνα ἐν Κυρίῳ ἡμῶν ἀγαπητά· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. «Πάντα κατὰ τάξιν καὶ εὐσχημόνως γινέσθω», φησὶν ὁ θεῖος Ἀπόστολος, ὑποδεικνύων εὔτακτον καὶ εὐσχήμονα τὸν βίον τῶν χριστιανῶν, καὶ ὑποτιθέμενος τὸ ἄμεμπτον καὶ σεμνοπρεπὲς ἐν παντὶ ἔργῳ καὶ πάσῃ πράξει τοῦ πολιτεύματος αὐτῶν. Διὰ τοῦτο, καθὼς περὶ πάντων, οὕτω καὶ περὶ τοῦ γάμου ὅροι ἐτέθησαν ἐκκλησιαστικοί τε καὶ πολιτικοί, καὶ κανόνες ἐθεσπίσθησαν, καθ' οὓς ἐκτελεστέον τὸ μέγα τοῦτο μυστήριον, ἵνα ὑπάρχῃ καὶ λογίζηται σύμφωνον

τῇ ἀποστολικῇ ἐντολῇ καὶ παραδόσει, καὶ εὔσχημον καὶ ἄμεμπτον κατὰ πάντα· Ἔνιοι μέν τοι τῶν χριστιανῶν, καταφρονοῦντες τῶν ἱερῶν τούτων διατάξεων, καὶ περιορίζοντες τὸν σκοπὸν τοῦ μυστηρίου περὶ μόνον τὰ σωματικὰ τέλη καὶ ὠφελήματα, ἐκτραχηλίζονται εἰς ἀθεμιτουργίας ψυχοβλαβεῖς, τῶν μὲν νεανίδων ἐπ' ἐλπίδι συζεύξεως παραδιδουσῶν τὴν τιμὴν αὐτῶν, τῶν δὲ ἀνδρῶν ἀνοήτως συναρπαζομένων ὑπὸ νεανικῆς ὁρμῆς, ὥστε ἡ νόμιμος καὶ θεάρεστος συζυγία, ἥτις ὀφείλει ἔχειν προηγουμένην τὴν σωφροσύνην καὶ τὴν διὰ τῶν στεφάνων ἀμοιβὴν τῶν παρθενικῶν ἀρετῶν, γίνεται ἀποτέλεσμα πορνείας καὶ εἶδος τιμωρίας καὶ βιαίου ζυγοῦ, οὗ αἱ συνέπειαι οὐδὲν ἄλλο εἰσὶν ἢ ὄνειδος ἀνεξάλειπτον καὶ διηνεκές, καὶ φιλονεικίαι ἀκατεύναστοι, καὶ συμβίωσις πλήρης δεινοπαθειῶν καὶ ἀνησυχίας, καθὼς βλέπομεν τὰ τοιαῦτα παραδείγματα καθ' ἑκάστην. Διὰ ταῦτα τοίνυν καὶ ἡ Μετριότης ἡμῶν, ἐκ προνοίας ἐκκλησιαστικῆς ἀξιοχρέου κεκινημένοι πρὸς ἐξάλειψιν τῆς σκανδαλώδους καὶ πολυβλαβοῦς ταύτης παρεκτροπῆς καὶ καταχρήσεως, καὶ ἀπαρατρέπτως ἐμμένοντες ταῖς διαγορεύσεσι τῶν περὶ τούτου κειμένων ἱερῶν καὶ πατροπαραδότων νόμων καὶ θεσπισμάτων, ἐντελλόμεθα καὶ παραγγέλλομεν ἐκκλησιαστικῶς, καὶ θεσπίζομεν ἀμεταθέτως καὶ ὁριστικῶς, συνοδικῇ συνδιασκέψει καὶ ἀποφάσει, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπάρχωσι κεκωλυμένα καὶ παντάπασιν ἀσυγχώρητα τὰ ἐκ πορνείας συνοικέσια· διὸ καὶ πᾶσα νεᾶνις ὀφείλει νουνεχῶς προσέχειν καὶ φυλάττειν, ὡς κόρην ὀφθαλμοῦ, τὴν ἁγνότητα καὶ ὑπόληψιν τῆς σωφροσύνης αὐτῆς, μηδαμῶς προδιδοῦσα τὴν τιμὴν αὐτῆς ἐπ' ἐλπίδι ὑπανδρείας, μήτε παρασύρεσθαι πειθομένη ἀπατηλαῖς καὶ ἄφροσιν ὑποσχέσεσιν ἀλόγου καὶ ἐσκοτισμένης νεανικῆς ὁρμῆς καὶ ἀσυνεσίας. Καλῶς δὲ γινωσκέτω ἑκάστη, ὅτι ἐκ τῆς τοιαύτης ἀπάτης καὶ παραπείσεως οὐδὲν ὠφεληθήσεται, ἀλλὰ τὸ κοινὸν ὄνειδος καὶ τὴν ἀτιμίαν καὶ τὴν ἀνωφελῆ θερίσει μεταμέλειαν· ἡ γὰρ Ἐκκλησία οὐδεμίαν ἀγωγὴν καὶ αἴτησιν κατηναγκασμένης στεφανώσεως παραδέξεται τοῦ λοιποῦ τῶν οὕτω παρεκτρεπομένων νεανίδων· ἀλλ' ὁ μὲν ἀκόλαστος ἀνὴρ ὁ τολμήσων τοιοῦτον ἀπάτης ἀνοσιούργημα, ἀφοῦ ἐλεγχθῇ, παιδευθήσεται δι' αὐστηρᾶς σωματικῆς ποινῆς, ἐπὶ ἓν ὅλως ἔτος περιωρισμένος καὶ καταναγκαστικῶς ἐργαζόμενος· ἡ δὲ ἀπατηθεῖσα νεᾶνις ἐγκαταλειφθήσεται μετὰ τοῦ κοινοῦ ὀνείδους τῶν οἰκείων καὶ συγγενῶν, καὶ μετὰ ζημίας τῆς τιμαλφοῦς τιμῆς καὶ παρθενίας αὐτῆς. Τοῦτ' αὐτὸ πληροφορούμενοι καὶ οἱ γονεῖς καὶ κηδεμόνες, καταβαλλέτωσαν τὴν δέουσαν ἄγρυπνον προσοχὴν περὶ τὰς σχέσεις καὶ συναναστροφὰς τῶν

οἰκείων θυγατέρων, οὐ μόνον τὰς μετὰ ξένων καὶ ἀδιαφόρων ἀνθρώπων, ἀλλὰ καὶ τὰς μετὰ τῶν οἰκείων μνηστήρων αὐτῶν, ἀποφεύγοντες φρονίμως τὰ ἐκ τῆς πυκνῆς εἰσόδου καὶ συναναστροφῆς παρεπόμενα ἄτοπα καὶ τὰς λυπηρὰς συνεπείας, καὶ καλῶς ἐνθυμούμενοι, ὅτι, ἐν ἐναντίᾳ περιπτώσει, οὐδεμία μεσιτεία καὶ μεσολάβησις εὑρήσει χώραν παρὰ τῇ Ἐκκλησίᾳ. Ἐφ' ᾧ, πρὸς διηνεκῆ καὶ καθημερινὴν ἀνάμνησιν τῆς ἐκκλησιαστικῆς ταύτης ἡμῶν νουθεσίας καὶ ἐντολῆς, διατάσσομεν ἵνα ἡ παροῦσα Ἐκκλησιαστικὴ Ἀπόδειξις τοιχοκολληθῇ ἐν τῷ νάρθηκι παντὸς ἱεροῦ ναοῦ τῆς Πρωτευούσης, ὅπως ἕκαστος τῶν εὐσεβῶν, εἰσερχόμενος καὶ ἐξερχόμενος, ἀναγινώσκῃ αὐτὴν, καὶ δεόντως ρυθμίζῃ ἑαυτὸν καὶ τοὺς οἰκείους αὐτοῦ, συνῳδὰ ταῖς τῆς Ἐκκλησίας σωτηριώδεσιν ἐντολαῖς καὶ παραγγελίαις. Οὕτω τοίνυν ποιήσατε, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ, καθὼς ὑμῖν γράφοντες ἐντελλόμεθα, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος ᾖ μετὰ πάντων ὑμῶν. Ἀμήν. ,αωξη'».

Σημ. Ἕνεκα τῆς ἐν Κ]πόλει χολερικῆς ἐπιδημίας, ὁ πατριάρχης Σωφρόνιος ὁ ἀπὸ Ἀμασείας ἐπέτρεψε κατάλυσιν τῆς νηστείας τοῦ αὐγούστου τῷ 1865. Ἰδοὺ τὸ γράμμα: « Σωφρόνιος ἐλέῳ Θεοῦ κτλ. Ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς, τιμιώτατοι προεστῶτες καὶ πρόκριτοι· καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοὶ ἁπασῶν τῶν ἐνοριῶν Κωνσταντινουπόλεως, Καταστένου καὶ Γαλατᾶ, τέκνα ἐν Κυρίῳ ἡμῶν ἀγαπητὰ καὶ περιπόθητα· χάρις εἴη ὑμῖν ἅπασι καὶ εἰρήνη παρὰ Θεοῦ, παρ' ἡμῶν δὲ εὐχὴ εὐλογία καὶ συγχώρησις. Ὁπόσον ἡ ὀλέθριος καὶ βροτολοιγὸς νόσος τῆς χολέρας, ἡ κατὰ θείαν ὀργὴν καὶ διὰ τὰς ἡμετέρας πάντως ἁμαρτίας ἐνσκήψασα εἰς ἁπάσας σχεδὸν τὰς συνοικίας τῆς πρωτευούσης, καὶ ἀποδεκατίζουσα ἀφειδῶς τὰς διαφόρους τάξεις τοῦ λαοῦ, κινεῖ εἰς οἶκτον καὶ δάκρυα καὶ τὰς σκληροτέρας καρδίας, οἱ πάντες συναισθανόμεθα τοῦτο σπαραξικαρδίως. Πρὸς ἀναχαίτισιν δὲ τοῦ παγκοίνου τούτου κακοῦ μὴ ἐφευρεθείσης δυστυχῶς τῆς ἐντελοῦς ἰατρι-

κῆς θεραπείας, ἓν τῶν δυνατῶν προφυλακτικῶν μέτρων ὑπαγορεύουσι καὶ παραγγέλλουσιν οἱ ἐπισημότεροι τῶν ἰατρῶν τὴν ἀκριβῆ κατὰ τὴν δίαιταν προφύλαξιν, καὶ τὴν ἀποχὴν ἀπὸ παντὸς ἐπιβλαβοῦς τροφίμου· ἐπειδὴ δὲ προδιαθετικὰ εἰς τὴν καταστρεπτικὴν ταύτην ἀσθένειαν λέγονται καὶ ἀποδεικνύονται καὶ τὰ νηστίσιμα φαγητά, ἤτοι ἡ ἀποχὴ τῆς κρεωφαγίας, διὰ τοῦτο καθορῶντες τὴν μεγάλην καὶ ἀναπόφευκτον ἀνάγκην τῆς μεταθέσεως τῆς ἐγγιζούσης δεκαπενθημέρου νηστείας τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου, προτρεπόμεθα πατρικῶς καὶ παραγγέλλομεν πᾶσιν ὑμῖν, τοῖς πνευματικοῖς ἡμῶν τέκνοις, ὅπως κατὰ τὴν δεκαπενθήμερον ταύτην νηστείαν καταλύσητε ἕνεκα τῆς ὀλεθρίου ἐπιδημίας, καὶ τοῦτο ἐξαιρετικῶς διὰ τὴν παροῦσαν μόνον περίστασιν, μεταθέτοντες ἀναποφεύκτως τὴν διατήρησιν τῆς κανονικῆς ταύτης νηστείας εἰς ἄλλην εὐνοϊκωτέραν περίστασιν· τοῦτο ἐπιβάλλει, ὡς εἴπομεν, ἡ παροῦσα ἀνάγκη κατὰ τὰς ὑπαγορεύσεις τῆς ἰατρικῆς ἐπιστήμης, τοῦτο δὲν ἀποτρέπουσιν ἀπολύτως καὶ οἱ ἱεροὶ τῆς Ἐκκλησίας κανόνες καὶ νόμοι· ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Οὕτω ποιήσατε, ὡς πατρικῶς ὑμῖν διακελευόμεθα· ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος σὺν τῇ παρ' ἡμῶν εὐχῇ καὶ εὐλογίᾳ εἴη μετὰ πάντων ὑμῶν. Ἐν μηνὶ Ἰουλίῳ. Ἰνδικτιῶνος Η΄».

σέχωσιν ἀκριβῶς *μὴ δίδοσθαι ἄδειαν γάμῳ συνάπτεσθαι τοὺς ὀρθοδόξους ἑτεροδόξοις καὶ αἱρετικοῖς*. Αἱ διατάξεις αὗται ἐκδοθήσονται, ἣν Θεὸς διδῷ, ἐν τῷ Β΄ τόμῳ τῶν *Κανονικῶν Διατάξεων* τούτων.

Σημ. Τῷ 1798 ὁ πατριάρχης Γρηγόριος Ε΄ ὁ ἀπὸ Σμύρνης τὸ πρῶτον κοσμῶν τὸν Οἰκουμενικὸν Θρόνον ἐξέδωκε συνοδικὸν Τόμον, ὃν ὑποκυροῦσιν οἱ μητροπολῖται« † ὁ Ἐφέσου Σαμουὴλ— † ὁ Ἡρακλείας Μελέτιος— † ὁ Κυζίκου Ἰωακεὶμ— † ὁ Νικομηδείας Ἀθανάσιος— † ὁ Νι-

καίας Καλλίνικος—† ὁ Χαλκηδόνος Ἱερεμίας —† ὁ Δέρκων Μακάριος —ὁ Θεσσαλονίκης Γεράσιμος—† ὁ Προύσης Ἄνθιμος—ὁ † Νεοκαισαρείας Ἡσαΐας—† ὁ Λαρίσσης Διονύσιος —† ὁ Ἀγκύρας Ἰωαννίκιος—† ὁ Παροναξίας Νεόφυτος—† ὁ Εὐρίπου Ἱερόθεος», δι' οὗ ἀπηγόρευσε 'να χειροτονῶνται ἀρχιερεῖς ὅσοι ὄντες εἰς τὸν ἔγγαμον κατατεταγμένοι κλῆρον, καὶ χηρεύοντες, ἤθελον ἔχει τέκνα. Ὁ συνοδικὸς Τόμος ἐστὶν οὗτος: «Γρηγόριος ἐλέῳ Θεοῦ κτλ. Νόμοις διατεταγμένοις πᾶν σύστημα διοικεῖσθαι ἐπάναγκες· ὅπερ γὰρ ἐπὶ τῶν σωμάτων οἱ τῶν μελῶν σύνδεσμοι, τοῦτο ἐπὶ τῶν ἀνθρωπίνων συστημάτων οἱ νόμοι· καὶ ὥσπερ ἐκεῖνοι συνδεδεμένα τὰ μέλη ἔχοντες εὐρύθμως καὶ κατὰ φύσιν ποιεῖ κινεῖσθαι τὰ σώματα, οὕτω καὶ οἱ νόμοι τὰς τῶν ἀνθρώπων τάξεις διατηροῦντες, ἄμεμπτον καὶ κοινωφελῆ τὴν διοίκησιν τούτων παρέχονται· ἂν δὲ τοὐναντίον, ἢ ἐκεῖνοι παραλυθῶσιν, ἢ οὗτοι παρκταθῶσι, τότε τά τε σώματα διεστραμμένα καὶ παράφορα κινεῖται καὶ τὰ τῶν ἀνθρώπων συστήματα ἀτάκτως κινούμενα ἐπὶ τῶν πράξεων, οὐκ ἔστιν ὅπως ἐν ἡσυχίᾳ καὶ ὁμονοίᾳ διοικηθήσεται. Ταύτῃ τοι τῶν πάνυ ἀναγκαίων τῷ ἀνθρωπίνῳ βίῳ οἱ νόμοι εἰσὶ καὶ τὸ ἀπαραβάτους τούτους ἐκ παντὸς τρόπου διαφυλάττεσθαι· εἰ οὖν ταῦτα ἀναγκαῖα ἐπὶ πάντων τῶν συστημάτων, πολλῷ μᾶλλον ἐπὶ τοῦ ἀρχιερατικοῦ καταλόγου· ὅσῳ γὰρ τὸ ἀξίωμα ὑπερέχει τῶν ἄλλων, τοσούτῳ ἀναγκαιοτέρα ἡ τούτων εὐσχημοσύνη καὶ ἡ ἐπὶ τούτου ἀκριβὴς τοῦ λόγου φυλακή· τὸ δὲ οὐκ ἂν κατορθωθείη ἡμῖν, εἰ μόνον πρὸς τὰ γεγραμμένα ἀφορῶμεν, τοῖς δὲ ἐννοουμένοις οὐδόλως προσέχομεν, οὐδ' ἐννοοῦμεν τὰς ἐπὶ τῶν ἱερῶν νόμων βουλήσεις τῶν θείων καὶ ἁγίων τῆς Ἐκκλησίας Πατέρων· οὐδὲ γὰρ οἱ ἱεροὶ νόμοι ἐτέθησαν ἵνα μόνον τὰ γραφόμενα σκοπῶμεν, ἀλλ' ὅπως ἐξ ἐκείνων ταῖς θείαις τοῦ παναγίου Πνεύματος μαρμαρυγαῖς ἐλλαμπόμενοι καὶ τὰ ἐννοούμενα τῇ διανοίᾳ καταμανθάνοντες, καὶ τὰ ἄγραφα τοῖς ἐγγράφοις συλλογιζόμενοι καλῶς ἐπὶ τῶν πράξεων διαφυλάττωμεν ἅπαντα· τοῦτο γὰρ ἂν εἴη ἡ ἀκριβὴς τῶν νόμων φυλακή· τὸ δέ γε μόνον τὰ γεγραμμένα σκοπεῖν, τῶν δὲ ἐννοουμένων ἀμελεῖν, οὐχ ὅπως οὐκ ἀκριβής, ἀλλ' οὐδὲ φυλακή, μᾶλλον δὲ παράβασις ἂν εἴη τῶν θείων καὶ ἱερῶν νόμων· οὐδὲ γὰρ εἴ τινι ἐπιτεταγμένον μὲν εἴη τροφὰς παραθεῖναι, ὁ δὲ πρὸς τὰς λέξεις παραθεὶς μόνας τὰς τροφὰς τῆς ἐννοουμένης τραπέζης ἀμελήσειεν, οὐχ οὗτος ἐπιτετελεκώς, ἀλλὰ μᾶλλον παραβεβηκὼς ἂν εἴη τὴν ἐπιταγήν. Ὅπερ οὐκ οἴδαμεν, ὅπως πρὸ ὀλίγου καιροῦ συνέβη γενέσθαι καὶ ἐπί τινων ἀρχιερατικῶν προχειρίσεων ἐν ἀμελείᾳ μεγίστῃ, ἐξ ἧς καὶ μυρία ὅσα συνέβη τὰ ἄτοπα καὶ δεινά. Ὁ

μὲν οὖν ἱερὸς Βλάσταρις ἐν τῷ Α΄ κεφαλαίῳ τοῦ Γ στοιχείου ἐκ τῆς θείας καὶ ἱερᾶς ΣΤ΄ Συνόδου ῥητῶς οὕτω φησίν· οἱ τῆς ΣΤ΄ Συνόδου θεῖοι Πατέρες ἐν τῷ ΙΒ΄ κεφαλαίῳ, ἤτοι κανόνι ἀπείργουσι τοὺς ἀρχιερεῖς μετὰ τὴν χειροτονίαν συνοικεῖν ὅλως ταῖς πρὸ τῆς χειροτονίας, θεσμοῖς γάμου, συναφθείσαις αὐτοῖς γυναιξί· καὶ φησίν, οὐκ ἐπ' ἀθετήσει τῶν τοῖς ἱεροῖς Ἀποστόλοις ἐν τῷ Ε΄ νενομοθετημένων κανόνι τοῦτο θεσπίζομεν, ἀλλὰ τὴν ἐπὶ τὸ κρεῖττον ἐπίδοσιν τῆς Ἐκκλησίας πραγματευόμενοι· οἱ μὲν γὰρ θεῖοι ἀπόστολοι ἄρτι τῆς Ἐκκλησίας τῇ τῶν Ἰουδαίων παχύτητι καὶ τῇ ἑλληνικῇ δεισιδαιμονίᾳ πολλὰ χαίρειν εἰπούσης, ἔστιν οἷς τῶν πατρῴων οὐδὲν ἐνεδίδοσαν χρῆσθαι· οἵ τε γὰρ τῶν Ἰουδαίων καὶ οἱ τῶν Ἑλλήνων ἀρχιερεῖς τῶν συνεύνων οὐκ ἐχωρίζοντο· τὸ δὲ τήμερον εἶναι χρῆναί φασι τοὺς ἀρχιερεῖς τὸν βίον πρὸς ἀκριβῆ σωφροσύνην ἀπευθύνοντας, οὐχ ὅπως τῆς τῶν ἀλλοτρίων, ἀλλὰ καὶ τῆς τῶν ἰδίων γυναικῶν ὁμιλίας ἀποδιίστασθαι· τοῦτο γὰρ σκανδάλου πρόφασιν οὐδ' ἡντιναοῦν τοῖς ὑπὸ χεῖρα καταλείπει, καὶ ἐπιφέρουσι τὸ ἀποστολικὸν (ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ) καὶ τὰ ἑξῆς. Εἶτα τοῖς μὴ τὰ τοῦ κανόνος πρεσβεύουσιν ἐπιτίμιον ἐπάγουσι τὴν καθαίρεσιν. Τοιοῦτος μὲν οὖν ὁ ἱερὸς κανὼν τῆς ἁγίας ΣΤ΄ Οἰκουμενικῆς Συνόδου καὶ ταῦτα περιέχει τὰ γεγραμμένα· τινὲς δὲ πρὸ ὀλίγου καιροῦ προεχειρίσθησαν εἰς ἐπισκοπὴν καὶ ἀρχιερατεῖαν καίπερ ἔχοντες τέκνα καὶ παῖδας, χηρεύοντες γυναικῶν, ὡς ἐξὸν τοῖς ἐπισκόποις κατὰ τὸν εἰρημένον κανόνα τέκνα ἔχειν μόνον δὲ τῇ γυναικὶ συνοικεῖν ἀπηγορευμένον· ἔλαθον δὲ ἑαυτοὺς τὰ μέγιστα παραβαίνοντες τὸν ἱερὸν τοῦτον κανόνα καὶ μόνον πρὸς τὰς γραφομένας λέξεις, ἀλλὰ μὴ καὶ πρὸς τὰς ἐννοίας αὐτοῦ ἀφορῶντες· οὐδὲ κατενόησαν οἷον καὶ ὅσον δύναται, «τὸ ἀπρόσκοπος γίνεσθαι Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ»· οὐκ ἔστι γὰρ ὅστις τῶν γε εὐσεβῶν μὴ οὐχ ἡμῖν συνομολογήσειεν ὅτι αὐτὴ ἡ θεία καὶ ἄμωμος Ἐκκλησία τοῦ Θεοῦ τοὺς ἐπισκόπους βούλεται μὴ περὶ πρόνοιαν σωματικῶν τέκνων ἀπασχολεῖσθαι, ἀλλὰ πᾶσαν τὴν φροντίδα καὶ ἐπιμέλειαν περὶ τὰ πνευματικὰ αὐτῶν τέκνα καταβάλλεσθαι, ὅπως αὐτοῖς τὴν ψυχικὴν σωτηρίαν μνηστεύσωσι περιποιήσαντες, οἱ δὲ ἔχοντες τὰ σωματικὰ τέκνα καὶ περὶ τὴν ἐκείνων φροντίδα ἐπασχολούμενοι ἐλλείπουσιν, ὡς εἰκός, περὶ τὴν φροντίδα τῶν ἐπιτετραμμένων αὐτοῖς πνευματικῶν τέκνων, ἐναντίον τῆς ἐννοίας τῶν ἱερῶν νόμων καὶ τῆς βουλήσεως τῆς ἁγίας ἡμῶν Ἐκκλησίας, βλαπτόμενοι μὲν αὐτοί, ὅτι ὑπευθύνους ἑαυτοὺς καθιστῶσι, βλάπτοντες δὲ καὶ τὸ ἐπιτετραμμένον αὐτοῖς λογικὸν τοῦ

Χριστοῦ ποίμνιον, ἐπειδὴ τὴν περὶ ἐκεῖνο δέουσαν φροντίδα καὶ ἐπιμέλειαν ἐπὶ τὰ σωματικὰ μεταφέρουσι τέκνα· πρῶτον μὲν οὖν παρανομώτατον τοῦτον καὶ ἐναντίον τῆς νομικῆς ἐννοίας καὶ τῇ ἐκκλησιαστικῇ βουλήσει· οὐδὲ γὰρ ἔξεστι περὶ τῶν τοιούτων εἰπεῖν, ὅτι ἀπρόσκοποι γίνονται τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· πρὸς δὲ καὶ τῷ ΟΣΤ´ ἀποστολικῷ κανόνι ἐναντίον, καὶ ταῖς ἁγιωτάταις ἐπισκοπαῖς ἐπιβλαβέστατον· ἐν μὲν γὰρ τῷ ῥηθέντι ἱερῷ κανόνι καὶ ἄλλοις πολλοῖς ῥητοῖς ἀπαγορεύεται, μὴ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν, μηδὲ τὰ ὑπάρχοντα καὶ κτήματα αὐτῆς ὑπὸ κληρονομίαν τιθέναι· τῶν δὲ τοιούτων ἐπισκόπων οἱ παῖδες, μετὰ τὸν θάνατον ἐφιστάμενοι λόγῳ κληρονομίας ἄγουσι καὶ φέρουσι τὰ τῆς ἐπισκοπῆς πράγματα ἀσυνειδήτως καὶ ἱεροσύλως, λῃστεύοντες αὐτήν, ὡς εἰπεῖν, καὶ ἀπογυμνοῦντες ἐν ἀσυνειδησίᾳ μεγίστῃ, καὶ μυρία ἄλλα ποιοῦντες τὰ ἄτοπα, ἅτινα οὐκ ἂν ῥαδίως τις ἀπαριθμήσειεν· ὅτι μὲν οὖν ταῦτα ἐπιβλαβῆ καὶ πάντῃ ἐναντία ταῖς ἐννοίαις τῶν θείων καὶ ἱερῶν νόμων καὶ κανόνων, οὐκ ἔστιν ὅστις ἡμῖν ἀμφισβητήσειεν· ἐμποδίσαι οὖν καὶ στῆσαι βουλόμενοι τὸ δεινὸν καὶ οὐχ ὡς ἀκυροῦντες τοὺς θείους καὶ ἱεροὺς νόμους, ἀλλ' ἐπικυροῦντες τὰς ἱερὰς ἐκείνων βουλήσεις καὶ ἐννοίας, γνώμῃ κοινῇ καὶ συνοδικῇ ἔγνωμεν διακωλῦσαι τοῦ λοιποῦ τήν γε τῶν τοιούτων ἐπὶ τῆς ἀρχιερατείας προχείρισιν. Διὸ καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τοῦ λοιποῦ, εἴτις ἔχει τέκνα πολλὰ ἢ ὀλίγα, ἢ ἐκ τῶν πρεσβυτέρων ἢ μοναχῶν, κἂν εἰς τὰ ἄλλα πάντα ἄξιος εἴη, μηδ' ὡς εἰς ἐπισκοπὴν προβιβάζηται, μηδὲ χειροτονῆται ἀρχιερεύς. Ὅστις δὲ καὶ ὁποῖος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς αἰῶνα τὸν ἅπαντα πατριάρχης, ἢ ἀρχιερεὺς πράξει ἐμμέσως ἢ ἀμέσως, ἢ συναινέσει λόγῳ ἢ ἔργῳ ἐπὶ προχειρίσει τοιούτου ἀρχιερέως ἔχοντος τέκνα, ἢ ἕν, ἢ πολλά, ἢ ὀλίγα, ὁ τοιοῦτος, ὡς ἀντιπράττων ταῖς ἐννοίαις τῶν θείων καὶ ἱερῶν νόμων καὶ ὡς προσκόπτων τῇ βουλήσει τῆς Ἐκκλησίας τοῦ Θεοῦ, ἀφωρισμένος ὑπάρχῃ κτλ. (αἱ συνήθεις ἀραί). Ὅθεν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς Τόμος, καταστρωθεὶς καὶ ὑπογραφεὶς ἐπὶ τοῦ ἱεροῦ κώδηκος τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς διηνεκῆ ἔνδειξιν καὶ ἀσφάλειαν.

,αψϟη´. Ὀκτωβρίου κ´».

Σημ. Τὸ δικαίωμα τοῦτο μόνον εἰς τὸν Ἀθανάσιον Βαλεριανὸν ἐδόθη προσωπικῶς, διότι κατόπιν ὁ ἀρχιεπίσκοπος Κεφαλληνίας καὶ Ζακύνθου ἐχειροτονεῖτο ὑπὸ τῶν ἐν ἐκείνῃ τῇ παροικίᾳ παρεπιδημούντων ἀρχιερέων. Εἰς πίστωσιν ἐκδίδοται ἐνταῦθα ἡ ἑξῆς πατριαρχικὴ ἔκδοσις Παϊσίου τοῦ ἀπὸ Νικομηδείας, ἀφορῶσα εἰς τὴν χειροτονίαν τοῦ τῷ 1727 ἐκλεγέντος ἀρχιεπισκόπου Κεφαλληνίας καὶ Ζακύνθου Σωφρονίου Ρουμαντζᾶ, κατὰ κόσμον παπᾶ Σάββα, οὗ ἡ πρεσβυτέρα, καθὰ γράφει ὁ μακαρίτης ἀρχιεπίσκοπος Ζακύνθου Νικόλαος Κατραμῆς ἐν «Φιλολογικοῖς Ἀναλέκτοις» σελ. 78, «μεταβᾶσα εἰς Κεφαλληνίαν, ἐκάρη μοναχὴ ἐν τῇ ἱερᾷ μονῇ τῶν Ὁμαλῶν, ὅπου ὁσίως ἀπεβίωσεν». Ἡ νενομισμένη κανονικὴ ἔκδοσις τοῦ πατριάρχου Παϊσίου ἐστὶν αὕτη, μεταγραφεῖσα ἀπὸ τοῦ Κώδηκος τοῦ Κριτίου: «Παίσιος ἐλέῳ Θεοῦ κλπ. Ἡ καθ' ἡμᾶς ἁγία τοῦ Χριστοῦ Ἐκκλησία τῇ πατριαρχικῇ αὐτῆς ἀξίᾳ καὶ μεγαλειότητι τοῦ ἁγιωτάτου ἀποστολικοῦ καὶ οἰκουμενικοῦ Θρόνου, προνοεῖν καὶ φροντίζειν ἀπαραιτήτως ὀφείλουσα τῶν ἁπανταχοῦ ἁγίων Ἐκκλησιῶν, καὶ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, ἐξαίρετον φροντίδα ὑπὲρ αὐτῶν καταβάλλεται ὅπως μὴ στερίσκοιντο πώποτε τῆς ἀρχιερατικῆς ἐπισκέψεως καὶ πνευματικῆς κυβερνήσεως συμβαλλομένης τὰ μέγιστα τῇ τῶν ψυχῶν σωτηρίᾳ τοῦ ὀρθοδόξου πληρώματος. Καὶ δὴ τοῖς μὲν ἐγγὺς τελοῦσι, τῇ οἰκουμενικῇ αὐτῆς προστασίᾳ, ἀμέσως ἐπιβάλλει καὶ διευθετεῖ τὰ συμφέροντα, ἀποκαθιστῶσα τοὺς πνευματικοὺς κυβερνήτας κανονικῶς κατὰ τὸν προσήκοντα λόγον· τοῖς δὲ μακρὰν ἀφεστηκόσι καὶ ἀπῳκισμένοις, καὶ διά τινας περιστάσεις τῆς ἀμέσου ἐπισκέψεως τυχεῖν μὴ δυναμένοις, ἐμμέσως τὰς χρείας ἀποπληροῖ, καὶ τῆς αὐτῆς προνοίας αὐτοὺς ἀξιοῖ δι' ἐκδόσεως καὶ παραχωρήσεως πατριαρχικῆς, τὰς χειροτονίας, καὶ ἀποκαταστάσεις τῶν ἀρχιερατικῶς ἐπισκεψαμένων, κατὰ τὸν ἐπικεκρατηκότα ἄνωθεν ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ τύπον, ὅρον τε καὶ κανόνα διενεργοῦσα, καὶ ἐπιτρέπουσα, ὡς οὐκ ἄλλως δυναμένης κανονικῶς συντελεσθῆναι πανταχοῦ τῆς ἀρχιερατικῆς τάξεως τε καὶ καταστάσεως, εἰ μὴ τῇ δυνάμει καὶ ἐξουσίᾳ τῆς πατριαρχικῆς ἐκδόσεως καὶ παραχωρήσεως. Ἐπειδὴ τοιγαροῦν καὶ ἡ ἁγιωτάτη ἀρχιεπισκοπὴ Κεφαλληνίας καὶ Ζακύνθου ἀπροστάτευτος διέμεινε, καὶ ἐστερημένη ἀρχιερατικῆς ἐπισκέψεως, ἅτε τοῦ προαρχιερατεύοντος ἐν αὐτῇ κὺρ Ἀγαπίου τὸ κοινὸν ἀποδεδωκότος χρέος, καὶ εἰς τὰς οὐρανίους μονὰς μεταστάντος, κἀντεῦθεν ἔδει ἀπο-

καταστῆναι ἐν αὐτῇ ἕτερον ἀρχιερέα καὶ ποιμένα, εἰς διεξαγωγὴν σωτηριώδη τοῦ κατ' ἐκείνας λογικοῦ χριστωνύμου πληρώματος τῆς Ἀνατολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ὡς οἱ ἱεροὶ καὶ θεῖοι κανόνες διακελεύουσι, μηδεμίαν δηλαδὴ παροικίαν καὶ ἐπαρχίαν διαμένειν ἐπὶ μακρὸν ἐν στερήσει πνευματικῆς καὶ ποιμαντικῆς περιθάλψεως· ἀμέλει προεκτελεσθεισῶν ἐν τῷ καθ' ἡμᾶς πανσέπτῳ ναῷ τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου ψήφων κανονικῶν, ἡμετέρᾳ πατριαρχικῇ προτροπῇ καὶ ἀδείᾳ, ὑπὸ τῆς περὶ ἡμᾶς τῶν συναδελφῶν ἀρχιερέων συνόδου, ἐξελέγη καὶ προεκρίθη τῶν ἄλλων ἁρμοδιώτερος ὁ ὁσιώτατος ἐν ἱερομονάχοις κὺρ Σωφρόνιος τοῦ ἀναδέξασθαι τὴν ἀρχιερατικὴν καὶ ποιμαντικὴν προστασίαν τῆς αὐτῆς ἀρχιεπισκοπῆς, ἅτε τίμιος καὶ θεοσεβὴς ὢν ἀνήρ, καὶ ἀρεταῖς κεκοσμημένος προσηκούσαις τῇ ἀρχιερατικῇ ἐξουσίᾳ, δι' ἅς περ καὶ κοινῇ ἐκλογῇ, γνώμῃ τε καὶ συναινέσει ἁπαξάπαντος τοῦ ἐκεῖσε ὀρθοδόξου χριστιανικοῦ πληρώματος, τοῦ τε εὐαγοῦς κλήρου, ἱερατικοῦ τε καὶ ἀρχοντικοῦ, προσεκλήθη ὁ αὐτὸς οὗτος ὑποψήφιος κὺρ Σωφρόνιος, κατὰ τὴν τοπικὴν συνήθειαν, ᾗ νενόμισται, εἰς τὴν ποιμαντικὴν ἐπιστασίαν τῆς αὐτῆς ἀρχιεπισκοπῆς. Τούτου χάριν ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος τῆς πατριαρχικῆς ἐκδόσεως γράμματος, δίδωσιν ἄδειαν τοῖς ἐνδημοῦσι τό γε νῦν ἔχον τῇ ἀρχιεπισκοπῇ ταύτῃ ἀρχιερεῦσι . . . . ἐπὶ τῷ χειροτονῆσαι τὸν ῥηθέντα ὑποψήφιον κὺρ Σωφρόνιον ἀρχιεπίσκοπον τῆς ῥηθείσης ἀρχιεπισκοπῆς Κεφαλληνίας καὶ Ζακύνθου, κατὰ ἐκκλησιαστικὴν καὶ κανονικὴν διατύπωσιν, καὶ ἀποκαταστῆσαι καὶ ἀναδεῖξαι αὐτὸν γνήσιον καὶ νόμιμον καὶ κανονικὸν ἀρχιερέα εἰς αὐτήν. Ὅθεν εἰς τὴν περὶ τούτου διηνεκῆ ἔνδειξιν καὶ ἀσφάλειαν, ἀπελύθη καὶ ἡ παροῦσα ἡμετέρα πατριαρχικὴ ἔκδοσις. ͵αψκη'. Μαρτίου ιε'».


Σημ. Κατ' ἐκκλησιαστικὴν οἰκονομίαν τὸ Οἰκουμενικὸν Πατριαρχεῖον ἐπέτρεψε τὴν διὰ δύο ἐπισκόπων ψῆφον ταύτην, ἐνῷ πάντοτε τρεῖς ἐζήτει συμψήφους ἐπὶ ἀναδείξει ἀρχιερέως. Ἀλλὰ καὶ τὰς χειροτονίας ἐπὶ τῇ βάσει τοῦ Α' ἀποστολικοῦ Κανόνος ὑπὸ τριῶν τελουμένας ἤθελε. Καὶ ἀπορίας ἐστὶν ἄξιον μεγίστης πῶς ὁ ἀείμνηστος πατριάρχης Ἄνθιμος Γ' ὁ ἀπὸ Χαλκηδόνος ἐξέδωκε τὰ παρόντα γράμματα, περιεργείας ἕνεκα δημοσιευόμενα, δι' ὧν ἐπέτρεψε χειροτονίαν ἐπισκόπου ὑπὸ δύο μόνον. Ἰδοὺ αἱ πατριαρχικαὶ ἐκδόσεις: «Ἄνθιμος ἐλέῳ Θεοῦ κτλ. Ἱερώτατε μητροπολῖτα Μιτυλήνης,ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λέσβου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, κὺρ Καλλίνικε· χάρις εἴη σου τῇ ἱερότητι καὶ εἰρήνη παρὰ Θεοῦ. Τοὺς ἀξιότητι καὶ ἀρετῇ διαπρέποντας καὶ πρὸς ἐπίσκεψιν πνευματικὴν ἁρμοδίους εἰς τὸν τῆς ἀρχιερωσύνης ἀνάγειν βαθμὸν ἐπὶ ψιλοῖς ὀνόμασι τῶν πάλαι ποτὲ διαλαμψασῶν ἐπαρχιῶν ἔθος ἀρχαῖον ἐπεκράτησε τῇ Ἐκκλησίᾳ· ἀγκαλὰ καὶ κατὰ τὸν μεταγενεστέρως ἐκδοθέντα ἐκκλησιαστικὸν Τόμον διὰ τὴν προχωρήσασαν κατάχρησιν τοῦτο μόνον τοῖς ἐγκρίτοις τῶν συναδέλφων ἀρχιερέων δέδοται παρὰ τῆς Ἐκκλησίας, τοὺς προβαλλομένους ὑπ' αὐτῶν προχειρίζεσθαι ἐπισκόπους ἐπὶ διοικήσει τῶν ἐπαρχιῶν αὐτῶν ἐπιτροπικῇ, μὲ ὅλον τοῦτο κατὰ συγκατάβασιν ἐκκλησιαστικὴν καὶ ἀνάγκην πολιτικὴν παρακεχώρηται ἤδη καὶ τοῖς λοιποῖς τῶν ἀδελφῶν ἀρχιερέων χειροτονεῖν ἀρχιερεῖς, καὶ προχειρίζεσθαι ἐπισκόπους ἐπὶ ψιλῷ ὀνόματι, ὅσοι δηλ. ἢ δι' ἔκτασιν τῶν ἐπαρχιῶν τους, ἢ δι' ἄλλην τινὰ ἀνάγκην, μὴ φθάνοντες πρὸς πνευματικὴν ἐπίσκεψιν τῶν ποιμνίων των, ἐξαιτοῦνται νὰ ἔχωσι πρὸς βοήθειαν ἐπισκόπους ἐν ταῖς ἐπαρχίαις αὐτῶν. Ἐπεὶ τοίνυν καὶ ἡ Ἱερότης της, γράφουσα ἤδη πρὸς τὴν Ἐκκλησίαν, καὶ προβαλλομένη τὰς αἰτίας, δι' ἃς οὐκ ἐπαρκεῖ ταῖς πνευματικαῖς χρείαις ἁπαξαπάντων τῶν εὐλογημένων αὐτῆς ἐπαρχιωτῶν χριστιανῶν, κἀντεῦθεν τὰς προσηκούσας καὶ δεούσας παρέχεται πληροφορίας περὶ τῶν ἐν τῇ ἐπαρχίᾳ της τριῶν ἱερωμένων ὑποκειμένων, σακελλαρίου Νεοφύτου, Χατζῆ παπᾶ Παρθενίου, καὶ Χατζῆ παπᾶ Δανιὴλ, ὅτι δεδοκιμασμένοι καὶ ἀνεπίληπτοι, καὶ ἐξαιτεῖται τὴν δι' ἐκκλησιαστικῆς ἐκδόσεως ἀποκατάστασιν ἐκείνου, ὅστις τῶν τριῶν ἐγκριθῇ πρὸς τὸν τῆς ἀρχιερωσύνης βαθμὸν, ἐπὶ ψιλῷ ὀνόματι, ἐπὶ τῷ ἔχειν ἐπιτροπικῶς συμπράκτορα καὶ βοηθὸν πρὸς τὴν ἀναγκαίαν τῶν χριστιανῶν ἐπίσκεψιν, τούτου χάριν, τὴν αἴτησιν αὐτῆς ἀποδεξάμενοι, καὶ λόγον φιλάδελφον ποιούμενοι περὶ τῆς ἀνέσεως αὐτῆς, γράφοντες ἀνατιθέμεθα αὐτῇ τὰς περὶ χειροτονίας

ἐκκλησιαστικὰς κανονικὰς ψήφους, καὶ προτρεπόμεθα ὅπως προσκαλεσαμένη τὸν ἐπὶ τῆς αὐτῆς νήσου ἱερώτατον μητροπολίτην Μηθύμνης, συναδελφὸν ἡμῶν ἀγαπητὸν κὺρ Παρθένιον, ἐκτελέση αὐτὰς ἐν τῷ ἱερῷ ναῷ τῆς ἁγιωτάτης μητροπόλεως, δι' ὑπομνήματος ἱεροῦ, ἐν τῷ ἱερῷ αὐτῆς κώδηκι καταγραφομένου, καὶ ἐγκρίνασα ἕνα τῶν τριῶν, τὸν ἀξιώτερον, φρονιμώτερον, καὶ ἄμεμπτον, καὶ ἀνεπίληπτον, καὶ σαδικανὲ τῆς κραταιᾶς βασιλείας, προτιμήση ἐν αὐταῖς τὸ ὄνομα αὐτοῦ ἐπὶ τῇ πάλαι ποτὲ διαλαμψάση ἐπισκοπῇ Μακαριουπόλεως, τῇ ἤδη μὲν ἴχνος οὐκ ἐχούσῃ, ἀνέκαθεν δὲ τῇ ἁγιωτάτῃ αὐτῆς μητροπόλει ὑποκειμένῃ. Τῇ δὲ ἐπιούσῃ, ἔχουσα συλλειτουργὸν τὸν αὐτὸν συμψηφιστὴν συναδελφὸν ἅγιον Μηθύμνης, καὶ ἐπιτελέσασα τὴν θείαν καὶ ἱερὰν μυσταγωγίαν χειροτονήσῃ ἀρχιερέα τὸν εὐλαβέστατον αὐτὸν ὑποψήφιον, προχειριζομένη ἐπίσκοπον ἐπὶ ψιλῷ ὀνόματι τῆς πάλαι ποτὲ διαλαμψάσης ἐπισκοπῆς Μακαριουπόλεως, τῇ ἐπικλήσει τοῦ παναγίου Πνεύματος κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, καὶ ἔχῃ ὑποκείμενον αὐτῇ, κανονικῶς καὶ ὑποτασσόμενον, καὶ τῇ νομίμῳ αὐτῆς κυριαρχικῇ ἀδείᾳ ἐπισκεπτόμενον πνευματικῶς τοὺς ἐν τῇ ἐπαρχίᾳ ταύτῃ εὐσεβεῖς, καὶ ἐπιτροπικῶς διοικοῦντα τὰς ἀρχιερατικὰς αὐτῆς ὑποθέσεις. Ἐπὶ τούτῳ γὰρ ἐγένετο καὶ ἡ παροῦσα ἐν εἴδει ἐπιστολῆς πατριαρχικὴ ἡμῶν Ἔκδοσις, καὶ ἀπεστάλη τῇ αὐτῆς ἱερότητι. ͵αωκδ΄. Ἀπριλίου γ΄».

Ἐκτὸς τῆς ἐκδόσεως ταύτης, ἣν ὑποκυροῦσιν ὁ πατριάρχης Κωνσταντινουπόλεως Ἄνθιμος καὶ οἱ μητροπολῖται Χρύσανθος Καισαρείας, Μακάριος Ἐφέσου, Ματθαῖος Κυζίκου, Πανάρετος Νικομηδείας, Μακάριος Θεσσαλονίκης, Καλλίνικος Κρήτης, Χρύσανθος Σερρῶν, Καλλίνικος Διδυμοτείχου, Κύριλλος Μεσημβρίας, Καλλίνικος Σίφνου, Ἰωσὴφ Πελαγωνείας καὶ Κοσμᾶς Προικονήσου, ἐξεδόθη καὶ ἡ ἑξῆς ἐπιστολὴ πρὸς τὸν μητροπολίτην Μηθύμνης. «Ἄνθιμος ἐλέῳ Θεοῦ κτλ. Ἱερώτατε μητροπολῖτα Μηθύμνης, ὑπέρτιμε, καὶ ἔξαρχε Λέσβου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἡμῶν ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, κὺρ Παρθένιε· χάρις εἴη σου τῇ Ἱερότητι καὶ εἰρήνη παρὰ Θεοῦ. Δι' αἰτήσεως θερμῆς τοῦ ἱερωτάτου μητροπολίτου Μιτυλήνης, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Καλλινίκου, ἐξεδόθη ἤδη πατριαρχικὴ ἡμῶν Ἔκδοσις ἐν εἴδει ἐπιστολῆς, καὶ ἀπεστάλη πρὸς τὴν Ἱερότητά του προτρεπομένη ὅτι κατὰ τὰς πληροφορίας, ὁποῦ ἔδωκεν εἰς τὴν Ἐκκλησίαν ἡ Ἱερότης του περὶ τῶν ἐν τῇ ἐπαρχίᾳ τριῶν ἱερωμένων προσώπων τοῦ σακελλαρίου Νεοφύτου, τοῦ Χατζῆ παπᾶ Παρθενίου καὶ τοῦ Χατζῆ παπᾶ Δανιὴλ, ὅτι εἶναι δεδοκιμασμένοι

καὶ ἀνεπίληπτοι, καὶ ἄξιοι εἰς τὸ νὰ ἀποκατασταθῇ εἷς ἐξ αὐτῶν, ὃς ἂν ἐγκριθῇ εἰς τὸν τῆς ἀρχιερωσύνης βαθμὸν, ψιλῷ τῷ ὀνόματι, ἐπὶ τῷ βοηθεῖν καὶ συμπράττειν τῇ αὐτοῦ Ἱερότητι πρὸς τὴν ἀναγκαίαν τῶν ἐπαρχιωτῶν αὐτοῦ χριστιανῶν ἐπίσκεψιν, ὡς μὴ ἐπαρκούσῃ ταῖς ποιμαντορικαῖς χρείαις ἁπαξαπάντων τῶν ἐπαρχιωτῶν αὐτοῦ. Περὶ τούτων οὖν ἀνατεθεισῶν αὐτῷ τῶν περὶ χειροτονίας ἐκκλησιαστικῶν κανονικῶν ψήφων, προτρέπεται ὡς ἐπάναγκες νὰ προσκαλέσῃ καὶ τὴν Ἱερότητά σου εἰς τὴν ἐκτέλεσιν τῆς κανονικῆς ταύτης ψηφοφορίας καὶ συμπράξεως. Ἐφ' ᾧ καὶ γράφοντες διὰ τῆς παρούσης ἡμετέρας πατριαρχικῆς ἐπιστολῆς, παρεχόμεθά σοι τὴν ἐκκλησιαστικὴν ἄδειαν, καὶ προτρεπόμενοι παραγγέλλομέν σοι, ὅπως ἅμα προσκληθῇς παρὰ τοῦ συναδέλφου ἁγίου Μιτυλήνης, νὰ ἀπέλθῃς πρὸς τὴν Ἱερότητά του, καὶ ἀφ' οὗ ἐκτελεσθῶσι δι' ὑπομνήματος ἱεροῦ αἱ κανονικαὶ ψῆφοι, νὰ προτιμηθῇ ἐν τούτοις τὸ ὄνομα τοῦ προκριθέντος ἀξιωτέρου, ὡς τέτακται, τῇ ἐπιούσῃ δὲ νὰ ἐκτελέσητε τὴν θείαν καὶ ἱερὰν μυσταγωγίαν, ἐπὶ τῷ χειροτονηθῆναι παρ' ὑμῶν ἀρχιερέα τὸν εὐλαβέστατον αὐτὸν ὑποψήφιον, καὶ προχειρισθῆναι ἐπίσκοπον ἐπὶ ψιλῷ ὀνόματι τῆς πάλαι ποτὲ διαλαμψάσης ἐπισκοπῆς Μακαριουπόλεως, τῇ ἐπικλήσει τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν· ὅστις ὀφείλει ὑποκεῖσθαι τῇ αὐτοῦ Ἱερότητι κανονικῶς, καὶ τῇ νομίμῳ αὐτοῦ κυριαρχικῇ ἀδείᾳ ἐπισκέπτεσθαι πνευματικῶς τοὺς ἐν τῇ ἐπαρχίᾳ ταύτῃ χριστιανούς· καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. Ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς Ἱερότητός σου. ͵αωκδ'. Ἀπριλίου γ'».

ΤΕΛΟΣ ΤΟΥ Α' ΤΟΜΟΥ.


UTL AT DOWNSVIEW
D RANGE BAY SHLF POS ITEM C
39 10 17 04 06 008 7